ΟΜΗΡΟΣ


ΠΑΡΑΦΡΑΣΘΕΙΣ, ΣΧΟΛΙΑΣΘΕΙΣ τε,
ΚΑΙ ΕΚΔΟΘΕΙΣ

Ὑπὸ

ΝΕΟΦΥΤΟΥ ΔΟΥΚΑ.

ΕΙΣ ΤΟΜΟΥΣ ΕΞ.

ΟΔΥΣΣΕΙΑ
ΤΟΜΟΣ ΠΕΜΠΤΟΣ.



ΕΝ ΑΙΓΙΝΗι,
ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ ΑΝΔΡΕΟΥ ΚΟΡΟΜΗΛΑ.

1835.



ΥΠΟΘΕΣΙΣ ΤΟΥ Κ.

ΟΔΥΣΣΕΥΣ ἔρχεται εἰς τὴν νῆσον Αἰολίαν, ἔνθα ἐβασίλευεν Αἴολος· ὃς ἔδωκεν τῷ Ὀδυσσεῖ οὔριον ζέφυρον, ἐγκαθείρξας τοὺς ἄλλους ἀνέμους ἀσκῷ· ὃν λύσαντες οἱ ἑταῖροι, κοιμωμένου τοῦ Ὀδυσσέως, πάλιν ὑπονοστοῦσιν βίᾳ τῶν ἀνέμων πρὸς Αἴολον· τοῦ δὲ μηκέτι προσιεμένου, ἀποπλεῖ Ὀδυσσεὺς πρὸς τοὺς Λαιστρυγόνας· παρ' οἷς ἕνδεκα τῶν νεῶν ἀπολέσας αὐτάνδρους, παρακομίζεται τῇ λοιπῇ πρὸς τὴν νῆσον Αἰαίαν, ὅποι τοὺς ἡμίσεις τῶν ἑταίρων ἐκπέμπει σὺν Εὐρυλόχῳ, πευσομένους, οἵτινες εἶεν οἱ κατοικοῦντες ἐνταῦθα· μεταμορφωθέντων δ' ἐκείνων εἰς σῦς ὑπὸ Κίρκης, πλὴν Εὐρυλόχου, αὐτὸς ἐπὶ ζήτησιν ἐλθὼν, λαβὼν παρὰ τοῦ Ἑρμοῦ φάρμακον τὸ Μῶλυ, οὐδὲν βλάπτεται· ἀλλὰ καὶ τῶν ἑταίρων τὴν ἀρχαίαν λαβόντων φύσιν, ἐνιαυτὸν παραμείνας αὐτόθι, εἰς ᾅδου κατέρχεται.

ΤΗΣ

ΟΜΗΡΟΥ

ΟΔΥΣΣΕΙΑΣ Κ.

Αἰολίην δ' ἐς νῆσον ἀφικόμεθ'· ἔνθα δ' ἔναιεν
Αἴολος Ἱπποτάδης, φίλος ἀθανάτοισι θεοῖσιν,
Πλωτῇ ἐνὶ νήσῳ· πᾶσαν δέ τέ μιν πέρι τεῖχος
Χάλκεον, ἄῤῥηκτον· λισσὴ δ' ἀναδέδρομε πέτρη.
Τοῦ καὶ δώδεκα παῖδες ἐνὶ μεγάροις γεγάασιν·
Ἓξ μὲν θυγατέρες, ἓξ δ' υἱέες ἡβώοντες.
Ἔνθ' ὅγε θυγατέρας πόρεν υἱάσιν εἶναι ἀκοίτις.
Οἱ δ' αἰεὶ παρὰ πατρὶ φίλῳ καὶ μητέρι κεδνῇ
Δαίνυντο· παρὰ δέ σφιν ὀνείατα μυρία κεῖται.
Κνισῆεν δέ τε δῶμα περιστεναχίζεται αὐλῇ
Ἤματα· νύκτας δ' αὖτε παρ' αἰδοίῃς ἀλόχοισιν
Εὕδουσ' ἔν τε τάπησι καὶ ἐν τρητοῖς λεχέεσσιν.
Καὶ μὲν τῶν ἱκόμεσθα πόλιν καὶ δώματα καλά·
Μῆνα δὲ πάντα φίλει με καὶ ἐξερέεινεν ἕκαστα,
Ἴλιον, Ἀργείων τε νέας, καὶ νόστον Ἀχαιῶν·

---

1 Αἰολίην νῆσον] τὴν νῆσον τοῦ Αἰόλου· εἶναι δὲ ταύτην τίνα; οἱ λέγοντες περὶ Σικελίαν καὶ Ἰταλίαν γενέσθαι τὴν πλάνην τοῦ Ὀδυσσέως Λωτοφάγους μὲν φασὶ τοὺς ἐν ὑστέρῳ Ἀκραγαντίνους, ἢ τοὺς Καμαριναίους· Κύκλωπας δὲ, τοὺς Λεοντίνους· νήσους δὲ Αἰόλου, τήν τε κατὰ τὸν πορθμὸν



ΤΗΣ

ΟΜΗΡΟΥ ΟΔΥΣΣΕΙΑΣ Κ.



Ουτως οὖν πλέοντες, ἀφικόμεθα εἰς τὴν Αἰολίαν· ἔστι δὲ νῆσος αὕτη πλωτὴ ἐκ πέτρας ἀπροσβάτου, τείχει χαλκῷ καὶ ἀδιαῤῥήκτῳ τετειχισμένη· ἐν ᾗ ἐβασίλευεν Αἴολος ὁ Ἱππότου, ἀνὴρ θεοφελής τε καὶ εὔτεκνος· δυωκαίδεκα γὰρ αὐτῷ ἐγένοντο παῖδες, ἐξ ἡμισείας ἄῤῥενές τε καὶ θήλειαι· οἱ αὐτοὶ δὲ καὶ γήμαντες τὰς θηλείας οἱ ἄῤῥενες, οἱ ἀδελφοὶ τὰς ἑαυτῶν ἀδελφὰς, οὕτω τοῦ πατρὸς ἀξιώσαντος, αὐτόθι παρά τε τῷ πατρὶ καὶ τῇ μητρὶ ἀεὶ τὸν βίον ποιοῦνται, ἀφθόνων ὑπαρχόντων αὐτοῖς τῶν ἐπιτηδείων, τὰς μὲν ἡμέρας διατρίβοντες ἐν τῷ δώματι, πολλῶν θυμιαμάτων ἀπόζοντι, καὶ φωναῖς ἁρμονικαῖς περιηχουμένῳ· τὰς δὲ νύκτας ταῖς ἑαυτῶν συγκαθεύδοντες γυναιξὶ ἐπὶ κλινῶν μεγαλοπρεπῶν καὶ ταπήτων. Ὡς οὖν ἥκομεν εἰς τὴν πόλιν, ὑποδεξάμενος ἡμᾶς ὁ βασιλεὺς φιλοφρόνως, μῆνα ὅλον ἀνερώτα με τὰ κατὰ τὴν Τροίαν, τάς τε ναῦς ἀνιστορῶν τῶν Ἑλλήνων, καὶ

Στρογγύλην, καὶ τὰς λοιπὰς ἕξ, Διδύμην, Ἱέραν, Ἱκεσίαν, Λιπάραν, Ἐρικοῦσαν, Φοινικοῦσαν. 3. Πλωτῇ] μεταφερομένῃ, καὶ περιῤῥεομένῃ. 4. Λισσῇ] λεία μὲν, ἀπότομος δέ. 9. Ὀνείατα] ἐδέσματα ὄνησιν φέροντα, 19. Ἐννεώ-

Καὶ μὲν ἐγὼ τῷ πάντα κατὰ μοῖραν κατέλεξα.
Ἀλλ' ὅτε δὴ καὶ ἐγὼ ὁδὸν ᾔτεον, ἠδ' ἐκέλευον
Πεμπέμεν, οὐδέ τι κεῖνος ἀνήνατο, τεῦχε δὲ πομπήν.
Δῶκέ μοι ἐκδείρας ἀσκὸν βοὸς ἐννεώροιο,
Ἔνθα δὲ βυκτάων ἀνέμων κατέδησε κέλευθα·
Κεῖνον γὰρ ταμίην ἀνέμων ποίησε Κρονίων
Ἠμὲν παυέμεναι ἠδ' ὀρνύμεναι, ὅν κ' ἐθέλῃσιν.
Νηΐ δ' ἐνὶ γλαφυρῇ κατέδει μέρμιθι φαεινῇ,
Ἀργυρέῃ, ἵνα μήτι παραπνεύσῃ ὀλίγον περ·
Αὐτὰρ ἐμοὶ πνοιὴν Ζεφύρου προέηκεν ἀῆναι,
Ὄφρα φέροι νῆάς τε καὶ αὐτούς· οὐδ' ἄρ' ἔμελλεν,
Ἐκτελέειν· αὐτῶν γὰρ ἀπωλόμεθ' ἀφραδίῃσιν.
Ἐννῆμαρ μὲν ὁμῶς πλέομεν νύκτας τε καὶ ἦμαρ·
Τῇ δεκάτῃ δ' ἤδη ἀνεφαίνετο πατρὶς ἄρουρα·
Καὶ δὴ πυρπολέοντας ἐλεύσσομεν, ἐγγὺς ἐόντας.
Ἔνθ' ἐμὲ μὲν γλυκὺς ὕπνος ἐπήλυθε κεκμηῶτα·
Αἰεὶ γὰρ πόδα νηὸς ἐνώμων, οὐδέ τῳ ἄλλῳ
Δῶχ' ἑτάρων, ἵνα θᾶσσον ἱκοίμεθα πατρίδα γαῖαν·
Οἱ δ' ἕταροι ἐπέεσσι πρὸς ἀλλήλους ἀγόρευον,
Καί μ' ἔφασαν χρυσόν τε καὶ ἄργυρον οἴκαδ' ἄγεσθαι,
Δῶρα παρ' Αἰόλου μεγαλήτορος Ἱπποτάδαο·
Ὧδε δέ τις εἴπεσκεν, ἰδὼν ἐς πλησίον ἄλλον·
Ὢ πόποι, ὡς ὅδε πᾶσι φίλος καὶ τίμιός ἐστιν
Ἀνθρώποις, ὅτεών τε πόλιν καὶ γαῖαν ἵκηται.
Πολλὰ μὲν ἐκ Τροίης ἄγεται κειμήλια καλὰ
Ληΐδος· ἡμεῖς δ' αὖτε ὁμὴν ὁδὸν ἐκτελέσαντες

ροιο] ἐνναέτους. 20. Βυκτάων] ἀθρόως πνεόντων καὶ πληρούντων τὰ ἱστία. 23. Μέρμιθι] σχοίνῳ ἀργυρῷ. 25. Ἀῆναι] πνεῦσαι, ἐκ τοῦ ἄημι. 32. Πόδα νηὸς] τῶν κάλων, δι' οὗ στρέφεται ἡ κεραία, ἢ αὐτὸ τὸ πηδάλιον. 39. Ὢ-

τὴν κάθοδον αὐτῶν ἑκάστων· ἐγὼ δὲ διεξῄειν ἕκαστα κατὰ τρόπον· κἀπειδὴ καιρὸς ἐλάμβανεν ἀποπλεῦσαι, αἰτησαμένῳ μοι ἀποπέμπειν, οὐ μόνον τοῦθ' ἡμῖν ἄσμενος συνεχώρησεν, ἀλλ' ἐπειδὴ ἔτυχεν εὑράμενος παρὰ τοῦ Διὸς ταμείας τῶν ἀνέμων ἁπάντων εἶναι, ὥστε καὶ καταλωφᾷν αὐτοὺς καὶ προέσθαι, ὁπότε αὐτῷ δοκοίη, ἐκδείρας βοῦν ἐνναέτην, καὶ ἐγκαθείρξας τῷ ἀσκῷ τὰς τῶν ἄλλων ἀνέμων πνοὰς, πλὴν ζεφύρου, ἐγκατέθηκεν αὐτὸν τῇ νηΐ, σχοίνῳ ἀργυρῷ ἀσφαλῶς περιδήσας, ὥστε μὴ ἐκπνευματοῦσθαι αὐτῶν μήτε πολλοστόν· τὸν δὲ ζέφυρον ἀνῆκε πνεῖν ἡμῖν ἐξ οὐρίας, κελεύσας αὐτὸν ἀγαγεῖν τὰς ναῦς ἐς φίλην πατρίδα γαῖαν· ἀλλ' ἔμελλεν ἄρα μὴ γενήσεσθαι τοῦτο, ἡμῶν αὐτῶν οἴκοθεν ἐξ ἀνοίας αὐτομολούντων ἐς τὸν ἔσχατον κίνδυνον.

Οὕτω τοίνυν ἐννέα μὲν ἡμέρας, καὶ ἴσας νύκτας ἐπλέομεν ἐξ οὐρίας· τῇ δὲ δεκάτῃ ἀνεφάνη ἡμῖν ἡ φίλη πατρὶς, ὡς οὐδέποτε ἥδιον· καὶ ἤδη ἑωρῶμεν παρὰ τὴν ἀκτὴν τοὺς πυρσεύοντας πόῤῥωθεν· τέως δ' αὐτὸς κεκμηκὼς ὅλως τοῖς πόνοις ἤδη τῷ διὰ παντὸς τοῦ πλοῦ μεταχειρίσασθαι τὸ πηδάλιον, μηδενὶ ἐπιτρέψας τῶν ἄλλων, ὅπως ἂν ἐπιτομώτερα γένοιθ' ἡμῖν ἀφικέσθαι, ἡδέως ἀνιέμην εἰς ὕπνον· κἀν τούτῳ οἱ ἑταῖροι ἐλθόντες εἰς λόγους περὶ ἐμοῦ, ᾠήθησαν χρυσὸν καὶ ἄργυρον ἐγκρύψαντα τῷ ἀσκῷ, δῶρα ταῦτα παρ' Αἰόλου λαβόντα, κατακομίζειν οἴκαδε ἐμαυτῷ· καί τις αὐτῶν ἔφη τῷ παρακαθημένῳ. Ὢ πόποι! ὅπως οὗτός γε παρὰ πᾶσιν ἀνθρώποις, εἰς οὓς ἂν ἀφίκηται, τιμᾶταί τε καὶ φιλεῖται· πολλὴν μὲν γὰρ ἐκ Τροίας ἀπῆλθε κομιζόμενος λείαν· πολλὰ δὲ καὶ νῦν παρ' Αἰόλου δῶρα ταυτὶ ἄπεισιν ἔχων· ἡμῖν δὲ, καίτοι ταὐτὰ καμοῦσιν, περίεστιν οὐδὲν οὐ-

---

τέων] ὁποιουνδήποτε, ὅστις. οὗτινος καὶ ὅτου ὅτων, καὶ ὅτεων Ἰωνικῶς. 41. Ὁμὴν] ὁμοίαν. 42. νισσόμεθα] ἐρχόμεθα. 50. Ἐγρόμενος] ἐγερθείς.

Οἴκαδε νισσόμεθα κενεὰς σὺν χεῖρας ἔχοντες.
Καὶ νῦν οἱ τάδ' ἔδωκε χαριζόμενος φιλότητι
Αἴολος· ἀλλ' ἄγε θᾶσσον ἰδώμεθα, ὅττι τάδ' ἐςὶν,
Ὅσσος τις χρυσός τε καὶ ἄργυρος ἀσκῷ ἔνεςιν.
Ὣς ἔφασαν· βουλὴ δὲ κακὴ νίκησεν ἑταίρων·
Ἀσκὸν μὲν λῦσαν, ἄνεμοι δ' ἐκ πάντες ὄρουσαν.
Τοὺς δ' αἶψ' ἁρπάξασα φέρεν πόντονδε θύελλα
Κλαίοντας, γαίης ἄπο πατρίδος· αὐτὰρ ἔγωγε
Ἐγρόμενος κατὰ θυμὸν ἀμύμονα μερμήριξα,
Ἠὲ πεσὼν ἐκ νηὸς, ἀποφθίμην ἐνὶ πόντῳ,
Ἢ ἀκέων τλαίην, καὶ ἔτι ζωοῖσι μετείην.
Ἀλλ' ἔτλην καὶ ἔμεινα· καλυψάμενος δ' ἐνὶ νηῒ
Κείμην· αἱ δ' ἐφέροντο κακῇ ἀνέμοιο θυέλλῃ
Αὖτις ἐπ' Αἰολίην νῆσον· στενάχοντο δ' ἑταῖροι.
Ἔνθα δ' ἐπ' ἠπείρου βῆμεν καὶ ἀφυσσάμεθ' ὕδωρ·
Αἶψα δὲ δεῖπνον ἕλοντο θοῇς παρὰ νηυσὶν ἑταῖροι.
Αὐτὰρ ἐπεὶ σίτοιό τε πασσάμεθ' ἠδὲ ποτῆτος,
Δὴ τότ' ἐγὼ κήρυκά τ' ὀπασσάμενος καὶ ἑταῖρον,
Βῆν εἰς Αἰόλου κλυτὰ δώματα· τὸν δ' ἐκίχανον
Δαινύμενον παρὰ ᾗ τ' ἀλόχῳ καὶ οἷσι τέκεσσιν.
Ἐλθόντες δ' ἐς δῶμα παρὰ ςαθμοῖσιν ἐπ' οὐδοῦ
Ἑζόμεθ'· οἱ δ' ἀνὰ θυμὸν ἐθάμβεον ἔκ τ' ἐρέοντο·
Πῶς ἦλθες, Ὀδυσεῦ; τίς τοι κακὸς ἔχραε δαίμων;
Ἦ μέν σ' ἐνδυκέως ἀπεπέμπομεν, ὄφρ' ἀφίκοιο
Πατρίδα σὴν δῶμα, καὶ εἴ πού τοι φίλον ἐστίν.
Ὣς φάσαν· αὐτὰρ ἐγὼ μετεφώνεον, ἀχνύμενος, κῆρ·
Ἄασάν μ' ἕταροί τε κακοὶ πρὸς τοῖσί τε ὕπνος
Σχέτλιος· ἀλλ' ἀκέσασθε, φίλοι· δύναμις γὰρ ἐν ὑμῖν.
Ὣς ἐφάμην, μαλακοῖσι καθαπτόμενος ἐπέεσσιν·

δαμῶς ὅ,τι καὶ οἴκαδε κομίσαιμεν ἀφικόμενοι· ἀλλ' ἄγεθ' ὑμεῖς γε, ἴδωμεν λύσαντες, ὅσος μὲν ἔνεστι χρυσὸς τῷ ἀσκῷ, ὅσος δὲ καὶ ἄργυρος.

Τοιαῦτα τοίνυν διαλεγομένων αὐτῶν πρὸς ἀλλήλους, καὶ ἀντεμβαλλόντων, ἐκράτησε κακῇ τύχῃ τὰ χείρω· λυσάντων γὰρ αὐτῶν τὸν ἀσκὸν, ἐκπηδήσαντες οἱ ἄνεμοι, καὶ συναρπάσαντες ἡμᾶς, ἀθρόοι ἄλλος ἄλλοθεν ἐπιθέμενοι, ἔφερον ἐς τὸ πέλαγος, παλινόρμητον πνέοντες, ὀδυρομένους καὶ μεταμελουμένους ἀκαίρως· διϋπνισθεὶς δ' αὐτὸς, καὶ τὸ πρᾶγμα μαθὼν, ὅπως ἔσχεν, διελογιζόμην πότερον ἄμεινον, καταβαλεῖν ἐμαυτὸν εἰς τὴν θάλασσαν πρὸς ἀπώλειαν, ἢ διακαρτερῆσαι ἔτι καὶ τοῦτο; Δόξαν οὖν τλῆναι αὖθις, ἐκείμην, καταβαλὼν ἐμαυτὸν ἐν ἀγωνίᾳ πῃ τῆς νεώς· αἱ δὲ νῆες πολλῇ φορᾷ τῶν πνευμάτων φερόμεναι, τῶν ἑταίρων ἔνδοθεν ἀνοιμωζόντων τε καὶ ὀδυρομένων, ἀφίκοντο πάλιν ἐς τὴν Αἰολίαν· ἔνθ' ἀποβάντες, καὶ ὕδωρ ταῖς ναυσὶν ἀρυσάμενοι, ἐδειπνοποιούμεθα· εἶθ' οὕτω κήρυκα καὶ τῶν ἑταίρων ἐπαγόμενος ἕνα, ἀνελθὼν εἰς Αἰόλου, εὗρον αὐτὸν μετὰ τῆς γυναικὸς καὶ τῶν παίδων ἀριστοποιούμενον· οἱ ἅμ' ἰδόντες ἐμὲ παρεστῶτα, ἔστησαν ἐμβλέποντες σὺν ἐκπλήξει· εἶτ' ἀνερώτων, τί τοῦτ' Ὀδυσσεῦ; τίς σε τῶν δαιμόνων ἤλασεν ὀπισθόρμητον ὧδε; ἡμεῖς γὰρ φιλοφρονησάμενοι τὰ εἰκότα, ἐπέμψαμέν σε σὺν σπουδῇ εἰς φίλην πατρίδα γαῖαν· ταῦτα μὲν ἐκεῖνοι.

Ἐγὼ δὲ διεξῄειν αὐτοῖς σὺν πολλῇ ἀθυμίᾳ τήν τε τῶν ἑταίρων ἀτασθαλίαν, ἐμοῦ κοιμωμένου, ἐδεόμην τε αὐτῶν λόγοις ἐλεεινοῖς, ὅσον ἠδυνάμην, ἀκέσασθαί μοι αὖθις τὸ

---

59. Ὀπασσάμενος] ὀπαδὸν καὶ ἀκόλουθον λαβών. 64. Ἔχραε] ἔβλαψεν. 68. Ἄασαν] ἔβλαψάν με οἱ κακοὶ κακῶς ἀπολούμενοι ἑταῖροι. 69. Ἀκέσασθε]

Οἱ δ' ἄνεῳ ἐγένοντο· πατὴρ δ' ἠμείβετο μύθῳ·
Ἔρρ' ἐκ νήσου θᾶσσον, ἐλέγχιστε ζωόντων.
Οὐ γάρ μοι θέμις ἐστὶ κομιζέμεν οὐδ' ἀποπέμπειν
Ἄνδρα τὸν, ὅς κε θεοῖσιν ἀπέχθηται μακάρεσσιν.
Ἔρρ', ἐπεὶ ἀθανάτοισιν ἀπεχθόμενος, τόδ' ἱκάνεις.
Ὣς εἰπὼν, ἀπέπεμπε δόμων βαρέα στενάχοντα.
Ἔνθεν δὲ προτέρω πλέομεν, ἀκαχήμενοι ἦτορ.
Τείρετο δ' ἀνδρῶν θυμὸς ὑπ' εἰρεσίης ἀλεγεινῆς,
Ἡμετέρῃ ματίῃ· ἐπεὶ οὐκέτι φαίνετο πομπή.
Ἑξῆμαρ μὲν ὁμῶς πλέομεν νύκτας τε καὶ ἦμαρ·
Ἑβδομάτῃ δ' ἱκόμεσθα Λάμου αἰπὺ πτολίεθρον,
Τηλέπυλον Λαιστρυγονίην, ὅθι ποιμένα ποιμὴν
Ἠπύει εἰσελάων, ὁ δέ τ' ἐξελάων ὑπακούει.
Ἔνθα κ' ἄϋπνος ἀνὴρ δοιοὺς ἐξήρατο μισθοὺς,
Τὸν μὲν, βουκολέων, τὸν δ', ἄργυφα μῆλα νομεύων·
Ἐγγὺς γὰρ νυκτός τε καὶ ἤματός εἰσι κέλευθοι.
Ἔνθ' ἐπεὶ ἐς λιμένα κλυτὸν ἤλθομεν, ὃν πέρι πέτρη
Ἠλίβατος τετύχηκε διαμπερὲς ἀμφοτέρωθεν,
Ἀκταὶ δὲ προβλῆτες ἐναντίαι ἀλλήλῃσιν
Ἐν στόματι προὔχουσιν· ἀραιὴ δ' εἴσοδός ἐσιν·
Ἔνθ' οἵγ' εἴσω πάντες ἔχον νέας ἀμφιελίσσας.
Αἱ μὲν ἄρ' ἔντοσθεν λιμένος κοίλοιο δέδεντο
Πλησίαι· οὐ μὲν γάρ ποτ' ἀέξετο κῦμά γ' ἐν αὐτῷ,
Οὔτε μέγ', οὔτ' ὀλίγον· λευκὴ δ' ἦν ἀμφὶ γαλήνη.
Αὐτὰρ ἐγὼν οἶος σχέθον ἔξω νῆα μέλαιναν,

ἰάσασθε. ἐπανορθώσατε τὸ πρᾶγμα. 72. Ἐλέγχιστε] ἐπονείδιστε πάντων τῶν ζώντων. 73. Κομιζέμεν] θεραπεύειν ἁμαρτωλὸν ἄνδρα. 79. Ματίῃ] ματαιότητι, ἀνίᾳ, 81. Λάμου] βασιλεὺς οὗτος ἔοικεν εἶναι Λαιστρυγόνων ἀρχαιότερος καὶ υἱὸς Ποσειδῶνος. 81. Τηλέπυλον] ἢ ὄνομα πόλεως, ἢ ἐπιθετικῶς Εὐρύπυλον ἔνθα ποιμὴν εἰσελαύνων τὰ ποίμνια, φωνεῖ ἕτερον

πρᾶγμα· τῶν δὲ σιωπώντων, ἀναστὰς μόνος ὁ πατὴρ, τί ἐμοὶ πρὸς σὲ, ἔφη, ὦ σχετλιώταθ᾽ ἁπάντων ἀνθρώπων; ἔῤῥε ἀπ᾽ ἐμοῦ τὴν ταχίστην· οὐκέτι γὰρ ἔμοιγε καλὸν, οὐδ᾽ ὅσιον ἄλλως, ἄνδρ᾽ ἀπεχθημένον πρὸς τοὺς θεοὺς ἀποπέμπειν· τοῦτο γὰρ καὶ νῦν σε ἤλασε δεῦρο· ἀλλ᾽ οἴχου, ὅσον τάχος, ἀπιὼν, ὅποι βούλοιο· καὶ ταῦτα λέγων ἐξήλασέ με τῆς αὐλῆς βαρέως στενάζοντα.

Ἐντεῦθεν οὖν ἐπιβάντες αὖθις, ἐπλέομεν τοῦ πρόσω, οὐκ ἀνεκτῶς φέροντες τὸ συμβεβηκός· οἵ τ᾽ ἐρέσσοντες ἐκ πολλῆς ἀθυμίας καταπεπτώκεσαν τὰς ψυχὰς, ὡς μηκέθ᾽ ὁρῶντες μηδεμίαν σωτηρίας ἐλπίδα. Οὕτως οὖν ἐπλέομεν ἑξῆς ἓξ ἡμέρας, καὶ ἴσας νύκτας διηνεκῶς· τῇ δὲ ἑβδόμῃ ἥκομεν εἰς τὴν πόλιν τοῦ Λάμου, τὴν μεγάλην Λαιστρυγονίαν· ἔνθ᾽ ὁ μὲν ποιμὴν εἰσελαύνων τὴν ποίμνην ἀπὸ τῆς νομῆς, φωνεῖ τὸν βουκόλον κελεύων ἐξελάσαι τὰς βοῦς· ὁ δὲ πείθεταί γε· ἐκεῖ γὰρ ἄϋπνος ἀνὴρ διττοὺς ἂν μισθοὺς δύναιτο πράξασθαι· τὸν μὲν, τὴν ἡμέραν νέμων τὰ πρόβατα· τὸν δὲ, νυκτὸς βουκολῶν, ἀμφοτέρων τῶν νομῶν οὐσῶν ὡς ἐγγυτάτω τῆς πόλεως.

Ὡς δὲ ἀφικόμεθα πρὸς τῷ στόματι τοῦ λιμένος, ὃν ἡ φύσις πέτρᾳ τινὶ ἠλιβάτῳ ἐτείχισεν ἑκατέρωθεν, καὶ τὴν εἴσοδον προβλῆσιν ἐναντίαις ἀλλήλαις συναγαγοῦσα, ἐστένωσεν, οἱ μὲν ἄλλοι πάντες, εἰσιόντες ἔσχον αὐτοῦ πλησίον ἀλλήλων, δήσαντες τὰς ναῦς· διὰ γὰρ τὴν τοῦ λιμένος ἀρετὴν, μηδέποτε κῦμα ἐκ γαλήνης διηνεκῶς μήτε μέγα, μήτε μικρὸν διεγείρεται· ἐγὼ δὲ ἔξω τοῦ λιμένος

(τὸν βουκόλον) ἐξελάσαι τὰ ἑαυτοῦ. 83. Ἠπύει] φωνεῖ. 85. Ἄργυφα] λευκά. 86. Κέλευθοι] αἱ γὰρ ὁδοὶ τῶν νυκτερινῶν καὶ ἡμερινῶν νομῶν ἐγγὺς ἀλλήλων εἰσίν. 88. Διαμπερὲς] ἀπὸ τῆς εἰσόδου μέχρι τοῦ πυθμένος 90.

Αὐτοῦ ἐπ' ἐσχατιῇ, πέτρης ἐκ πείσματα δήσας·
Ἔστην δὲ, σκοπιὴν ἐς παιπαλόεσσαν ἀνελθών.
Ἔνθα μὲν οὔτε βοῶν οὔτ' ἀνδρῶν φαίνετο ἔργα,
Καπνὸν δ' οἶον ὁρῶμεν ἀπὸ χθονὸς ἀΐσσοντα.
Δὴ τότ' ἐγὼν ἑτάρους προΐειν πεύθεσθαι, ἰόντας,
Οἵτινες ἀνέρες εἶεν ἐπὶ χθονὶ σῖτον ἔδοντες,
Ἄνδρε δύω κρίνας, τρίτατον κήρυχ' ἅμ' ὀπάσσας.
Οἱ δ' ἴσαν ἐκβάντες λείην ὁδὸν, ᾗπερ ἅμαξαι
Ἄστυδ' ἀφ' ὑψηλῶν ὀρέων καταγίνεον ὕλην.
Κούρῃ δὲ ξύμβληντο πρὸ ἄστεος ὑδρευούσῃ,
Θυγατέρ' ἰφθίμῃ Λαιστρυγόνος Ἀντιφάταο.
Ἡ μὲν ἄρ' ἐς κρήνην κατεβήσετο καλλιρέεθρον
Ἀρτακίην· ἔνθεν γὰρ ὕδωρ προτὶ ἄστυ φέρεσκον·
Οἱ δὲ παριστάμενοι, προσεφώνεον, ἔκ τ' ἐρέοντο,
Ὅστις τῶνδ' εἴη βασιλεὺς καὶ τοῖσιν ἀνάσσοι.
Ἡ δὲ μάλ' αὐτίκα πατρὸς ἐπέφραδεν ὑψερεφὲς δῶ.
Οἱ δ' ἐπεὶ εἰσῆλθον κλυτὰ δώματα, τὴν δὲ γυναῖκα
Εὗρον, ὅσην τ' ὄρεος κορυφὴν, κατὰ δ' ἔστυγον αὐτήν.
Ἡ δ' αἶψ' ἐξ ἀγορῆς ἐκάλει κλυτὸν Ἀντιφατῆα,
Ὃν πόσιν, ὃς δὴ τοῖσιν ἐμήσατο λυγρὸν ὄλεθρον.
Αὐτίχ' ἕνα μάρψας ἑτάρων, ὡπλίσσατο δεῖπνον·
Τὼ δὲ δύ' ἀΐξαντε, φυγῇ ἐπὶ νῆας ἱκέσθην.
Αὐτὰρ ὁ τεῦχε βοὴν διὰ ἄστεος· οἱ δ' ἀΐοντες
Φοίτων ἴφθιμοι Λαιστρυγόνες ἄλλοθεν ἄλλος
Μυρίοι, οὐκ ἄνδρεσσιν ἐοικότες, ἀλλὰ Γίγασιν.
Οἵ ῥ' ἀπὸ πετράων ἀνδραχθέσι χερμαδίοισιν
Βάλλον· ἄφαρ δὲ κακὸς κόναβος κατὰ νῆας ὀρώρει,
Ἀνδρῶν τ' ὀλλυμένων, νηῶν θ' ἅμα ἀγνυμενάων·

Ἀραιὴ] στενὴ καὶ λεπτή. 100. Κατεγίνεον] κατῆγον κατεκόμιζον ξύλα.

προσχὼν τῇ ἐσχατιᾷ, καὶ δήσας τὴν ναῦν ἀπὸ τῶν πετρῶν, ἀνῆλθον ἐπὶ σκοπιὰν, ἀφ' ἧς οὔτε γεωργικὸν, οὔτ' ἄλλο τι σημεῖον ἀνθρώπων ἐφαίνετο οὐδαμοῦ· καπνὸν δ' ἑώρων ποθὲν ἀποθρώσκοντα· πρὸς ὃν ἑλόμενος δύο τῶν ἑταίρων, ἔπεμψα ὑπὸ κήρυκι τρίτῳ, πευσομένους, οἵτινες ἀνθρώπων τὴν χώραν ταύτην οἰκοῖεν· οἱ δὲ κατατείνοντες τὴν ἁμαξωτὸν, ᾗ κατεκόμιζον ἄνωθεν ἀπὸ τῶν ὀρέων εἰς τὴν πόλιν τὰ ξύλα, ἐνέτυχον παρθένῳ τῇ τοῦ Ἀντιφάτου τοῦ βασιλέως τῶν Λαιστρυγόνων θυγατρὶ, ἀπὸ τῆς καλλιῤῥόου Ἀρτακίας ὑδρευομένῃ· ὡς δὲ προσίεσαν αὐτῇ, ἐπυνθάνοντο, ὅστις, καὶ ὅτων ἄρχει ὁ βασιλεύων ἐνταῦθα· τῆς δὲ δειξάσης τὴν πατρῴαν οἰκίαν, εἰσελθόντες αὐτοὶ, εὗρον τὴν γυναῖκα τοῦ Ἀντιφάτου ἀνυπέρβλητον ἀναστήματι σώματος, ὥστ' ἐκπλαγέντες πρὸς τὴν θέαν, μὴ δύνασθαι ἀντιβλέπειν· ὡς γὰρ ἁπλῶς εἰπεῖν οὐκ ἀνθρώπῳ, κορυφῇ δὲ ἐῴκει ὄρους· μικρὸν δ' ὕστερον ἐλθὼν καὶ ὁ Ἀντιφάτης ἐκ τῆς ἀγορᾶς, μεταπεμψαμένης αὐτὸν ἐκείνης, καὶ ἅμ' ἰδὼν τοὺς ἄνδρας, ἐμελέτησεν ἐν τῷ κρυπτῷ αὐτοῖς τὴν ἀπώλειαν· ὁρμήσας γὰρ, ἕνα μὲν αὐτῶν κατέτρωξε συλλαβὼν ἐν τῷ παραυτίκα· οἱ δὲ δραπετεύσαντες, δρόμῳ ἐφέροντο ἐς τὰς ναῦς· Ἐντεῦθεν οὖν βοὴ ἦν ἀνὰ πᾶσαν τὴν πόλιν, καὶ δρόμος Λαιστρυγόνων ἄλλοθεν ἄλλων, μυρίων ὅσων, ἐφ' ἡμᾶς ἐπιόντων, ἀνδράσι μὲν οὔ, Γήγασι δὲ μάλιστα ἐοικότων· οἳ ἄνωθεν ὁρμώμενοι ἀπὸ τῶν σκοπέλων, ἔβαλλον λίθους παμμεγέθεις κατὰ τῶν νεῶν· θόρυβος οὖν ἦν ἐν ἡμῖν καὶ θρῆνος πολὺς, ἀνδρῶν μὲν ἀπολλουμένων, νεῶν δὲ καταῤῥηγνυμένων· οἱ δὲ Λαισρυγόνες δια-

---

113. Κατὰ δὲ ἔστυγον] κατεπλάγησαν. 121. Ἀνδραχθέσι] τοῖς τοὺς ἄνδρας καταβαρύνουσιν, ἢ τοῖς δυσφορήτοις, μεγάλοις. 123. Αγνυμενάων]

Ἰχθῦς δ' ὡς πείροντες, ἀτερπέα δαῖτα φέροντο.
Ὄφρ' οἱ τοὺς ὄλεκον λιμένος πολυβενθέος ἐντὸς,
Τόφρα δ' ἐγὼ ξίφος ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ,
Τῷ ἀπὸ πείσματ' ἔκοψα νεὸς κυανοπρώροιο.
Αἶψα δ' ἐμοῖς ἑτάροισιν ἐποτρύνας ἐκέλευσα
Ἐμβαλέειν κώπης, ἵν' ὑπὲκ κακότητα φύγοιμεν.
Οἱ δ' ἅλα πάντες ἀνέῤῥιψαν, δείσαντες ὄλεθρον.
Ἀσπασίως δ' ἐς πόντον ἐπηρεφέας φύγε πέτρας
Νηῦς ἐμή· αὐτὰρ αἱ ἄλλαι ἀολλέες αὐτόθ' ὄλοντο.
Ἔνθεν δὲ προτέρω πλέομεν, ἀκαχήμενοι ἦτορ,
Ἄσμενοι ἐκ θανάτοιο, φίλους ὀλέσαντες ἑταίρους.
Αἰαίην δ' ἐς νῆσον ἀφικόμεθ'· ἔνθα δ' ἔναιεν
Κίρκη εὐπλόκαμος, δεινὴ θεὸς, αὐδήεσσα,
Αὐτοκασιγνήτη ὀλοόφρονος Αἰήταο·
Ἄμφω δ' ἐκγεγάτην φαεσιμβρότου Ἠελίοιο
Μητρός τ' ἐκ Πέρσης, τὴν Ὠκεανὸς τέκε παῖδα.
Ἔνθα δ' ἐπ' ἀκτῆς νηΐ κατηγαγόμεσθα σιωπῇ
Ναύλοχον ἐς λιμένα, καί τις θεὸς ἡγεμόνευεν.
Ἔνθα τότ' ἐκβάντες δύο τ' ἤματα καὶ δύο νύκτας
Κείμεθ', ὁμοῦ καμάτῳ τε καὶ ἄλγεσι θυμὸν ἔδοντες.
Ἀλλ' ὅτε δὴ τρίτον ἦμαρ ἐϋπλόκαμος τέλεσ' Ἠὼς,
Καὶ τότ' ἐγὼν ἐμὸν ἔγχος ἑλὼν καὶ φάσγανον ὀξὺ,
Καρπαλίμως παρὰ νηὸς ἀνήϊον ἐς περιωπὴν,
Εἴ πως ἔργα ἴδοιμι βροτῶν ἐνοπήν τε πυθοίμην.
Ἔστην δὲ, σκοπιὴν ἐς παιπαλόεσσαν ἀνελθὼν,
Καί μοι ἐείσατο καπνὸς ἀπὸ χθονὸς εὐρυοδείης
Κίρκης ἐν μεγάροισι διὰ δρυμὰ πυκνὰ καὶ ὕλην.
Μερμήριξα δ' ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμὸν
Ἐλθεῖν ἠδὲ πυθέσθαι, ἐπεὶ ἴδον αἴθοπα καπνόν.
Ὧδε δέ μοι φρονέοντι δοάσσατο κέρδιον εἶναι,

νηχόμενοι, ὡς ἰχθύες, κατέτρωγον αὐτούς· ἐν δὲ τούτῳ ὁρῶν ἐγὼ τὰ ἐν τῷ λιμένι γενόμενα, σπασάμενος τὸ ξίφος ἀπὸ τοῦ μηροῦ, καὶ διατεμὼν τὰ πρυμνήσια, ἐκέλευσα τὴν ταχίςην, τῶν κωπῶν ἐπιλαβομένους, ἀνύτειν εἰρεσίᾳ τοῦ πρόσω· τῶν δ' ὀξέως ποιησάντων τὸ ἐντεταλμένον, ἀσμένως εἶδον τὴν ναῦν ὡς πόῤῥω τῶν ἐχθρῶν ἐς τὸ πέλαγος προκεχωρηκυῖαν· αἱ δὲ ἄλλαι ἀπώλοντο ἅπασαι αὐτοῖς ἀνδράσιν.

Ἐντεῦθεν δὲ ἐπλέομεν ἄσμενοι μὲν ἐπὶ τῇ φυγῇ τοῦ ἰδίου κινδύνου· ὑποβρύχιοι δὲ ἐν μέρει τῇ λύπῃ ἐπὶ τῷ τῶν εταίρων ὀλέθρῳ· ὡς δὲ ἀφικόμεθα πλέοντες εἰς Αἰαίαν τὴν νῆσον, ἐν ᾗ κατῴκει ἡ εὐπλόκαμος Κίρκη, θεὸς δεινὴ ἤδε καὶ ἡδυεπὴς ἐς τὰ μάλιςα, ἀδελφὴ Αἰήτου (ἄμφω γὰρ Ἡλίου καὶ Πέρσης τῆς τοῦ ὠκεανοῦ θυγατρὸς ἐγενέσθην) κατήχθημεν αὐτοῦ σιωπῇ εἰς λιμένα, ἔνθα δύο ἡμέρας καὶ ἴσας νύκτας διεγενόμεθα, τῷ τε καμάτῳ ἐκλελυμένοι, καὶ τὰς ψυχὰς οὐχ ἧττον ἐπὶ τοῖς συμβᾶσι καταπεπτωκότες.

Τρίτης τοίνυν ἐκ τούτων ἡμέρας ἤδη διαγελώσης, λαβὼν αὐτὸς τό,τε ξίφος καὶ δόρυ, ἐξῆλθον τῆς νεὼς εἰς περιωπήν τινὰ, ὀψόμενος ὅ,τιδήποτ' ἔργον χειρῶν ἀνθρώπων, ἢ φωνῆς ἀκούσων αὐτῶν· ἀνελθὼν δ' ἐπὶ σκοπιᾶς, ἔδοξα ἰδεῖν καπνὸν διὰ δρυμῶνος καὶ ὕλης πυκνῆς ἀποθρώσκοντα· τοῦτο δὲ ἦν τὰ τῆς Κίρκης βασίλεια· ἔγνων τοίνυν ἐν ἀρχῇ κατατεῖναι εὐθὺς πρὸς τὸν καπνὸν, μαθησόμενος ὅ,τι δήποτε· εἶτα δὲ γενόμενος ἐμαυτοῦ πρὸς τὸ βέλτιον, ἐπείσθην ἄμεινον δρά-

---

συντριβομένων. 124. Πείροντες] καὶ διανηχόμενοι, ὡς ἰχθύες, κατέτρωγον. 130. Ἀνέῤῥιψαν] ἄνω ἔῤῥιψαν τὸ ὕδωρ ταῖς κώπαις, ὅ ἐστιν, ἐκωπηλάτησαν. 136. Αὐδήεσσα] περίφημος. ἡ ἐπίγειος θεὸς, εὐπροσήγορος· 137. Αἰήτου. τοῦ βασιλέως τῶν Κόλχων, πατρὸς τῆς Μηδείας. 146. Ἀνήϊον] ἀνῆλθον· 149. Εἴσατο] ἐφάνη.—Εὐρυοδείης] Εὐρυόδου. 150. Διὰ δρυμὰ διὰ τῶν δασέων.

Πρῶτ' ἐλθόντ' ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης
Δεῖπνον ἑταίροισιν δόμεναι, προέμεν τε πυθέσθαι.
Ἀλλ' ὅτε δὴ σχεδὸν ἦα κιὼν νεὸς ἀμφιελίσσης,
Καὶ τότε τίς με θεῶν ὀλοφύρατο, μοῦνον ἐόντα,
Ὅς ῥά μοι ὑψίκερων ἔλαφον μέγαν εἰς ὁδὸν αὐτὴν
Ἧκεν· ὁ μὲν ποταμόνδε κατήϊεν ἐκ νομοῦ ὕλης,
Πιόμενος· δὴ γάρ μιν ἔχεν μένος ἠελίοιο.
Τὸν δ' ἐγὼ ἐκβαίνοντα κατ' ἄκνηστιν μέσα νῶτα
Πλῆξα· τὸ δ' ἀντικρὺ δόρυ χάλκεον ἐξεπέρησεν·
Κὰδ δ' ἔπεσ' ἐν κονίῃσι μακὼν, ἀπὸ δ' ἔπτατο θυμός.
Τῷ δ' ἐγὼ ἐμβαίνων, δόρυ χάλκεον ἐξ ὠτειλῆς
Εἰρυσάμην· τὸ μὲν αὖθι κατακλίνας ἐπὶ γαίῃ
Εἴασ'· αὐτὰρ ἐγὼ πασάμην ῥῶπάς τε λύγους τε·
Πεῖσμα δ', ὅσον τ' ὄργυιαν, ἐΰστρεφὲς ἀμφοτέρωθεν,
Πλεξάμενος, συνέδησα πόδας δεινοῖο πελώρου.
Βῆν δὲ καταλοφάδια φέρων ἐπὶ νῆα μέλαιναν,
Ἔγχει ἐρειδόμενος, ἐπεὶ οὔπως ἦεν ἐπ' ὤμου
Χειρὶ φέρειν ἑτέρῃ· μάλα γὰρ μέγα θηρίον ἦεν.
Κὰδ δ' ἔβαλον προπάροιθε νεός· ἀνέγειρα δ' ἑταίρους
Μειλιχίοις ἐπέεσσι παρασταδὸν ἄνδρα ἕκαστον·
Ὦ φίλοι, οὐ γάρ πω καταδυσόμεθ', ἀχνύμενοί περ,
Εἰς Ἀΐδαο δόμους, πρὶν μόρσιμον ἦμαρ ἐπέλθῃ.
Ἀλλ' ἄγετ', ὄφρ' ἐν νηῒ θοῇ βρῶσίς τε πόσις τε,
Μνησόμεθα βρώμης μηδὲ τρυχώμεθα λιμῷ.
Ὣς ἐφάμην· οἱ δ' ὦκα ἐμοῖς ἐπέεσσι πίθοντο·
Ἐκ δὲ καλυψάμενοι, παρὰ θῖν' ἁλὸς ἀτρυγέτοιο
Θηήσαντ' ἔλαφον· μάλα γὰρ μέγα θηρίον ἦεν.
Αὐτὰρ ἐπεὶ τάρπησαν, ὁρώμενοι ὀφθαλμοῖσιν,
Χεῖρας νιψάμενοι, τεύχοντ' ἐρικυδέα δαῖτα.
Ὣς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα

σειν, εἰ πρῶτον ἐλθὼν πάλιν δεῖπνον παραθείην τοῖς ἑταίροις παρὰ τῇ νηΐ· εἶθ' οὕτω πέμψαιμί τινας αὐτῶν πευσομένους, ἔσπευδον πάλιν· γενομένῳ δὲ οὐ πολὺ πόῤῥω τῆς νεὼς, θεῶν τις, ὡς ἔοικεν, ἐλεήσας, προῆκέ μοι κατὰ μέσην ὁδὸν ἔλαφον μεγάλην, ὑψίκερων, θαῦμ' ἰδεῖν· κατῄει δὲ αὕτη ἀπὸ τοῦ δρυμῶνος ἐν καύματι σαθερῷ πρὸς τὸ ὕδωρ· ἐγὼ δὲ βαλὼν τὸ δόρυ ἐπ' αὐτὴν, διήλασα διαμπὰξ ἐς τὰ νῶτα· καὶ πεσούσης σὺν ὀληχῇ, ἐπιβὰς ἀπεσπασάμην τὸ δόρυ· ὃ καταθεὶς, ῥῶπας τε καὶ λύγους, τινὰς ἀποσπάσας, καὶ συστρέψας ἐκ τῶν ἐνόντων, καὶ σχοῖνον ἀπ' αὐτῶν ἐκ συστροφῆς ὅσον ὀργειὰν συμπηξάμενος, καὶ συναγαγὼν τοὺς πόδας, περιέδησα συναλλήλως· οὕτω δὴ ἀράμενος ἐπ' ὤμων, ἤνυτον πρὸς τὴν ναῦν, ἐρειδόμενος τῷ δορί· οὐ γὰρ ἐξῆν μοι ἐφ' ἑτέρου τῶν ὤμων φέρειν αὐτὸ, τοῦ πτώματος ἐπιβρίθοντος διὰ μέγεθος, ταῖν χεροῖν τῇ ἑτέρᾳ· ὡς δ' ἐγενόμην πρὸς αὐτῇ τῇ νηΐ, καταθεὶς τὸ πτῶμα, διήγειρα τοὺς ἑτέρους, προσηνέσι καὶ λιπαροῖς πρὸς ἕνα ἕκαςον χρώμενος λόγοις· ὦ φίλοι, φάσκων, οὐκ ἔστιν εἰς ᾅδου καταδῦναι οὐδένα τρόπον, καίτοι τηκομένους τῇ λύπῃ, εἰ μὴ τῷ ἐπικέκλωστο· ἀλλ' ἄγετ' ἤδη ἑλώμεθα σῖτόν τε καὶ ποτὸν ἀπὸ τῶν παρόντων, ἵνα μὴ ἀπολώμεθα λιμῷ· ταῦτά μοι εἰπόντι ἐπείθοντο· ὡς δ' ἐκκαλυψάμενοι, εἶδον ἐπὶ τῆς ἠιόνος τηλικοῦτον θηρίον, ἔστησαν σὺν ἐκπλήξει καὶ χαρᾷ, πρὸς ἀλλήλους ὁρῶντες· εἶθ' οὕτω νιψάμενοι, παρεσκευάζοντο πρὸς τὸ δεῖπνον· καὶ καθεσθέντες, εὐωχούμεθα διὰ πάσης, ἐσθίοντές τε

---

155. Προέμεν] προπέμψαι. 160. Δὴν μένος] μέγα καῦμα αὐτὴν εἰλήφει. 161. Κατ' Ἄκνηστιν] κατὰ τὴν ῥάχιν, ἔνθ' οὐκ ἀφικνεῖται κνήσασθαι. 164. Ἐμβαίνων] ἐπιβὰς τῷ ποδί. 169. Καταλοφάδια] κατὰ τοῦ αὐχένος, ἐπ' ἀμφοῖν τοῖν ὤμοιν. 176. Ὄφρα] ὅπου ἐστί. 182. Ἐρικυδέα] εὐφραίνοντα

Ἥμεθα δαινύμενοι κρέα τ' ἄσπετα καὶ μέθυ ἡδύ.
Ἦμος δ' ἠέλιος κατέδυ, καὶ ἐπὶ κνέφας ἦλθεν,
Δὴ τότε κοιμήθημεν ἐπὶ ῥηγμῖνι θαλάσσης.

Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
Καὶ τότ' ἐγὼν ἀγορὴν θέμενος, μετὰ πᾶσιν ἔειπον.
Κεκλυτέ μευ μύθων, κακά περ πάσχοντες ἑταῖροι·
Ὦ φίλοι, οὐ γάρ τ' ἴδμεν, ὅπῃ ζόφος, οὐδ' ὅπῃ Ἠώς,
Οὐδ' ὅπῃ Ἠέλιος φαεσύμβροτος εἶσ' ὑπὸ γαῖαν,
Οὐδ' ὅπῃ ἀννεῖται· ἀλλὰ φραζώμεθα θᾶσσον,
Εἴ τις ἔτ' ἔσται μῆτις, ἐγὼ δ' οὐκ οἴομαι εἶναι·
Εἶδον γὰρ σκοπιὴν ἐς παιπαλόεσσαν ἀνελθὼν
Νῆσον, τὴν πέρι πόντος ἀπείριτος ἐστεφάνωται·
Αὐτὴ δὲ χθαμαλὴ κεῖται· καπνὸν δ' ἐνὶ μέσσῃ
Ἔδρακον ὀφλαμοῖσι διὰ δρυμὰ πυκνὰ καὶ ὕλην.
Ὣς ἐφάμην· τοῖσιν δὲ κατεκλάσθη φίλον ἦτορ
Μνησαμένοις ἔργων Λαιστρυγόνος Ἀντιφάταο,
Κύκλωπός τε βίης μεγαλήτορος, ἀνδροφάγοιο,
Κλαῖον δὲ λιγέως, θαλερὸν κατὰ δάκρυ χέοντες·
Ἀλλ' οὐ γάρ τις πρῆξις ἐγίγνετο μυρομένοισιν.
Αὐτὰρ ἐγὼ δίχα πάντας ἐϋκνήμιδας ἑταίρους
Ἠρίθμεον, ἀρχὸν δὲ μετ' ἀμφοτέροισιν ὄπασσα·
Τῶν μὲν ἐγὼν ἦρχον, τῶν δ' Εὐρύλοχος θεοειδής.
Κλήρους δ' ἐν κυνέῃ χαλκήρεϊ πάλλομεν ὦκα·
Ἐκ δ' ἔθορε κλῆρος μεγαλήτορος Εὐρυλόχοιο.

Βῆ δ' ἰέναι, ἅμα τῷγε δύω καὶ εἴκοσ' ἑταῖροι
Κλαίοντες· κατὰ δ' ἄμμε λίπον γοόωντας ὄπισθεν.
Εὗρον δ' ἐν βήσσῃσι τετυγμένα δώματα Κίρκης
Ξεστοῖσιν λάεσσι, περισκέπτῳ ἐνὶ χώρῳ.
Ἀμφὶ δέ μιν λύκοι ἦσαν ὀρέστεροι ἠδὲ λέοντες,
Τοὺς αὐτὴ κατέθελξεν, ἐπεὶ κακὰ φάρμακ' ἔδωκεν.

καὶ πίνοντες κρέα καὶ οἶνον εἰς ἥλιον καταδύντα· κἀπειδὴ συσκοτάζοι, ἐκοιμώμεθα ἐπὶ τῆς ἠϊόνος.

Ἡνίκα δ᾽ ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς, σύλλογον ποιησάμενος τῶν ἑταίρων, ἀκούσατε, ἔφην, ἔτι καὶ νῦν, ὦ ἑταῖροι· ὁρᾶτε γὰρ ὡς ἔχει ἡμῖν τὰ πράγματα νῦν· οὔτε γὰρ ἀνατολὴν, οὔτε δύσιν ἴσμεν ὅπη πότ᾽ εἴη, οὐ βορὰν, οὐδὲ νότον τὸ σύνολον· εἴτις οὖν νοῦς ἡμῖν ἔτιγε ὑπόλοιπος εἴη, ὥς γ᾽ ἐμοὶ σκοπουμένῳ τοῦτο, οὐκ ἔστιν, βουλευώμεθα τὴν ταχίστην. ἀνελθὼν γὰρ χθὲς εἰς χωρίον περίοπτον τῆς νήσου τῆσδε, ἣ τῷ ἀπείρῳ τούτῳ περιῤῥεῖται ὠκεανῷ, ἔδοξ᾽ ἰδεῖν κατὰ μέσην αὐτὴν καπνὸν ποθὲν διὰ δρυμῶνος καὶ ὕλης ἀνιόντα πυκνῆς· οἱ δὲ, ὡς ἤκουσαν, ὥσπερ βέλει τῷ λόγῳ τρωθέντες, ἀναπεπτώκασι, τῶν κατὰ Κύκλωπας καὶ Λαιστρυγόνας μνησθέντες συμβάντων· Καταβαλόντες οὖν ἑαυτοὺς ἐλεεινῶς κατὰ γῆς, ἐτήκοντο δάκρυσιν· ἀλλ᾽ ἐκ τῶν θρήνω οὐκ ἦν τι πλέον ἡμῖν γενέσθαι. Διελὼν τοίνυν αὐτὸς δίχα πάντας, ἀνὰ δύω καὶ εἴκοσι παρ᾽ ἑκάτερα, ἐπέστησα ἄρχοντας· τοῖς μὲν, Εὐρύλοχον· τοῖς δὲ, ἐμαυτόν· εἶθ᾽ οὕτω λαχόντων, ἐξῆλθε κλῆρος πρῶτος ὁ τοῦ Εὐρυλόχου ἰέναι.

Οὗτος οὖν ἡγούμενος οὕτω δύο καὶ εἴκοσιν ἑταίρων ὀδυρομένων, προῄει ὡς ἐπὶ τὸν καπνὸν, καταλιπὼν καὶ ἡμᾶς οὐχ ἧττον κλαίοντας τὴν τύχην αὐτῶν· ὡς δὲ ἐγένοντο ἐκεῖσε, εἶδον ἐν κοιλάδι τὰ τῆς Κίρκης βασίλεια, λίθων λογάδων ὅλως ξεστῶν, ἐν χωρίῳ κείμενα περισκέπτῳ· λύκοι δὲ πανταχόθεν ἄγριοι, καὶ λέοντες καρτερώνυχες, οὓς αὐτὴ ἡ θεὸς ἐγεγοητεύκει φαρμάκοις, ἅμ᾽ ἰδόντες τοὺς ἑταίρους, οὐκ

190. Ὅπῃ ζόφος] ποῦ μέν ἐστιν ἀνατολὴ, ποῦ δὲ δύσις· λέγει δὲ ταῦτα τὸ πολὺ τῆς πλάνης καὶ ἄπορον ἐς τοὐπιὸν δηλῶσαι βουλόμενος. 212. Ὀρέστεροι] ἄγριοι. 213. Κατέθελξε] μετέβαλε γοητείᾳ· ἢ χειροήθεις ἐποίησε.

Οὐδ' οἵγ' ὡρμήθησαν ἐπ' ἀνδράσιν, ἀλλ' ἄρα τοίγε
Οὐρῇσιν μακρῇσι περισσαίνοντες ἀνέσαν.
Ὡς δ' ὅτ' ἂν ἀμφὶ ἄνακτα κύνες δαίτηθεν ἰόντα
Σαίνωσ'· αἰεὶ γάρ τε φέρει μειλίγματα θυμοῦ·
Ὣς τοὺς ἀμφὶ λύκον κρατερώνυχες ἠδὲ λέοντες
Σαῖνον· τοὶ δὲ ἔδδεισαν, ἐπεὶ ἴδον αἰνὰ πέλωρα.
Ἔσαν δ' ἐν προθύροισι θεᾶς καλλιπλοκάμοιο·
Κίρκης δ' ἔνδον ἄκουον ἀειδούσης ὀπὶ καλῇ,
Ἱστὸν ἐποιχομένης μέγαν, ἄμβροτον· οἷα θεάων
Λεπτά τε καὶ χαρίεντα καὶ ἀγλαὰ ἔργα πέλονται.
Τοῖσι δὲ μύθων ἦρχε Πολίτης, ὄρχαμος ἀνδρῶν,
Ὅς μοι κήδιστος ἑτάρων ἦν, κεδνότατός τε·
Ὦ φίλοι, ἔνδον γάρ τις ἐποιχομένη μέγαν ἱστὸν
Καλὸν ἀοιδιάει, δάπεδον δ' ἅπαν ἀμφιμέμυκεν,
Ἢ θεὸς, ἠὲ γυνή· ἀλλὰ φθεγγώμεθα θᾶσσον.
Ὣς ἄρ' ἐφώνησεν· τοὶ δ' ἐφθέγγοντο καλεῦντες.
Ἡ δ' αἶψ' ἐξελθοῦσα, θύρα ὤϊξε φαεινὰς,
Καὶ κάλει· οἱ δ' ἅμα πάντες ἀϊδρείῃσιν ἕποντο·
Εὐρύλοχος δ' ὑπέμεινεν, ὀϊσάμενος δόλον εἶναι.
Εἷσεν δ' εἰσαγαγοῦσα κατὰ κλισμούς τε θρόνους τε·
Ἐν δέ σφιν τυρόν τε καὶ ἄλφιτα καὶ μέλι χλωρὸν
Οἴνῳ Πραμνείῳ ἐκύκα· ἀνέμισγε δὲ σίτῳ
Φάρμακα λύγρ', ἵνα πάγχυ λαθοίατο πατρίδος αἴης.
Αὐτὰρ ἐπεὶ δῶκέν τε καὶ ἔκπιον, αὐτίκ' ἔπειτα
Ῥάβδῳ πεπληγυῖα, κατὰ συφεοῖσιν ἐέργνυ.
Οἱ δὲ συῶν μὲν ἔχον κεφαλὰς, φωνήν τε, τρίχας τε,
Καὶ δέμας, αὐτὰρ νοῦς ἦν ἔμπεδος, ὡς τὸ πάρος περ.
Ὣς οἱ μὲν κλαίοντες ἐέργατο· τοῖσι δὲ Κίρκη

216. Δαίτηθεν] ἐκ δαιτὸς ἐρχόμενον. 225. Κήδιστος] συγγενὴς, ἢ φροντίδος

ἐπῄεσαν ἐπ' αὐτούς· τοὐναντίον δὲ, ἀναστάντες, ἔσαινον φιλοφρόνως, καθάπερ κύνες, ἐπειδὰν ἴδωσι τὸν δεσπότην ἐξιόντα ποθὲν ἀπὸ εὐωχείας, καὶ μειλίγματ' ἄττα συνήθως αὐτοῖς διανέμοντα. Τηλικαῦτα τοίνυν θηρία ἰδόντες, κατέπτηξαν μὲν, ἔστησαν δὲ πρὸς τῇ θύρᾳ (τί γὰρ ἂν καὶ πάθοιεν ἐν τούτῳ γενόμενοι;) ἀκούοντες τῆς θεᾶς ἀδούσης ἔνδον φωνῇ θεσπεσίᾳ ἐν τῷ ὑφαίνειν ἱστὸν μέγαν τε καὶ ἀθάνατον, οἷα ἂν εἴη τὰ τῶν θεῶν λεπτὰ καὶ χαρίεντα ἔργα. Οὕτως οὖν ἐχόντων αὐτῶν, στραφεὶς ὁ Πολίτης, ἀνὴρ ξυνετὸς, καὶ τῶν ἑταίρων πάντων πλείονος λόγου ἔμοιγε ἄξιος, φησὶ πρὸς τοὺς ἄλλους, ὦ φίλοι, ἐγώ μοι δοκῶ ἱστουργούσης ἔνδον, καὶ ἡδέως τινὸς ἀδούσης ἀκούειν, οἷον καὶ πᾶν τὸ δῶμα τοῦτ' ἐπηχεῖν· τί οὖν; ἤτοι γὰρ θεός ἐστιν, ἢ γυνή· τίς οὖν φόβος ὕπεστιν ἡμῖν φθέγξασθαί τι πρὸς αὐτήν;

Ταῦτα δ' αὐτοῦ εἰπόντος, ἐπῄνεσαν ἅπαντες· καὶ δὴ φωνήσασιν αὐτοῖς, ἐξελθοῦσα ἡ θεὸς, τάς τε θύρας ἀνέῳξε, καὶ ἐκέλευεν εἰσιέναι· οἱ δὲ εἵποντο αὐτῇ ἡγουμένῃ, πλὴν Εὐρυλόχου· οὗτος γὰρ ἐν ὑπονοίᾳ γενόμενος πρὸς τὸ πρᾶγμα, ὑπελείπετο μόνος. Ὡς δ' οὖν ἐγένοντο ἔνδον, καθίσασα αὐτοὺς ἡ θεὸς ἐπὶ θρόνων, παρέθηκε φαγεῖν, τυρόν τε καὶ ἄλφιτα καὶ μέλι Πραμνείῳ κυκήσασα οἴνῳ, καὶ φάρμακα μίξασα τοῖς σιτίοις, οἷα πάμπαν τῆς πατρίδος ἐπιλαθέσθαι· ὡς δ' ἔφαγόν τε καὶ ἔπιον, πλήξασα ἕνα ἕκαστον ῥάβδῳ, μετέβαλεν αὐτοὺς παραδόξως τάς τε κεφαλὰς, τήν τε φωνὴν, τό, τε σῶμα πᾶν, καὶ τὰς τρίχας εἰς χοίρους, παραμένοντος μόνου τοῦ λογικοῦ· κἀντεῦθεν ἐλάσασα αὐτοὺς, καθεῖρξεν ἐν τοῖς συφεοῖς κλαίοντας καὶ ὀδυρομένους, παραβαλοῦσ' αὐτοῖς ἄκυλόν τε, καὶ βάλανον,

---

ἄξιος. — Κεδνότατος] τιμιώτατος. 227. Περιειχεῖ. 230. Ὤιξε] ἀνέῳξε. 231. Ἀιδρείῃσι] ἀφροσύνῃ. 238. Κατὰ . . Ἔεργνυ] καθεῖργεν, κατέκλειεν

Παρ' ἄκυλον, βάλανόν τ' ἔβαλεν, καρπόν τε κρανείης
Ἔδμεναι, οἷα σύες χαμαιευνάδες αἰὲν ἔδουσιν.
  Εὐρύλοχος δ' αἶψ' ἦλθε θοὴν ἐπὶ νῆαν μέλαιναν,
Ἀγγελίην ἑτάρων ἐρέων καὶ ἀδευκέα πότμον.
Οὐδέ τι ἐκφάσθαι δύνατο ἔπος, ἱέμενός περ,
Κῆρ ἄχεϊ μεγάλῳ βεβολημένος· ἐν δέ οἱ ὄσσε
Δακρυόφιν πίμπλαντο, γόον δ' ὠΐετο θυμός.
Ἀλλ' ὅτε δή μιν πάντες ἀγασσάμεθ' ἐξερέοντες,
Καὶ τότε τῶν ἄλλων ἑτάρων κατέλεξεν ὄλεθρον·
Ἤομεν, ὡς ἐκέλευες ἀνὰ δρυμὰ, φαίδιμ' Ὀδυσσεῦ·
Εὕρομεν ἐν βήσσησι τετυγμένα δώματα καλὰ
Ξεστοῖσιν λάεσσι περισκέπτῳ ἐνὶ χώρῳ·
Ἔνθα δέ τις μέγαν ἱστὸν ἐποιχομένη λίγ' ἄειδεν,
Ἢ θεὸς, ἠὲ γυνή· τοὶ δ' ἐφθέγγοντο καλεῦντες.
Ἡ δ' αἶψ' ἐξελθοῦσα, θύρας ὤϊξε φαεινὰς
Καὶ κάλει· οἱ δ' ἅμα πάντες ἀϊδρείῃσιν ἕποντο·
Αὐτὰρ ἐγὼν ὑπέμεινα, ὀϊσάμενος δόλον εἶναι.
Οἱ δ' ἅμ' ἀϊστώθησαν ἀολλέες, οὐδέ τις αὐτῶν
Ἐξεφάνη· δηρὸν δὲ καθήμενος ἐσκοπίαζον.
  Ὣς ἔφατ'· αὐτὰρ ἐγὼ περὶ μὲν ξίφος ἀργυρόηλον
Ὤμοιϊν βαλόμην, μέγα, χάλκεον· ἀμφὶ δὲ τόξα·
Τὸν δ' αἶψ' ἠνώγεα αὐτὴν ὁδὸν ἡγήσασθαι.
Αὐτὰρ ὅγ' ἀμφοτέρῃσι λαβὼν ἐλλίσσετο γούνων·
Καί μ' ὀλοφυρόμενος ἔπεα πτερόεντα προσηύδα·
Μή μ' ἄγε κεῖσ' ἀέκοντα, Διοτρεφὲς, ἀλλὰ λίπ' αὐτοῦ·
Οἶδα γὰρ ὡς οὔτ' αὐτὸς ἐλεύσεαι, οὔτε τιν' ἄλλον

αὐτοὺς ἐν τοῖς τῶν χοίρων σταθμοῖς, χοίρους ἤδη γεγεννημένους. 242. ἄκυλον τὸν] ἐκ πρίνου βάλανον. 243. Ἔδμεναι] τρώγειν. 245. Ἀδευκέα] ἀδόκητον, ἢ πικρὸν καὶ χαλεπὸν. 247. Βεβολημένος] βεβλημένος. 248. Ὠΐετο]

καὶ κρανείας τρώγειν καρπὸν, οἷα δὴ μάλιστα ἐσθίουσιν σῦες χαμευνέται· τούτοις μὲν δὴ ὧδ' ἔσχε τὰ πράγματα.

Εὐρύλοχος δὲ ἧκεν πάλιν ὡς ἡμᾶς, τὴν τῶν ἄλλων τύχην ἡμῖν ἀγγελῶν· ἀλλ' ἐλθὼν, οὐκέτι ἐδύνατο φθέγξασθαι ὑπὸ λύπης, καίτοι βουλόμενος· ἦν μὲν γὰρ τοὺς μὲν ὀφθαλμοὺς δακρύων μεστός· τὴν δὲ ψυχὴν πολλῷ τῷ πάθει γενόμενος ὑποβρύχιος· ὡς δ' ἅπαντες ἐπιπηδήσαντες ἀθρόοι, ἐξεβιασάμεθα αὐτὸν εἰπεῖν ἡμῖν ὅ,τι γένοιτο, λύσας τὴν σιωπὴν, ἤρξατο διεξιέναι τὴν τῶν ἄλλων ἀπώλειαν, ἐξηγούμενος ὧδε· Ἰόντες, ὦ φαίδιμε Ὀδυσσεῦ, ὡς ἐκέλευσας, διὰ τοῦ δρυμῶνος, ἐνετύχομεν δώμασι λαμπροῖς, λίθων ὅλως ξεστῶν ἐν ἀπόπτῳ χωρίῳ κατὰ τὰς κοιλάδας οἰκοδομημένοις· ὧν ἐντὸς φωνή τις ἱστουργούσης, καὶ ἅμα ᾀδούσης θεσπεσία ἠκούετο, εἴτε θεὸς, εἴτ' ἄνθρωπός ἐστιν αὕτη, ἔγωγε μὲν οὐκ οἶδα· αὕτη δὲ, φωνησάντων τῶν ἡμετέρων, ἐξελθοῦσα, τάς τε θύρας ἀνοίξασα, καὶ φιλοφρόνως ὑποδεξαμένη, εἰσήγαγεν ἔνδον, οἱ δ' εἵποντο ἀφροσύνῃ· ἐκ δὲ τούτου, καίτοι πολὺν χρόνον περιεσκόπουν, ἐν γωνίᾳ καθήμενος αὐτὸς ἔξω, οὐκέτι εἶδον οὐδέν' αὐτῶν οὐδαμοῦ· ταῦτα μὲν ἐκεῖνος.

Ἐγὼ δὲ πολλῷ πάθει ληφθεὶς, ἐξεπήδησα, ταῦτ' ἀκούσας· καὶ ἐξαρτήσας τῶν ὤμων τὸ ξίφος, καὶ τὸ δόρυ λαβὼν, ἐκέλευον τὴν αὐτήν μοι ἐξηγήσασθαι ὡς ἐκείνους· ὁ δὲ, ἀμφοτέραις τῶν ἐμῶν γονάτων λαβόμενος, ἐδεῖτο σὺν ὀδυρμῷ, μὴ, ὦ φαίδιμε Ὀδυσσεῦ, λέγων, μὴ ἄγε με ἄκοντα· οὐκέτι γὰρ ἐλπὶς οὕτως, οὔτε σὲ ἐκεῖσε ἰόντα, οὔτ' ἄλλον τινὰ ἐκείνων ἐπανήξειν δευρί· ἀλλὰ σύγε κέλευε μᾶλλον τοὺς ὑπολει-

---

προησθάνετο, ἐμελέτα. 249. Ἀγασσάμεθα] ἐμεμψάμεθα. 259. Ἀϊςώθησαν] ἠφανίσθησαν. 260. Ἀσκοπίαζον] κατεσκόπουν. 283. Ἔρχαται] καθειργμέναι

Ἄξεις σῶν ἑτάρων· ἀλλὰ ξὺν τοῖσδεσι θᾶσσον
Φεύγωμεν· ἔτι γάρ κεν ἀλύξαιμεν κακὸν ἦμαρ.
Ὣς ἔφατ᾽· αὐτὰρ ἐγώ μιν ἀμειβόμενος, προσέειπον·
Εὐρύλοχ᾽, ἤτοι μὲν σὺ μέν᾽ αὐτοῦ τῷδ᾽ ἐνὶ χώρῳ,
Ἔσθων καὶ πίνων, κοίλῃ παρὰ νηῒ μελαίνῃ·
Αὐτὰρ ἐγὼ εἶμι· κρατερὴ δέ μοι ἔπλετ᾽ ἀνάγκη.
Ὣς εἰπὼν παρὰ νηὸς ἀνήϊον ἠδὲ θαλάσσης.
Ἀλλ᾽ ὅτε δὴ ἄρ᾽ ἔμελλον ἰὼν ἱερὰς ἀνὰ βήσσας
Κίρκης ἵξεσθαι πολυφαρμάκου ἐς μέγα δῶμα,
Ἔνθα μοι Ἑρμείας χρυσόῤῥαπις ἀντεβόλησεν,
Ἐρχομένῳ πρὸς δῶμα, νεηνίῃ ἀνδρὶ ἐοικὼς,
Πρῶτον ὑπηνήτῃ, τοῦπερ χαριεστάτη ἥβη·
Ἔν τ᾽ ἄρα μοι φῦ χειρὶ ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζεν·
Πῆ δ᾽ αὖτ᾽, ὦ δύστηνε, δι᾽ ἄκριας ἔρχεαι οἶος,
Χώρου ἄϊδρις ἐών; ἕταροι δέ τοι οἵδ᾽ ἐνὶ Κίρκης
Ἔρχαται, ὥστε σύες, πυκινοὺς κευθμῶνας ἔχοντες.
Ἦ τοὺς λυσόμενος δεῦρ᾽ ἔρχεαι; οὐδέ σέ φημι
Αὐτὸν νοστήσειν, μενέεις δὲ σύγ᾽, ἔνθα περ ἄλλοι.
Ἀλλ᾽ ἄγε δή σε κακῶν ἐκλύσομαι ἠδὲ σαώσω.
Τῆ, τόδε φάρμακον ἐσθλὸν ἔχων, ἐς δώματα Κίρκης
Ἔρχευ, ὅ κέν τοι κρατὸς ἀλάλκησιν κακὸν ἦμαρ.
Πάντα δέ τοι ἐρέω ὀλοφώϊα δήνεα Κίρκης.
Τεύξει τοι κυκεῶ, βαλέει δ᾽ ἐν φάρμακα σίτῳ.
Ἀλλ᾽ οὐδ᾽ ὧς θέλξαι σε δυνήσεται· οὐ γὰρ ἐάσει
Φάρμακον ἐσθλὸν, ὅ τοι δώσω· ἐρέω δὲ ἕκαστα.
Ὁππότε κεν Κίρκη σ᾽ ἐλάσῃ περιμήκεϊ ῥάβδῳ,
Δὴ τότε σὺ ξίφος ὀξὺ ἐρυσάμενος παρὰ μηροῦ,
Κίρκῃ ἐπαΐξαι, ὥστε κτάμεναι μενεαίνων.
Ἡ δέ σ᾽ ὑποδδείσασα, κελήσεται εὐνηθῆναι·
Ἔνθα σὺ μηκέτ᾽ ἔπειτ᾽ ἀπανήνασθαι θεοῦ εὐνὴν,

πομένους ἡμᾶς ἅπαντας ἀποσώζεσθαι, εἰ ἐκφύγοιμεν, εἰς τὸ πέλαγος.

Ἐγὼ δ' ὑπολαβὼν, σὺ μὲν, ἔφην, παράμενε ὧδε, ἐσθίων καὶ πίνων καθήμενος· ἐγὼ δὲ πολλὴν συνορῶ ἀνάγκην μοι οὖσαν ἰέναι· καὶ ταῦτ' εἰπὼν, κατέτεινον ἄνω· Ὡς δὲ κατὰ τὰς βήσσας γενόμενος, ἤμελλον παρὰ μικρὸν εἰσιέναι εἰς τὸ δῶμα τῆς Κίρκης, ἐντυγχάνω Ἑρμῇ χρυσοῤῥάβδῳ, νεανίᾳ ὅλως ἀνδρὶ ἐοικότι, ἄρτι γενειῶντι, ᾧ ἤδη χαρίεσσα ἐπανθεῖ· οὗτος δὴ καταψήσας με τῇ χειρὶ φιλοφρόνως, ποίαν ταύτην, ὦ δύστηνε σύγε, ἔφη, οὕτω διὰ τραχείας κατασπεύδεις ὁδὸν, ἣν οὐκ οἶσθα; οἱ γὰρ ἑταῖροί σου καθείρχαται πάντες ᾡδὶ ἐν τοῖς συφεοῖς, γενόμενοι σύες· ἢ σπεύδεις τούτους λυσόμενος; ἀλλ ἴσθι καὶ αὐτὸς ὁμοίως ἐκείνοις μετ' ἐκείνων ἐν τοῖς αὐτοῖς συγκαθειρχθησόμενος· Ἀλλ' ἄγε μοι πείθου, εἴτι βούλει εὑρέσθαι παρ' ἐμοῦ πρὸς ταῦτ' ἀντιφάρμακον· λαβὼν γὰρ τόδε, εἴσελθε θαῤῥῶν εἰς τὸ δῶμα· δεῖ δ' οὖν ἐκεῖνο εἰδέναι σε πάντων μάλιστα, δόλους ὑφαίνειν τὴν θεὰν δεινὴν οὖσαν· ἅμα γὰρ εἰσιόντι κατασκευάσει σοι κυκεῶνα, φαρμάκοις, οἷς οἶδε, συγκαταμίξασα· ἀλλ' οὐκ ἂν οὐδ' οὕτως σε καταγοητεύσειε, τοῦ ἀλεξιφαρμάκου, ὃ αὐτίχ' εὑρήσῃ παρ' ἐμοῦ, ἀπὸ ἰσχυροτέρας δυνάμεως ἀντιπράττοντος· Τί οὖν φημί σε ποιεῖν; ἄκουσον· ἡνίκ' ἂν ἡ Κίρκη προσιοῦσα, ἐλάσῃ σε ῥάβδῳ, μέμνησο σύγ' εὐθὺς ὁμόσε ἰέναι ἐπ' αὐτὴν, τὸ ξίφος σπασάμενος, ὡς δοκῶν ἀναιρήσειν ἐκείνην αὐτίκα· οὕτω γὰρ ὑποτρέσασα, τάτ' ἄλλα τιμήσει σε τὰ εἰκότα, καὶ τῆς ἑαυτῆς εὐνῆς ἀξιώσει σε δεο-

---

εἰσί· παρὰ τὸ ἔργειν. εἴργειν. 288. Τῆ τόδε] λάβε τόδε. 289. Ὀλοφώϊα] ὀλέθρια βουλεύματα. 290. Κυκεῶ] κυκεῶνα, κατ' ἀποκοπήν· ἔστι δὲ κυκεὼν τὸ ἐξ οἴνου καὶ μέλιτος καὶ ἀλφίτων καὶ ὕδατος καὶ τυροῦ ἀναμεμιγμένον πόμα κατὰ τὸν σχολιαστήν. 296, Κελήσεται] κελεύσει, παρὰ τὸ κέλω·

Ὄφρα κέ τοι λύσῃ θ' ἑτάρους αὐτόν τε κομίσσῃ·
Ἀλλὰ κέλεσθαί μιν μακάρων μέγαν ὅρκον ὀμόσσαι,
Μήτι σοι αὐτῷ πῆμα κακὸν βουλευσέμεν ἄλλο·
Μή σ' ἀπογυμνωθέντα κακὸν καὶ ἀνήνορα θείῃ.
Ὣς ἄρα φωνήσας πόρε φάρμακον Ἀργειφόντης,
Ἐκ γαίης ἐρύσας, καί μοι φύσιν αὐτοῦ ἔδειξεν.
Ῥίζῃ μὲν μέλαν ἔσκε, γάλακτι δὲ εἴκελον ἄνθος·
Μῶλυ δέ μιν καλέουσι θεοί· χαλεπὸν δέ τ' ὀρύσσειν
Ἀνδράσι γε θνητοῖσι· θεοὶ δέ τε πάντα δύνανται.
Ἑρμείας μὲν ἔπειτ' ἀπέβη πρὸς μακρὸν Ὄλυμπον
Νῆσον ἀν' ὑλήεσσαν· ἐγὼ δ' ἐς δώματα Κίρκης
Ἤϊα· πολλὰ δέ μοι κραδίη πόρφυρε κιόντι.
Ἔστην δ' εἰνὶ θύρῃσι θεᾶς καλλιπλοκάμοιο·
Ἔνθα στὰς ἐβόησα, θεὰ δέ μευ ἔκλυεν αὐδῆς.
Ἡ δ' αἶψ' ἐξελθοῦσα θύρας ὤϊξε φαεινὰς
Καὶ κάλει· αὐτὰρ ἐγὼν ἑπόμην, ἀκαχήμενος ἦτορ.
Εἷσε δέ μ' εἰσαγαγοῦσα ἐπὶ θρόνου ἀργυροήλου,
Καλοῦ, δαιδαλέου· ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν·
Τεῦξε δέ μοι κυκεῶ χρυσέῳ δέπα', ὄφρα πίοιμι·
Ἐν δέ τε φάρμακον ἧκε, κακὰ φρονέουσ' ἐνὶ θυμῷ.
Αὐτὰρ ἐπεὶ δῶκέν τε καὶ ἔκπιον, οὐδέ μ' ἔθελξεν,
Ῥάβδῳ πεπληγυῖα, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
Ἔρχεο νῦν συφεόνδε, μετ' ἄλλων λέξο ἑταίρων.
Ὣς φάτ'· ἐγὼ δ' ἄορ ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ
Κίρκῃ ἐπήϊξα, ὥστε κτάμεναι μενεαίνων.
Ἡ δὲ μέγα ἰάχουσα, ὑπέδραμε, καὶ λάβε γούνων,
Καί μ' ὀλοφυρομένη, ἔπεα πτερόεντα προσηύδα·
Τίς πόθεν εἷς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες;
Θαῦμά μ' ἔχει, ὡς οὔτι πιὼν τάδε φάρμακ', ἐθέλχθης.
Οὐδὲ γὰρ οὐδέ τις ἄλλος ἀνὴρ τάδε φάρμακ' ἀνέτλη,

μένη· ὃ ἀσμένως αὐτὸς δεξάμενος, τοὺς θ' ἑταίρους λύσῃ ῥᾳδίως, καὶ αὐτὸς πολλῆς θεραπείας ἀξιωθήσῃ· μέμνησο δὲ πρὸ πάντων ὁρκῶσαι αὐτὴν κατὰ πάντων τῶν ἀθανάτων, ἦ μὴν μηδὲν ἐπίβουλον ἄλλο σοι τολυπεύσειν, ἄνοπλόν τε καὶ ἄναλκιν ἐν κλίνῃ λαβοῦσα. Ταῦτα δὴ εἰπὼν ὁ Ἑρμῆς, δέδωκέ μοι τὸ φάρμακον, ἐκ γῆς ἀνελὼν, διδάξας με καὶ τὴν φύσιν· ἣν γὰρ τὴν μὲν ῥίζαν, μέλαν· τὸ δὲ ἄνθος, γάλακτι ὅμοιον· Μῶλυ δ' αὐτὸ οἱ θεοὶ ὀνομάζουσιν· ἀνθρώποις δ' ὅμως οὐκ ἀκίνδυνον ἀνορύττειν· τοῖς δὲ θεοῖς πάντα δυνατά· Ταῦτ' οὖν εἰπὼν ἐκεῖνος, ᾤχετο εἰς Ὄλυμπον ἀπιών.

Ἐγὼ δ' ἰὼν τοῦ πρόσω, πολλὰ κατὰ νοῦν ἀνεκύκλουν· καὶ δὴ γενόμενος πρὸς τῇ θύρᾳ, ἐκάλουν φθεγξάμενος, εἴτις ἔλθοι· ἡδὲ ἐξῄει ἀκούσασα παραχρῆμα· καὶ εἰσαγαγοῦσά με, ἐκέλευσε καθεσθῆναι ἐφ' ἕδρας ἀργυροήλου τε καὶ ποικίλης, ὑπόντος ὑποποδίου· οὕτω δὲ συσκευάσασα κυκεῶνα, καὶ πολλὰ τῶν φαρμάκων συγκαταμίξασα, διαφθείρειν με βουλομένη, ἔδωκεν ἐκπιεῖν· ἀλλ' ἐγὼ καὶ ἐκπιὼν, οὐκ ἠλλοιώμαι· ἡ δὲ πλήξασά με τῇ ῥάβδῳ, ἴθι, ἔφη, καὶ αὐτὸς παρὰ τὸν συφεὸν συγκαταλέγου τοῖς ἄλλοις· ἐγὼ δὲ σπασάμενος τὸ ξίφος πολλῇ τῇ σφοδρότητι, ἐπεπήδησα, δόκησιν παρέχων αὐτῇ αὐτίκ' ἀποσφάξειν· ἡ δὲ ῥήξασασα φωνὴν, ἔλαβετο τῶν ἐμῶν γονάτων ὑποδραμοῦσα· καὶ ὑπότρομος γενομένη, τίς εἶ, φησί; τίς ἡ πόλις; τίνες δὲ οἱ τεκόντες; θαυμάζειν γὰρ ἔπεισί μοι ὅπως ταῦτα πιὼν, οὐκ ἠλλοίωσαι· οὐδεὶς γάρ πω τῶν ἁπάντων ἀνθρώπων ἔσθ', ὅς τις οὐκ

---

298. Κομίσῃ θεραπεύσῃ. 301. Ἀνήνορα] ἄνευ ἠνορίης. ἀνδρείας· 305. Μῶλυ εἶδός ἐστι βοτάνης τὸ μῶλυ, παρὰ τὸ μωλύειν τὸ ἀφανίζειν τὰ φάρμακα. λέγεται δε ἀναφῦναι ἐξ αἵματος τινὸς τῶν Γιγάντων. 309. Πόρφυρε] διελογίζετο. 317. Ἐν δέτε] ἐν δὲ αὐτῷ ἐνῆκε φάρμακον. 320. Λέξο] λέλεξο,

Ἡ δὲ τετάρτη ὕδωρ ἐφόρει, καὶ πῦρ ἀνέκαιεν
Πολλὸν ὑπὸ τρίποδι μεγάλῳ· ἰαίνετο δ' ὕδωρ.
Αὐτὰρ ἐπειδὴ ζέσσε ὕδωρ ἐνὶ ἤνοπι χαλκῷ,
Ἔς ῥ' ἀσάμινθον ἕσασα, λό' ἐκ τρίποδος μεγάλοιο,
Θυμῆρες κεράσασα κατὰ κρατός τε και ὤμων,
Ὄφρα μοι ἐκ κάματον θυμοφθόρον εἵλετο γυίων.
Αὐτὰρ ἐπεὶ λοῦσέν τε, καὶ ἔχρισεν λίπ' ἐλαίῳ,
Ἀμφὶ δέ με χλαῖναν καλὴν βάλεν ἠδὲ χιτῶνα·
Εἷσε δέ μ' εἰσαγαγοῦσα ἐπὶ θρόνου ἀργυροήλου,
Καλοῦ, δαιδαλέου· ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν·
Χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα
Καλῇ, χρυσείῃ, ὑπὲρ ἀργυρέοιο λέβητος,
Νίψασθαι· παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν.
Σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
Εἴδατα πόλλ' ἐπιθεῖσα, χαριζομένη παρεόντων·
Ἐσθέμεναι δ' ἐκέλευεν· ἐμῷ δ' οὐχ ἥνδανε θυμῷ·
Ἀλλ' ἥμην ἀλλοφρονέων, κακὰ δ' ὄσσετο θυμός.
Κίρκη δ' ὡς ἐνόησεν ἔμ' ἥμενον, οὐδ' ἐπὶ σίτῳ
Χεῖρας ἰάλλοντα, κρατερὸν δέ με πένθος ἔχοντα,
Ἄγχι παρισταμένη, ἔπεα πτερόεντα προσηύδα·
Τίφθ' οὕτως, Ὀδυσεῦ, κατ' ἄρ' ἕζεαι ἶσος ἀναύδῳ,
Θυμὸν ἔδων, βρώμης δ' οὐχ ἅπτεαι οὐδὲ ποτῆτος;
Ἤ τινά που δόλον ἄλλον οἴεαι· οὐδέ τί σε χρὴ
Δειδίμεν· ἤδη γάρ τοι ἀπώμοσα καρτερὸν ὅρκον.
Ὣς ἔφατ'· αὐτὰρ ἐγώ μιν ἀμειβόμενος, προσέειπον·
Ὦ Κίρκη, τίς κεν ἀνὴρ, ὃς ἐναίσιμος εἴη,
Πρὶν τλαίη πάσσασθαι ἐδητύος ἠδὲ ποτῆτος,
Πρὶν λύσασθ' ἑτάρους, καὶ ἐν ὀφθαλμοῖσιν ἰδέσθαι;
Ἀλλ' εἰ δὴ πρόφρασσα πιεῖν φαγέμεν τε κελεύεις,
Λῦσον, ἵν' ὀφθαλμοῖσιν ἴδω, ἐρίηρας ἑταίρους·
Ὣς ἐφάμην· Κίρκη δὲ δι' ἐκ μεγάροιο βεβήκει,

τετάρτη, ὑδροφόρος γε οὖσα, καὶ τὸ πῦρ ἀνακαίουσα, ἐθέρμαινεν ὕδωρ ἐν τρίποδι, Ὡς δὲ τοῦθ' ἕτοιμον ἦν, εἰσαγαγοῦσά με εἰς τὴν πύελον, ἔλουεν, ἐκ τρίποδος μεγάλου ἀντλοῦσα, καὶ κατά τε κεφαλῆς καὶ τῶν ὤμων θυμῆρές τι ἐπιχέουσα, μέχρις οὗ ἐξεῖλεν ὅλως τὸν ἀπὸ τῆς ταλαιπωρίας ἐνόντα μοι αὐχμόν τε καὶ κάματον· Ὡς δέ μοι μάλα καλῶς τοῦτο εἶχεν αὖθις, ἀλείψασά με ἐλαίῳ, περιέβαλε χιτῶνι καὶ χλαίνῃ καλῇ· κἀντεῦθεν εἰσαγαγοῦσα πάλιν, ἔνθ' ἦν ἡμῖν παρεσκευασμένα δειπνεῖν, ἐκάθισέ με ἐφ' ἕδρας ἀργυροήλου ποικίλης, ὑποθεῖσα καὶ ὑποπόδιον. εἶθ' οὕτω τῆς τραπέζης παρασκευασθείσης, καὶ τῶν ἐδωδίμων ἀφθόνων παρατεθειμένων, νιψάμενοι παρεκλίθημεν· ἀλλ' ἔμοιγε οὐ καθ' ἡδονὴν ἦν τὰ παρόντα γιγνόμενα, πολλὰ περὶ τῶν μελλόντων κατ' ἐμαυτὸν διανοουμένῳ· ἡ δὲ ὁρῶσά με σκυθρωπάζοντα, καὶ σίτου τὸ σύνολον ἀπεχόμενον, τίποθ' οὕτως, ἔφη, ὦ Ὀδυσσεῦ, καθήμενος σκυθρωπὸς, ἀθυμεῖς, σίτου καὶ ποτοῦ ἀκροθιγῶς καὶ μόλις ἁπτόμενος; μῶν δόλον ἔτι ὑπονοεῖς ἐνεῖναι τοῖς παρατεθειμένοις; μὴ σύγε· δέος γὰρ οὐδὲν, ἐπειδὴ τοιοῦτον ὅρκον ἅπαξ ἐπωμοσάμην. ἐκείνη μὲν ταῦτα.

Ἐγὼ δ' ὑπολαβὼν, τίς ἂν, ἔφην, ὦ Κίρκη, ἀνὴρ εὖ φρονῶν, καὶ δίκαιος ὢν, τλαίη πρότερον σίτου ἅψασθαι καὶ ποτοῦ, πρὶν ἂν λυσάμενος ἴδῃ τοὺς ἑαυτοῦ ἑταίρους αὐτοῖς ὀφθαλμοῖς; εἰ οὖν ἀτεχνῶς κελεύεις με ἐσθίειν καὶ πίνειν, λῦσόν μοι ἐκείνους πρότερον, ὅπως ἄσμενος αὐτοὺς ἴδοιμι.

Ταῦτα δέ μου εἰπόντος, ἀνασᾶσα ἡ Κίρκη, ῥάβδον ἔχουσα

λαχῇ, νώροπι χαλκῷ· τὸν λαμπρὸν. καὶ ὃν οὐκ ἄντις ῥαδίως ἴδοι διὰ στιλπνότητα, λέγει. 373. Οὐχ ἥνδανε] οὐκ ἤρεσκε τοῦτο. 374. Ὄσσετο] προὔβλεπε. Πρὶν τλαίη] ὑπομείνειε πρότερον ἅψασθαι τροφῆς.

Ῥάβδον ἔχουσ' ἐν χειρὶ, θύρας δ' ἀνέῳγε συφειοῦ,
Ἐκ δ' ἔλασεν σιάλοισιν ἐοικότας ἐννεώροισιν.
Οἱ μὲν ἔπειτ' ἔστησαν ἐναντίοι· ἡ δὲ δι' αὐτῶν
Ἐρχομένη προσάλειφεν ἑκάστῳ φάρμακον ἄλλο.
Τῶν δ' ἐκ μὲν μελέων τρίχες ἔῤῥεον, ἃς πρὶν ἔφυσεν
Φάρμακον οὐλόμενον, τό σφιν πόρε πότνια Κίρκη·
Ἄνδρες δ' αἶψ' ἐγένοντο νεώτεροι, ἢ πάρος ἦσαν,
Καὶ πολὺ καλλίονες καὶ μείζονες εἰσοράασθαι.
Ἔγνωσαν δέ με κεῖνοι, ἔφυν τ' ἐν χερσὶν ἕκαστος.
Πᾶσιν δ' ἱμερόεις ὑπέδυ γόος, ἀμφὶ δὲ δῶμα
Σμερδαλέον κανάχιζε· θεὰ δ' ἐλέαιρε καὶ αὐτή.
Ἡ δέ μεν ἄγχι στᾶσα προσηύδα δῖα θεάων·
Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Ἔρχεο νῦν ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης·
Νῆα μὲν ἂρ πάμπρωτον ἐρύσσατε ἤπειρόνδε,
Κτήματα δ' ἐν σπήεσσι πελάσσατε ὅπλα τε πάντα·
Αὐτὸς δ' αἶψ' ἰέναι καὶ ἄγειν ἐρίηρας ἑταίρους.
Ὣς ἔφατ'· αὐτὰρ ἔμοιγ' ἐπεπείθετο θυμὸς ἀγήνωρ.
Βῆν δ' ἰέναι ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης·
Εὗρον ἔπειτ' ἐπὶ νηῒ θοῇ ἐρίηρας ἑταίρους,
Οἴκτρ' ὀλοφυρομένους, θαλερὸν κατὰ δάκρυ χέοντας.
Ὡς δ' ὅτ' ἂν ἄγραυλοι πόριες περὶ βοῦς ἀγελαίας,
Ἐλθούσας ἐς κόπρον, ἐπὴν βοτάνης κορέσωνται,
Πᾶσαι ἅμα σκαίρουσιν ἐναντίαι· οὐδ' ἔτι σηκοὶ
Ἴσχουσ', ἀλλ' ἀδινὸν μυκώμεναι ἀμφιθέουσιν
Μητέρας· ὣς ἐμὲ κεῖνοι, ἴδον ὀφθαλμοῖσιν,
Δακρυόεντες ἔχυντο· δόκησε δ' ἄρα σφίσι θυμὸς
Ὣς ἔμεν, ὡς εἰ πατρίδ' ἱκοίατο καὶ πόλιν αὐτῶν
Τρηχείης Ἰθάκης, ἵνα τ' ἔτραφεν, ἠδ' ἐγένοντο·
Καί μ' ὀλοφυρόμενοι ἔπεα πτερόεντα προσηύδων·

ἐν χειρὶ, καὶ ἀνοίξασα τὴν θύραν τοῦ συφεοῦ, ἐξήλασεν ἐκείνους, ἐνναέταις συσὶν ἐοικότας· τῶν δὲ ἱσταμένων ἑξῆς, προσιοῦσα ἑνὶ ἑκάστῳ, ἤλειφεν ἑτέρῳ φαρμάκῳ· οὗ τῇ δυνάμει ἐξέῤῥεον αἱ τρίχες, ἃς αὐτοῖς τὸ ὀλέθριον ἐξέφυσε πρότερον· καὶ δὴ ἄνδρες ἦσαν ἐξ ὑπαρχῆς παραδόξως, νεώτεροί τε καὶ πολλῷ μείζους, καὶ καλλίους ἰδεῖν· οἳ γνόντες με ἐκ τοῦ παραχρῆμα, συνέῤῥεον ἄλλως ἄλλοθεν περιψῶντες· ἀθρόοι δὲ τοσούτῳ ἐκόπτοντο κοπετῷ, ὥστε ἐπήχει τὰ βασίλεια τῷ κλαυθμῷ σμαρδαλέον· ἡ δὲ θεὸς, ἐλεήσασα καὶ αὐτὴ τὸ μέγα ἐκεῖνο πάθος, ἔφη πρὸς ἐμὲ προσιοῦσα· Διογενὲς Λαερτιάδη πολυμήχανε Ὀδυσσεῦ, ἴθι τὴν ταχίστην κατιὼν εἰς τὴν θάλασσαν, τήν τε ναῦν ἐς τὴν ἤπειρον ἀνελκύσων, τάτ' ἄλλα κτήματα καὶ τὰ ὅπλα αὐτοῦ πη ἐγκαταθησόμενος τοῖς σπηλαίοις, καὶ τοὺς ἑταίρους ἅπαντας ἄξων δεῦρο· ἡ μὲν δὴ ταῦτα.

Ἐγὼ δ' ἄσμενος ἀναστὰς, ἤνυτον σπουδῇ πρὸς τὴν ναῦν· ἔνθ' ἐλθὼν εὗρον τοὺς ἑταίρους ὀδυρομένους, καὶ τοῖς δάκρυσιν ὅλως καταῤῥεομένους, θέοντας δὲ ἄλλους ἄλλοθεν ἐπ' ἐμέ· καθάπερ γὰρ τῶν βοῶν ἐπανελθουσῶν εἰς τὸν σταῦλον ἀπὸ τῆς νομῆς, οἱ μόσχοι ἐκβιασάμενοι τοὺς σηκοὺς, σκιρτῶσι περὶ τὰς μητέρας, μηκώμενοι· οὕτω καὶ αὐτοὶ, ἅμ' ἰδόντες με, ἄλλος ἄλλοθεν περικέχυνται, ὥσπερ ἂν εἰ εἶδον αὐτὴν Ἰθάκην, τὴν φίλην τροφὸν καὶ μητέρα· προσιόντες γάρ μοι δεδακρυμένοι· ἴσθι, ἔφασαν, ἡμᾶς, ὦ Ὀδυσσεῦ,

---

390. Ἐννεώροισι ἐννέα ἐτῶν. 398. Ἱμερόεις] γλυκύθυμος· οἷός ἐστιν ὁ ἐξ ἀπροσδοκήτου εὐτυχίας γενόμενος τῇ ψυχῇ. 411. Ἐς κόπρον] ἐς τὸν σταθμόν. 412 Σκαίρουσιν] σκιρτῶσιν ἀπ' ἐναντίας. 413. Ἀδεινὸν] ἐλεεινῶς. 416. Ὡς

Σοὶ μὲν νοστήσαντι, Διοτρεφὲς, ὣς ἐχάρημεν,
Ὡς εἴτ' εἰς Ἰθάκην ἀφικοίμεθα πατρίδα γαῖαν·
Ἀλλ' ἄγε, τῶν ἄλλων ἑτάρων κατάλεξον ὄλεθρον.
Ὣς ἔφαν· αὐτὰρ ἐγὼ προσέφην μαλακοῖς ἐπέεσσιν·
Νῆα μὲν ἂρ πάμπρωτον ἐρύσσομεν ἤπειρόνδε,
Κτήματα δ' ἐν σπήεσσι πελάσσομεν ὅπλα τε πάντα·
Αὐτοὶ δ' ὀτρύνεσθ', ἵνα μοι ἅμα πάντες ἕπησθε,
Ὄφρα ἴδηθ' ἑτάρους ἱεροῖς ἐν δώμασι Κίρκης,
Πίνοντας καὶ ἔδοντας· ἐπηετανὸν γὰρ ἔχουσιν.
Ὣς ἐφάμην· οἱ δ' ὦκα ἐμοῖς ἐπέεσσι πίθοντο·
Εὐρύλοχος δέ μοι οἶος ἐρύκανε πάντας ἑταίρους·
Καί σφεας φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Ἆ δειλοὶ, πόσ' ἴμεν; τί κακῶν ἱμείρετε τούτων,
Κίρκης ἐς μέγαρον καταβήμεναι, ἥ κεν ἅπαντας,
Ἢ σῦς ἠὲ λύκους ποιήσεται, ἠὲ λέοντας;
Οἵ κέν οἱ μέγα δῶμα φυλάσσοιμεν καὶ ἀνάγκῃ.
Ὥσπερ Κύκλωψ ἕρξ', ὅτε οἱ μέσσαυλον ἵκοντο
Ἡμέτεροι ἕταροι, σὺν δ' ὁ θρασὺς εἵπετ' Ὀδυσσεύς·
Τούτου γὰρ καὶ κεῖνοι ἀτασθαλίῃσιν ὄλοντο.
Ὣς ἔφατ'· αὐτὰρ ἔγωγε μετὰ φρεσὶ μερμήριξα,
Σπασσάμενος τανύηκες ἄορ παχέος παρὰ μηροῦ,
Τῷ οἱ ἀποτμήξας κεφαλὴν, οὖδάσδε πελάσσαι,
Καὶ πηῷ περ ἐόντι μάλα σχεδόν· ἀλλά μ' ἑταῖροι
Μειλιχίοις ἐπέεσσιν ἐρήτυον ἄλλοθεν ἄλλος·
Διογενὲς, τοῦτον μὲν ἐάσομεν, εἰ σὺ κελεύεις,
Αὐτοῦ πὰρ νηΐ τε μένειν καὶ νῆα ἔρυσθαι·
Ἡμῖν δ' ἡγεμόνευ' ἱερὰ πρὸς δώματα Κίρκης.
Ὣς φάμενοι παρὰ νηὸς ἀνήϊον ἠδὲ θαλάσσης.

ἔμεν] οὕτως εἶναι. — Ὡς εἰ] ὥσπερ εἰ ἥκομεν εἰς πατρίδα. 427, Ἐπηετανὸν

οὐχ ἧττον ἐπὶ σοὶ νοστήσαντι ἡδέως διατεθειμένους, ἤπερ, εἰ ἦμεν ἀφιγμένοι εἰς φίλην πατρίδα γαίαν· ἀλλά γε δὴ διήγησαι ἡμῖν καὶ περὶ τῶν ἑταίρων, ὅπῃ ᾤχοντο ἀπολόμενοι· ταῦτα μὲν αὐτοί.

Ἐγὼ δὲ πρὸς αὐτοὺς ὑπομειδιῶν, νῦν, ὦ φίλοι, ἔφην, ἀνελκύσαντες τὴν ναῦν, καὶ τὰ ἐν αὐτῇ τοῖςδέ πῃ τοῖς σπηλαίοις ἐγκαταθέμενοι, ὅπως ἂν ἄμεινον ἡμῖν σχοίη, ἴωμεν σπεύδοντες εἰς τὰ τῆς Κίρκης βασίλεια· ὅπῃ ὄψεσθε τοὺς ἑταίρους ἐν εὐωχίαις εὐφραινομένους· ταῦτα μὲν ἐγώ.

Οἱ δὲ μονονοὺ σκιρτήσαντες πρὸς τὸν λόγον, ὥρμηνται ἕπεσθαι, Εὐρύλοχος δὲ μόνος ἐναντιούμενος, ἐπειρᾶτο καὶ τοὺς ἄλλους κωλύειν. Ὦ νήπιοι ἡμεῖς γε, φάσκων, ποιδήποτε ἴετε; εἰς τὰ τῆς Κίρκης βασίλεια, ἐπὶ προῦπτον σπεύδοντες κίνδυνον; ἢ οὐκ ἔσθ᾽ ὅπως αὐτίκα μάλα χοίρους, ἢ λύκους ποιήσει ἅπαντας ἡμᾶς ἡ θεός; οὕτω γὰρ ἡμῖν ἀνάγκη ἔσται τὸ δῶμα φυλάττειν αὐτῇ· ὑμεῖς δέ μοι μέμνησθε καὶ τὸ πάθος τῶν ἑταίρων τὸ παρὰ τῷ Κύκλωπι· οἱ θρασυτάτῳ τουτωῒ ἡγεμόνι αὐτόσε χρησάμενοι, τῇ τούτου ἀπώλοντο ἀφροσύνῃ· ταῦτα μὲν οὗτος.

Ἐγὼ δὲ πληγεὶς τὴν ἀκοὴν πρὸς τὰ εἰρημένα, ὥρμησα σπασάμενος τὸ ξίφος ἀπὸ τοῦ μηροῦ, ἀποταμεῖν αὐτῷ τὴν κεφαλὴν, καίπερ ὄντι μοι συγγενεῖ· ἀλλ᾽ οἱ ἑταῖροι ἄλλοθεν ἄλλος δεόμενοι, διεκώλυσαν. Διογενὲς Λαερτιάδη, λέγοντες, τοῦτον μὲν, εἰ καί σοι τοῦτο δόξειεν, καταλίπωμεν αὐτοῦ φύλακα τῆς νεώς· ἡμῖν δ᾽ ἡγοῦ, ὅποι βούλει· καὶ ταῦτ᾽ εἰπόντες, εἵποντο· ὡς δὲ μικρὸν προήεμεν, δείσας κἀκεῖνος, μή τι κακὸν αὐτῷ γένηται πρὸς ἐμοῦ δι᾽ ὀργὴν, ἐπηκολούθησε,

---

δαφιλές· 431. Πόσ᾽ ἴμεν ποῖ πορεύεσθε 441. Καὶ πηῷπερ ἐόντι] συγγενεῖ, κηδέστῃ, τὴν τοῦ Ὀδυσσέως, φασὶν, ἀδελφὴν Κτιμένην γεγαμηκότι.

Οὐδὲ μὲν Εὐρύλοχος κοίλῃ παρὰ νηῒ λέλειπτο,
Ἀλλ' ἕπετ'· ἔδδεισεν γὰρ ἐμὴν ἔκπαγλον ἐνιπήν.
Τόφρα δὲ τοὺς ἄλλους ἑτάρους ἐν δώμασι Κίρκη
Ἐνδυκέως λοῦσέν τε καὶ ἔχρισεν λίπ' ἐλαίῳ
Ἀμφὶ δ' ἄρα χλαίνας οὔλας βάλεν ἠδὲ χιτῶνας·
Δαινυμένους δ' εὖ πάντας ἐφεύρομεν ἐν μεγάροισιν.
Οἱ δ' ἐπεὶ ἀλλήλους εἶδον φράσσαντό τε πάντα,
Κλαῖον ὀδυρόμενοι, περὶ δὲ στεναχίζετο δῶμα.
Ἡ δέ μευ ἄγχι στᾶσα προσηύδα δῖα θεάων·
Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Μηκέτι νῦν θαλερὸν γόον ὄρνυτε· οἶδα καὶ αὐτὴ,
Ἠμὲν ὅσ' ἐν πόντῳ πάθετ' ἄλγεα ἰχθυόεντι,
Ἠδ' ὅσ' ἀνάρσιοι ἄνδρες ἐδηλήσαντ' ἐπὶ χέρσου.
Ἀλλ' ἄγετ', ἐσθίετε βρώμην καὶ πίνετε οἶνον,
Εἰσόκεν αὖτις θυμὸν ἐνὶ στήθεσσι λάβητε,
Οἷον, ὅτε πρώτιστον ἐλείπετε πατρίδα γαῖαν
Τρηχείης Ἰθάκης· νῦν δ' ἀσκελέες καὶ ἄθυμοι,
Αἰεὶ ἄλης χαλεπῆς μεμνημένοι· οὐδέ ποθ' ὑμῖν
Θυμὸς ἐν εὐφροσύνῃ, ἐπεὶ ἦ μάλα πολλὰ πέποσθε.
Ὣς ἔφαθ'· ἡμῖν δ' αὖτ' ἐπεπείθετο θυμὸς ἀγήνωρ.
Ἔνθα μὲν ἤματα πάντα τελεσφόρον εἰς ἐνιαυτὸν
Ἥμεθα, δαινύμενοι κρέα τ' ἄσπετα καὶ μέθυ ἡδύ·
Ἀλλ' ὅτε δή ῥ' ἐνιαυτὸς ἔην, περὶ δ' ἔτραπον ὧραι,
Μηνῶν φθινόντων, περὶ δ' ἤματα μακρὰ τελέσθη,
Καὶ τότε μ' ἐκκαλέσαντες ἔφαν ἐρίηρες ἑταῖροι·
Δαιμόνι', ἤδη νῦν μιμνήσκεο πατρίδος αἴης,
Εἴ τοι θέσφατόν ἐστι σαωθῆναι καὶ ἱκέσθαι
Οἶκον ἐς ὑψόροφον καὶ σὴν ἐς πατρίδα γαῖαν.

τὴν αὐτὴν ὁδὸν ἡμῖν πρὸς ταὐτὰ κατατείνων· καὶ ταῦτα μὲν οὕτως ἔσχε.

Κίρκη δ' ἐν τούτῳ ἐπεμέλετο οἴκοι τῶν ἑταίρων ἀσμένως, λούσασά τε αὐτοὺς φιλοφρόνως, καὶ ἐλαίῳ τὰ εἰκότα ἀλείψασα, χλαίνας τε μαλακὰς καὶ χιτῶνας περιβαλοῦσα· κἀπειδὴ αὐτοῖς καλῶς ἔσχε ταῦτα, καθεσθέντες, εὐωχοῦντο ἐν ἑστιάσει καὶ πότῳ· ὡς δ' εἶδον ἡμᾶς εἰσιόντας, ἀναστάντες ἠσπάζοντο ἀλλήλους, κλαίοντές τε καὶ ὀδυρόμενοι, ὥστ' ἐπήχει πᾶν τὸ δῶμα τῷ κοπετῷ· κἀν τούτῳ προσιοῦσά μοι ἡ θεὸς, Διογενὲς, ἔφη, Λαερτιάδη, πολυμήχανε Ὀδυσσεῦ, παύσασθε ἤδη κοπτόμενοι γόοις· οἶδα γὰρ καὶ αὐτὴ, ὅσα μὲν ὑπέστητε κατὰ θάλασσαν· ὅσα δὲ πεπόνθατε καὶ κατ' ἤπειρον ὑπ' ἀνδρῶν πολεμίων· ἀλλὰ νῦν γ' ἐπιλαθόμενοι πάντων ἐκείνων, εὐθυμεῖτε ἐν εὐωχίαις ἐσθίοντές τε καὶ πίνοντες μέχρις ἂν ἀναλάβητε πᾶσαν τὴν ἰσχὺν, ἣν ἔχοντες ἀνήχθητέ ποτε ἀπὸ τῆς Ἰθάκης, εἰδότες ἐκεῖνο σαφῶς, ὅτι μέχρις ἂν μέμνησθε τῶν κακῶν, ὧν ἔφθητε πεπονθότες, οὐκ ἂν εὐθυμήσαιτε· ἡ δὲ ἀθυμία χαυνότητος καὶ μαλακίας τῇ ψυχῇ αἰτία γενήσεται· ταῦτα μὲν ἐκείνη.

Ἡμεῖς δὲ πεισθέντες, διετρίψαμεν αὐτοῦ ὅλον ἔτος ἐν εὐωχίαις καὶ ἑστιάσεσι κρεῶν τε καὶ οἴνου ἡδέος. Ὅτε δὲ περιελθόντες οἱ καιροὶ, δευτέρου ἡμῖν ἐνιαυτοῦ ἀρχὴν ἐπηγγέλλοντο, τότε δὴ οἱ ἑταῖροι, παραλαβόντες με παρὰ μέρος, Δαιμόνιε ἔφασκον, ὥρα σοι ἤδη μεμνῆσθαι καὶ τῆς φίλης πατρίδος, εἴ σοι εἵμαρται ἀφικέσθαι ποτὲ εἰς γυναῖκα καὶ παῖδα τὰ φίλτατα· οἱ μὲν δὴ ταῦτα.

---

448. Ἔκπαγλον ἐνιπὴν] μεγάλην ὀργὴν, Ἀπειλήν. 449. Τόφρα δὲ] ἐν τούτῳ δὲ τῷ χρόνῳ. 450. Ἐνδυκέως] ἐπιμελῶς. 459. Ἀνάρσιοι] ἐχθροί. 463. Ἀσκελέες] κατεσκληκότες, καὶ ἄγαν κεκμηκότες. 469. Περὶ δὲ ἔτραπον] πε-

Ὣς ἔφαν· αὐτὰρ ἔμοιγ' ἐπεπείθετο θυμὸς ἀγήνωρ.
Ὣς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
ἥμεθα, δαινύμενοι κρέα τ' ἄσπετα καὶ μέθυ ἡδύ.
Ἦμος δ' ἠέλιος κατέδυ, καὶ ἐπὶ κνέφας ἦλθεν,
Οἱ μὲν κοιμήσαντο κατὰ μέγαρα σκιόεντα.
Αὐτὰρ ἐγὼ Κίρκης ἐπιβὰς περικαλλέος εὐνῆς,
Γούνων ἐλλιτάνευσα, θεὰ δέ μευ ἔκλυεν αὐδῆς.
Καί μιν φωνήσας, ἔπεα πτερόεντα προσηύδων·
Ὦ Κίρκη, τέλεσόν μοι ὑπόσχεσιν, ἥνπερ ὑπέστης,
Οἴκαδε πεμψέμεναι· θυμὸς δέ μοι ἔσσυται ἤδη,
Ἠδ' ἄλλων ἑτάρων, οἵ μευ φθινύθουσι φίλον κῆρ,
Ἀμφ' ἔμ' ὀδυρόμενοι, ὅτε που σύγε νόσφι γένηαι.
Ὣς ἐφάμην· ἡ δ' αὐτίκ' ἀμείβετο δῖα θεάων·
Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Μηκέτι νῦν ἀέκοντες ἐμῷ ἐνὶ μίμνετε οἴκῳ·
Ἀλλ' ἄλλην χρὴ πρῶτον ὁδὸν τελέσαι καὶ ἱκέσθαι
Εἰς Ἀΐδαο δόμους καὶ ἐπαινῆς Περσεφονείης,
Ψυχῇ χρησομένους Θηβαίου Τειρεσίαο,
Μάντιος ἀλαοῦ, τοῦτε φρένες ἔμπεδοί εἰσιν·
Τῷ καὶ τεθνηῶτι νόον πόρε Περσεφόνεια
Οἴῳ πεπνῦσθαι. τοὶ δὲ σκιαὶ ἀΐσσουσιν.
Ὣς ἔφατ'· αὐτὰρ ἔμοιγε κατεκλάσθη φίλον ἦτορ·
Κλαῖον δ' ἐν λεχέεσσι καθήμενος, οὐδέ τι θυμὸς
Ἤθελ' ἔτι ζώειν καὶ ὁρᾶν φάος ἠελίοιο.
Αὐτὰρ ἐπεὶ κλαίων τε, κυλινδόμενός τ', ἐκορέσθην,
Καὶ τότε δή μιν ἔπεσσιν ἀμειβόμενος προσέειπον·

ριῆλθεν ἀπὸ τοῦ αὐτοῦ ἐς τὸ αὐτὸ, περιπλομένου τοῦ ἐνιαυτοῦ· 481. Ἐλλιπάρησα γούνων] ἐδεήθην αὐτῆς, τῶν γονάτων ἁψάμενος. 491. Ἐπαινῆς] σκληρᾶς. 493. Ἀλαοῦ] τυφλοῦ. ἰδὼν γὰρ δύο δράκοντας μιγνυμένους ἐν τῷ

Ἐγὼ δὲ ἄσμενος ἐπειθόμην· καὶ δὴ ἐκείνην μὲν τὴν ἡμέραν διεγενόμεθα ἐσθίοντές τε καὶ πίνοντες κρέα πολλὰ καὶ οἶνον ἡδὺν ἐς δυόμενον ἥλιον· ὡς δὲ συσκοτάζοι, οἱ μὲν ἀπήεσαν καθευδήσοντες ἐν τῷ δώματι, ὅπῃ δήποτε προχωροίη ἑκάστῳ· ἐγὼ δ' ἀναβὰς ἐπὶ τῆς περικαλλοῦς εὐνῆς τῆς θεοῦ, καὶ τῶν γονάτων αὐτῆς ἁψάμενος, πολλὰ προσελιπάρουν, ἱκετεύων τε καὶ δεόμενος· χάρισαί μοι, λέγων, ὦ Κίρκη, ὃ δεῦρό μοι ἐλθόντι ἐπηγγείλω ποτὲ, πέμψειν με εἰς φίλην πατρίδα γαῖαν· ἐγώ τε γὰρ ἐκθύμως ὁρμῶ ἐπὶ τοῦτο, καὶ οἱ ἐμοὶ ἑταῖροι ἐνοχλοῦσί μοι ὀδυρόμενοι· ὃ οὐκ ἀκροθιγῶς τῆς ἐμῆς καθικνεῖται καρδίας· ταῦτα μὲν ἐγώ.

Ἡ δὲ, διογενὲς, ἔφη, Λαερτιάδη, πολυμήχανε Ὀδυσσεῦ, μένειν μὲν ὑμᾶς παρ' ἐμοὶ οὐκέτι οὐδ' αὐτὴ ἀξιῶ· δεῖ δὲ ὑμᾶς ἑτέραν πρῶτον τραπέσθαι, τὴν ἐπὶ τὰ Πλούτωνος καὶ Περσεφόνης βασίλεια ἄγουσαν, τῇ τοῦ Τειρεσίου τοῦ Θηβαίου μάντεως ψυχῇ χρησομένους· οὗ ὁ νοῦς ἐστι σῶς· Περσεφόνη γὰρ δέδωκεν οἷον γέρας αὐτῷ ἀποθανόντι, αὐτὸν ὡς ἐν σκιαῖς τοῖς ἄλλοις νεκροῖς πεπνυμένον καὶ σοφὸν μόνον εἶναι· ταῦτα μὲν ἐκείνη.

Ἐγὼ δὲ δέδηγμαι τὴν καρδίαν πρὸς ταῦτα· ἔκλαιον δ' ἐν τῇ κλίνῃ καθήμενος, μηκέτι ζῆν, μήδ' ὁρᾶν τὸ φῶς τουτὶ τοῦ ἡλίου οὐδένα ἀνεχόμενος τρόπον· Ὡς δ' ἅλις μοι ἦν τῶν

Κιθερῶνι, ἀνεῖλε τὴν δράκαιναν, καὶ διὰ τοῦτο ἐγένετο γυνὴ παραχρῆμα· φονεύσας δ' ἔπειτα καὶ τὸν ἄῤῥενα, ἐπανέλαβε τὴν ἀνδρείαν φύσιν· ἐρωτηθεὶς οὖν (ἑκατέρας γὰρ τῆς φύσεως μετέσχε) πότερος μᾶλλον ἥδεται ἐν τῇ συνουσίᾳ, ὁ ἀνὴρ, ἢ ἡ γυνή· ὁ δὲ εἶπεν,

» Οἵαν μὲν μοῖραν δέκα μοιρῶν τέρπεται ἀνήρ.
» Τὰς δέκα δ' ἐμπίπλησι γυνὴ τέρπουσα νόημα.

595. Οἴῳ] μόνῳ αὐτῷ συνετῷ εἶναι· οἱ ἄλλοι ἀνοήτως. ὥσπερ ἡ σκιὰ τοῖς

Ὦ Κίρκη, τίς γὰρ ταύτην ὁδὸν ἡγεμονεύσει;
Εἰς Ἄϊδος δ' οὔπω τις ἀφίκετο νηῒ μελαίνῃ·
Ὣς ἐφάμην· ἡ δ' αὐτίκ' ἀμείβετο δῖα θεάων·
Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Μήτι τοι ἡγεμόνος γε ποθὴ παρὰ νηῒ μελέσθω·
Ἱστὸν δὲ στήσας, ἀνὰ θ' ἱστία λευκὰ πετάσσας,
Ἧσθαι· τὴν δέ κέ τοι πνοιὴ Βορέαο φέρῃσιν.
Ἀλλ' ὁπότ' ἂν δὴ νηῒ δι' Ὠκεανοῖο περήσῃς,
Ἔνθ' ἀκτή τε λάχεια καὶ ἄλσεα Περσεφονείης,
Μακραί τ' αἴγειροι καὶ ἰτέαι ὠλεσίκαρποι·
Νῆα μὲν αὐτοῦ κέλσαι ἐπ' Ὠκεανῷ βαθυδίνῃ,
Αὐτὸς δ' εἰς Ἀΐδεω ἰέναι δόμον εὐρώεντα.
Ἔνθα μὲν εἰς Ἀχέροντα Πυριφλεγέθων τε ῥέουσιν
Κώκυτός θ', ὃς δὴ Στυγὸς ὕδατός ἐστιν ἀποῤῥώξ·
Πέτρη τε ξύνεσίς τε δύω ποταμῶν ἐριδούπων·
Ἔνθα δ' ἔπειθ', ἥρως, χριμφθεὶς πέλας, ὥς σε κελεύω,
Βόθρον ὀρύξαι, ὅσον τε πυγούσιον ἔνθα καὶ ἔνθα·
Ἀμφ' αὐτῷ δὲ χοὴν χεῖσθαι πᾶσιν νεκύεσσιν,
Πρῶτα μελικρήτῳ, μετέπειτα δὲ ἡδέϊ οἴνῳ,
Τὸ τρίτον αὖθ' ὕδατι· ἐπὶ δ' ἄλφιτα λευκὰ παλύνειν.
Πολλὰ δὲ γουνοῦσθαι νεκύων ἀμενηνὰ κάρηνα,
Ἐλθὼν εἰς Ἰθάκην, στεῖραν βοῦν, ἥτις ἀρίστη,
Ῥέξειν ἐν μεγάροισι πυρήν τ' ἐμπλησέμεν ἐσθλῶν·
Τειρεσίῃ δ' ἀπάνευθεν ὄϊν ἱερευσέμεν οἴῳ,
Παμμέλαν', ὃς μήλοισι μεταπρέπει ὑμετέροισιν.
Αὐτὰρ ἐπὴν εὐχῇσι λίσῃ κλυτὰ ἔθνεα νεκρῶν,
Ἔνθ' ὄϊν ἀρνειὸν ῥέζειν θῆλύν τε μέλαιναν,
Εἰς Ἔρεβος στρέψας, αὐτὸς δ' ἀπονόσφι τραπέσθαι,

εύμασι, κινοῦνται. 509 Ἀκτὴ λάχεια] ἀκρωτήριον εὔγεων, ἢ ἐλάχιστον.

δακρύων, εἶπον πρὸς αὐτήν· τίς μοι, ὦ Κίρκη, ἡγεμὼν πρὸς ταῦτ' ἔσται; οὐ γὰρ οἶδ' οὐδένα πω ἀφιγμένον εἰς Ἅδου.

Ἡ δὲ ὑπολαβοῦσα· Διογενὲς, ἔφη, Λαερτιάδη, πολυμήχανε Ὀδυσσεῦ, ὅσον μὲν ἡγεμόνος ἕνεκα μηδέν σοι μελέτω· στήσας γὰρ ἐν τῇ νηῒ τὸν ἱστὸν, καὶ τὸ ἱστίον ἀναπετάσας, κάθησο ἀτρέμας ἔχων αὐτός· ἡ δὲ ναῦς οἴκοθεν μόνῃ Βορέως πνοῇ διαπεραιώσει ὑμᾶς, ὅποι δεῖ· σὺ δ' ἐκεῖνο μέμνησο μόνον, ἐπειδὰν διαπλεύσας τὸν Ὠκεανὸν, ἔλθῃς ἔνθα τὸ μικρὸν καὶ σύσκιον αἰγείροις τε καὶ ἰτέαις ἀκάρποις ἀκρωτήριον τῆς Κόρης ἐστὶ, τὴν μὲν ναῦν αὐτοῦ προσορμίσαι ἐν Ὠκεανῷ· αὐτὸς δὲ τὴν εἰς Ἅδου ἀνύτειν, ἔνθα Πυριφλεγέθων, καὶ Κοκυτὸς, ὃς Στυγός ἐστιν ἀποῤῥὼξ, ῥέοντες ἐκβάλλουσιν εἰς Ἀχέροντα· κἀνταῦθα προσιὼν πέτρᾳ, καθ' ἣν ἡ τῶν ποταμῶν γίγνεται ξυμβολὴ, ὀρύξαι αὐτοῦ βόθρον, ὅσον πηχυαῖον, ἑκατέρωθεν ἴσον· ἐν δ' αὐτῷ ποιῆσαι χοὴν μελικράτου, καὶ οἴνου, καὶ ὕδατος· ἐπὶ δὲ τούτοις ἄλφιτα ἐπιπάσαι πᾶσι τοῖς ἐποιχομένοις, πολλὰ δεόμενος τῶν ἀμενηνῶν ἐκείνων κρανίων, ὑπισχνούμενος αὐτοῖς, ἡνίκα εἰς Ἰθάκην νοστήσεις, στεῖραν βοῦν αὐτοῖς θήσειν τὴν ἀρίστην πασῶν, καὶ τὴν πυρὰν πολλῶν καὶ καλῶν ἐμπλήσειν αὐτοῖς. Τειρεσίᾳ δὲ χωρὶς ἐνταμεῖν μέλανα κριὸν τὸν ἐξοχώτατον πάντων· κἀπειδὰν ταῦθ' οὕτω σοι καλῶς σχῇ, καὶ τέλος ἐπιθῇς τῇ περὶ ταῦτα εὐχῇ, θύσαι κριὸν ἐν τῷ ὀρύγματι, καὶ θήλειαν μέλαιναν, στρέψας πρῶτον τὰς αὐτῶν κεφαλὰς πρὸς τὸ ἔρε-

---

510. Ὠλεσίκαρποι] ἄκαρποι, αἱ τὸ ἄνθος ἀποβάλλουσαι. ἢ αἱ τοὺς ἀνθρώπους ἀγόνους ποιοῦσαι· φησὶ γὰρ Θεόφραστος ἐν φυτοῖς, τὸν χυλὸν τῆς ἰτέας πινόμενον ἀφανίζειν τὴν γονὴν τῶν ἀνθρώπων. 512. Εὐρώεντα] εὐρωτιῶντα, κἀντεῦθεν σκοτεινόν. 515. Ξύνεσις] συμβουλὴ ἐς ταὐτό· 516. Χριμφθεὶς] πλησίον γενόμενος. 517. Πυγούσιον] πηχυαῖον διάστημα. 520. Παλύνειν φυρᾶν, διαβρέχειν. 521. Ἀμενηνά] μένος οὐκ ἔχοντα. 526.

Ἱέμενος ποταμοῖο ῥοάων· ἔνθα δὲ πολλαὶ
Ψυχαὶ ἐλεύσονται νεκύων κατατεθνηώτων.
Δὴ τότ' ἔπειθ' ἑτάροισιν ἐποτρῦναι καὶ ἀνῶξαι
Μῆλα, τὰ δὴ κατέκειτ' ἐσφαγμένα νηλέϊ χαλκῷ,
Δείραντας κατακεῖαι, ἐπεύξασθαι δὲ θεοῖσιν,
Ἰφθίμῳ τ' Ἀΐδῃ καὶ ἐπαινῇ Περσεφονείῃ·
Αὐτὸς δὲ ξίφος ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ,
Ἧσθαι, μηδὲ ἐᾶν νεκύων ἀμενηνὰ κάρηνα
Αἵματος ἆσσον ἴμεν πρὶν Τειρεσίαο πυθέσθαι.
Ἔνθα τοι αὐτίκα μάντις ἐλεύσεται, ὄρχαμε λαῶν,
Ὅς κέν τοι εἴπῃσιν ὁδὸν καὶ μέτρα κελεύθου
Νόστον θ', ὡς ἐπὶ πόντον ἐλεύσεαι ἰχθυόεντα.
Ὣς ἔφατ'· αὐτίκα δὲ χρυσόθρονος ἤλυθεν Ἠώς.
Ἀμφὶ δέ με χλαῖνάν τε, χιτῶνά τε, εἵματα ἕσσεν·
Αὐτὴ δ' ἀργύφεον φᾶρος μέγα ἕννυτο Νύμφη,
Λεπτὸν καὶ χαρίεν, περὶ δὲ ζώνην βάλετ' ἰξυῖ
Καλὴν, χρυσείην· κεφαλῇ δ' ἐπέθηκε καλύπτρην.
Αὐτὰρ ἐγὼ διὰ δώματ' ἰὼν ὤτρυνον ἑταίρους
Μειλιχίοις ἐπέεσσι παρασταδὸν ἄνδρα ἕκαστον.
Μηκέτι νῦν εὕδοντες, ἀωτεῖτε γλυκὺν ὕπνον·
Ἀλλ' ἴεμεν· δὴ γάρ μοι ἐπέφραδε πότνια Κίρκη.
Ὣς ἐφάμην· τοῖσιν δ' ἐπεπείθετο θυμὸς ἀγήνωρ.
Οὐδὲ μὲν οὐδ' ἔνθεν περ ἀπήμονας ἦγον ἑταίρους.
Ἐλπήνωρ δέ τις ἔσκε νεώτατος, οὐδέ τι λίην
Ἄλκιμος ἐν πολέμῳ, οὔτε φρεσὶν ᾗσιν ἀρηρώς,
Ὅς μοι ἄνευθ' ἑτάρων ἱεροῖς ἐν δώμασι Κίρκης,
Ψύχεος ἱμείρων, κατελέξατο οἰνοβαρείων·
Κινυμένων δ' ἑτάρων ὅμαδον καὶ δοῦπον ἀκούσας,
Ἐξαπίνης ἀνόρουσε, καὶ ἐκλάθετο φρεσὶν ᾗσιν
Ἄψοῤῥον καταβῆναι, ἰὼν ἐς κλίμακα μακρήν·

ϐος, ἀντίστροφον ἔχων αὐτὸς τὸ πρόσωπον πρὸς τὸν Ὠκεανόν· ἐπειδὰν δὲ τάχιστ' ἴδῃς αὐτοῦ, ὡς εἰκὸς, πολλὰς ψυχὰς νεκρῶν ἀθρόως ἄλλοθεν ἄλλας ἀνερχομένας, κελεῦσαι τοὺς ἑταίρους, ἐκδείραντας τὰ ἱερεῖα, εὐθὺς κατακαῦσαι· εἶθ' οὕτως εὐξάμενος τοῖς θεοῖς, Ἅδῃ τε τῷ ἰσχυρῷ, καὶ τῇ φοβερᾷ Περσεφόνῃ, σπασάμενος τὸ ξίφος ἀπὸ τοῦ μηροῦ, μηδὲν ἐᾷν τῶν κρανίων ἐκείνων ἐγγὺς τοῦ βόθρου γενέσθαι, πρὶν ἂν τῆς φωνῆς Τειρεσίου ἀκαύσῃς· οὗτος γὰρ, ὦ Ὀδυσσεῦ, ἡγεμὼν τῆς Ἰθάκης, ἀνελθὼν αὐτοῦ, ἐρεῖ σοι πᾶσαν τὴν ὁδὸν, ἣν πλέων ἀφίξῃ εἰς φίλην πατρίδα γαῖαν.

Ἦν δ' οὖν ὅτε ταῦτ' ἐλέγετο, ὄρθρος, ἡνίχ' ἡ χρυσόθρονος Ἠὼς ἀναδῦσα τῶν ὠκεανείων ῥοῶν, φέρει φῶς ἀθανάτοις τε καὶ θνητοῖς· τότε δὴ ἡ θεὸς ἐμὲ μὲν ἐνέδυσε χιτῶνα καὶ χλαῖναν· αὐτὴ δὲ ἠμφιέσατο φᾶρος ἀργυροῦν λεπτόν τε καὶ χάριεν· ζώνην τε διεζώσατο καλὴν καὶ χρυσῆν, καὶ τῇ κεφαλῇ ἐπέθηκε καλύπτραν. Ἐγὼ δ' οὖν ἐξελθὼν ἐκεῖθεν, ἐκέλευσα τοὺς ἑταίρους, ἑνὶ ἑκάστῳ ἑξῆς προσιὼν, λόγοις τε χρώμενος μιλιχίοις, παρασκευάζεσθαι τὴν ταχίστην πρὸς τὸν πλοῦν, ἀφέντας τὸν ὕπνον, ὁδὸν ἤδη τῆς θεοῦ δειξάσεις ἡμῖν· οἱ δὲ ἅμ' ἀκούσαντες, ἐπείθοντο ἄσμενοι· καίτοι μοι κἀνταῦθα συνέβη τι παρατράγῳδον· ἦν γάρ τις ἐν τοῖς ἑταίροις νεώτερος τῶν ἄλλων, Ἐλπήνωρ καλούμενος, ἀνὴρ ἔν τε πολέμοις μαλακὸς, καὶ τὴν διάνοιαν οὐ πάνυ τι ἔμπεδος. οὗτος δὴ ἀναβὰς εἰς τὸ δῶμα τῆς Κίρκης, αὔρας ἐπιθυμῶν, κατεκλίθη χωρὶς, βεβαρυμένος ἤδη τῷ οἴνῳ· ὡς δ' ἤκουσε τῶν ἄλλων παρασκευαζομένων, ἀναστὰς ἐπελάθετο διὰ τῆς αὐτῆς κατιέναι κλίμακος· ἀλλ' ἀφεὶς ἑαυτὸν ἑτέρωθεν ἀπὸ τοῦ τέγους

Λίσῃ] λιτανεύσῃς. 531. Ἀνῶξαι] κελεῦσαι. 533. Κατακῆαι] κατακαῦσαι. 548. Ἀωτεῖτε] τὸ ἄωτον καὶ ἄνθος τοῦ ὕπνου ἀπολαμβάνετε. 562. Φάσθε]

Ἀλλὰ καταντικρὺ τέγεος πέσεν· ἐκ δέ οἱ αὐχὴν
Ἀστραγάλων ἐάγη, ψυχὴ δ' Ἄϊδός δε κατῆλθεν.
Ἐρχομένοισι δὲ τοῖσιν ἐγὼ μετὰ μῦθον ἔειπον·
Φάσθε νύ που οἴκονδε φίλην ἐς πατρίδα γαῖαν
Ἔρχεσθ'· ἄλλην δ' ἧμιν ὁδὸν τεκμήρατο Κίρκη
Εἰς Ἀΐδαο δόμους καὶ ἐπαινῆς Περσεφονείης,
Ψυχῇ χρησομένους Θηβαίου Τειρεσίαο.
Ὣς ἐφάμην· τοῖσιν δὲ κατεκλάσθη φίλον ἦτορ·
Ἑζόμενοι δὲ κατ' αὖθι γόων, τίλλοντό τε χαίτας.
Ἀλλ' οὐ γάρ τις πρῆξις ἐγίγνετο μυρομένοισιν.
Ἀλλ' ὅτε δή ῥ' ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης
Ἤομεν ἀχνύμενοι, θαλερὸν κατὰ δάκρυ χέοντες,
Τόφρα δ' ἄρ' οἰχομένη Κίρκη παρὰ νηῒ μελαίνῃ
Ἀρνειὸν κατέδησεν ὄϊν θῆλύν τε μέλαιναν,
Ῥεῖα παρεξελθοῦσα· τίς ἂν θεὸν οὐκ ἐθέλοντα
Ὀφθαλμοῖσιν ἴδοιτ', ἢ ἔνθ' ἢ ἔνθα κιόντα;

κατὰ τοὺς ἐδάφους, κατεάγη τὸν τράχηλον, καὶ ἀπέθανε· τοῖς δ' ἄλλοις, ὡς ἐγένοντ' ἀθρόοι, παριὼν αὐτὸς ἔφην· Ὑμεῖς μὲν, ὦ φίλοι, εἰκότως οἴεσθε πρὸς φίλην πατρίδα γαῖαν ἡμῖν τὸν πλοῦν ἔσεσθαι· ἔχει δ' οὐχ οὕτω τοῦτο· δεῖ γὰρ δὴ πρότερον, πειθομένους τῇ θεῷ, καταχθῆναι εἰς Ἅδου, τῇ τοῦ Τειρεσίου ψυχῇ χρησομένους.

Ταῦτα δέ μου εἰπόντος ἀκούσαντες, κατεάγησαν τὴν καρδίαν· καὶ δὴ καθεζόμενοι ὠδύροντο, τίλλοντες τὰς τρίχας· ἀλλ' ἦν τῶν θρήνων ὄφελος οὐδὲν οὐδαμοῦ· ἐν γοῦν τῷ κατιέναι πρὸς τὴν ναῦν σὺν ὀλοφυρμῷ καὶ δακρύοις, παραλλάξασα ἡμᾶς ἡ θεὸς ἀφανῶς, καὶ ἐλθοῦσα εἰς τὴν ναῦν, ἔδησεν αὐτοῦ κριὸν καὶ μέλαινα οἶν πρὸς τὴν θυσίαν· τίς γὰρ ἂν δύναιτο ἰδεῖν θεὸν, μὴ ἐθέλοντα φαίνεσθαι, ὅποι ἔρχεται;

οἴεσθε. 563. Τεκμήρατο] ἔδειξεν. 567. Γόων] ἐθρήνουν. 573. Παρεξελθοῦσα] παραλλάξασα καθ' ὁδὸν, παραμείψασα, λαθοῦσα ἡμᾶς. 574, Ἔνθ', ἢ ἔνθα] ἐν δεξιᾷ, ἢ ἐν ἀριστερᾷ.

ΥΠΟΘΕΣΙΣ

ΕΝΤΑΥΘΑ διέξεισι τὴν εἰς Ἅδου κάθοδον· καὶ ὅπως αἱ ψυχαὶ ἐπεθύμουν πιεῖν τοῦ αἵματος· καὶ ὅπως ἡ τοῦ Τειρεσίου πιοῦσα, ἐξηγεῖται αὐτῷ τοὺς χρησμούς· καὶ ὅπως ἡ τῆς μητρὸς ψυχὴ ἦλθεν· παῤῥησιάζονται δ' αὐτῷ

ΟΔΥΣΣΕΙΑΣ Λ.

ΑΥΤΑΡ ἐπεί ῥ' ἐπὶ νῆα κατήλθομεν ἠδὲ θάλασσαν,
Νῆα μὲν ἂρ πάμπρωτον ἐρύσσαμεν εἰς ἅλα δῖαν,
Ἐν δ' ἱστὸν τιθέμεσθα καὶ ἱστία νηῒ μελαίνῃ·
Ἐν δὲ τὰ μῆλα λαβόντες, ἐβήσαμεν, ἐν δὲ καὶ αὐτοὶ
Βαίνομεν ἀχνύμενοι, θαλερὸν κατὰ δάκρυ χέοντες.
Ἡμῖν δ' αὖ μετόπισθεν νεὸς κυανοπρώροιο
Ἴκμενον οὖρον ἵει πλησίστιον, ἐσθλὸν ἑταῖρον,
Κίρκη ἐϋπλόκαμος, δεινὴ θεὸς, αὐδήεσσα.
Ἡμεῖς δ' ὅπλα ἕκαστα πονησάμενοι, κατὰ νῆα
Ἥμεθα· τὴν δ' ἄνεμός τε κυβερνήτης τ' ἴθυνεν.
Τῆς δὲ πανημερίης τέταθ' ἱστία ποντοπορούσης·
Δύσετό τ' ἠέλιος, σκιόωντό τε πᾶσαι ἀγυιαί.

ΤΟΥ Λ.

ἔτι καὶ πολλοὶ τῶν ἡρώων καὶ ἡρωΐδων, Περσεφόνης συγχωρησάσης· πυνθανομένῳ δὲ τῷ Ἀλκινόῳ τινὰ, διηγεῖται αὐτῷ τὸν τοῦ Ἀγαμέμνονος θάνατον, καὶ ἄλλ' ἄττα· καὶ τελευτῶν, ὅπως ἐν ᾅδου κολάζονται οἱ κακοῦργοι.

ΟΔΥΣΣΕΙΑΣ Λ.

Ὡς οὖν κατήλθομεν εἰς τὸν αἰγιαλὸν, καθελκύσαντες τὴν ναῦν εἰς τὴν θάλασσαν· τόν θ' ἱστὸν στήσαντες, καὶ τὰ ἱστία ἀναπετάσαντες, εἰσηγάγομεν πρῶτον τὰ ἱερεῖα· ἔπειτα ἐπέβημεν καὶ ἡμεῖς, κοπετοῖς καὶ δακρύοις κατακοπτόμενοι. τὸ δὲ πνεῦμα, οὔριον ἀφεθὲν ὄπισθεν παρὰ τῆς θεοῦ, ἀπεκόλπωσεν εὐθὺς τὸ ἱστίον· καὶ ἡμεῖς εὐτρεπίσαντες ἕκαστα, ἀνεκείμεθα· ἡ δὲ ναῦς, μόνῳ διακυβερνωμένη τῷ πνεύματι, ἔπλει διὰ πάσης τῆς ἡμέρας ἐς ἥλιον καταδύντα· καὶ σκότους ἤδη ἐπιγιγνομένου, κατήχθημεν εἰς τὰς ἐσχατιὰς τοῦ

7 Ἴκμενον] ἱκανὸν, ἢ ὑγρόν. — Πλησίστιον] πλῆρες τὸ ἱστίον ποιοῦντα· — Ἑταῖρον] συνεργόν.

Ἡ δ᾽ ἐς πείραθ᾽ ἵκανε βαθυῤῥόου Ὠκεανοῖο.
Ἔνθα δὲ Κιμμερίων ἀνδρῶν δῆμός τε πόλις τε,
Ἠέρι καὶ νεφέλῃ κεκαλυμμένοι· οὐδέ ποτ᾽ αὐτοὺς
Ἠέλιος φαέθων καταδέρκεται ἀκτίνεσσιν,
Οὔθ᾽ ὁπότ᾽ ἂν στείχῃσι πρὸς οὐρανὸν ἀστερόεντα,
Οὔθ᾽ ὅτ᾽ ἂν ἂψ ἐπὶ γαῖαν ἀπ᾽ οὐρανόθεν προτράπηται·
Ἀλλ᾽ ἐπὶ νὺξ ὀλοὴ τέταται δειλοῖσι βροτοῖσιν.
Νῆα μὲν, ἔνθ᾽ ἐλθόντες, ἐκέλσαμεν· ἐκ δὲ τὰ μῆλα
Εἱλόμεθ᾽· αὐτοὶ δ᾽ αὖτε παρὰ ῥόον Ὠκεανοῖο
Ἤομεν, ὄφρ᾽ ἐς χῶρον ἀφικόμεθ᾽, ὃν φράσε Κίρκη.
Ἔνθ᾽ ἱερήϊα μὲν Περιμήδης Εὐρύλοχός τε
Ἔσχον· ἐγὼ δ᾽ ἄορ ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ
Βόθρον ὄρυξ᾽, ὅσσον τε πυγούσιον ἔνθα καὶ ἔνθα·
Ἀμφ᾽ αὐτῷ δὲ χοὴν χεόμην πᾶσιν νεκύεσσιν,
Πρῶτα μελικρήτῳ, μετέπειτα δὲ ἡδέϊ οἴνῳ,
Τὸ τρίτον αὖθ᾽ ὕδατι· ἐπὶ δ᾽ ἄλφιτα λευκὰ πάλυνον.
Πολλὰ δὲ γουνούμην νεκύων ἀμενηνὰ κάρηνα,
Ἐλθὼν εἰς Ἰθάκην στεῖραν βοῦν, ἥτις ἀρίστη,
Ῥέξειν ἐν μεγάροισι πυρήν τ᾽ ἐμπλησέμεν ἐσθλῶν·
Τειρεσίῃ δ᾽ ἀπάνευθεν ὄϊν ἱερευσέμεν οἴῳ
Παμμέλαν᾽, ὃς μήλοισι μεταπρέπει ἡμετέροισιν.
Τοὺς δ᾽ ἐπεὶ εὐχωλῇσι λιτῇσί τε, ἔθνεα νεκρῶν,
Ἐλλισάμην, τὰ δὲ μῆλα λαβὼν ἀπεδειροτόμησα
Ἐς βόθρον, ῥέε δ᾽ αἷμα κελαινεφές· αἱ δ᾽ ἀγέροντο
Ψυχαὶ ὑπὲξ Ἐρέβευς νεκύων κατατεθνηώτων.
Νύμφαι τ᾽ ἠΐθεοί τε, πολύτλητοί τε γέροντες,
Παρθενικαί τ᾽ ἀταλαὶ, νεοπενθέα θυμὸν ἔχουσαι·
Πολλοὶ δ᾽ οὐτάμενοι χαλκήρεσιν ἐγχείῃσιν,
Ἄνδρες Ἀρηΐφατοι, βεβροτωμένα τεύχε᾽ ἔχοντες·
Οἳ πολλοὶ περὶ βόθρον ἐφοίτων ἄλλοθεν ἄλλος
Θεσπεσίῃ ἰαχῇ· ἐμὲ δὲ χλωρὸν δέος ᾕρει,
Δὴ τότ᾽ ἔπειθ᾽ ἑτάροισιν ἐποτρύνας ἐκέλευσα
Μῆλα, τὰ δὴ κατέκειτ᾽ ἐσφαγμένα νηλέϊ χαλκῷ,
Δείραντας κατακεῖαι, ἐπεύξασθαι δὲ θεοῖσιν,

Ὠκεανοῦ· ἔνθα τὸ τῶν Κιμμερίων κατῴκηται γένος, ἀχλύϊ καὶ νεφέλῃ ἀεὶ ἐγκεκαλυμμένοι· οὔπω γὰρ αὐτοὺς ἐπεῖδεν ὁ ἥλιος, οὔτ' ἐπέβαλεν ἐπ' αὐτοὺς τὰς ἀκτῖνας, οὔθ' ὅτε ἄνεισιν ἀνατέλλων, οὔθ' ὅτε κατιὼν καταδύεται· οὕτως ἐν διηνεκεῖ διαγίγνονται σκότῳ. Ὡς οὖν ἀφικόμεθα ἐκεῖ, ἀνελκύσαντες τὴν ναῦν εἰς τὴν χέρσον, λαβόντες τὰ ἱερεῖα, ἐχωροῦμεν τοῦ πρόσω κατὰ τὴν ἀκτὴν, μέχρις οὗ ἀφικόμεθα, ἔνθ' ἡμῖν ἡ θεὸς προειρήκει. Ἐνταῦθα τοίνυν Περιμήδης μὲν καὶ Εὐρύλοχος εἶχον τὰ ἱερεῖα· ἐγὼ δὲ σπασάμενος τὸ ξίφος, ὤρυξα βόθρον, ὅσον πηχυαῖον τετράγωνον· ἐν ᾧ ἐποιήσαμεν χοὰς πᾶσι τοῖς νεκροῖς, πρῶτον μὲν μελίκρατον, εἶτα οἶνον ἡδὺν, καὶ τρίτον ὕδωρ· ἐπὶ δὲ πᾶσιν ἐπεπάσαμεν ἄλφιτα, ἄλλατε πολλὰ τῶν ἀμενηνῶν καρήνων δεόμενοι, κἀπειδὰν γένωμαι ἐν Ἰθάκῃ αὐτοῖς τε τούτοι κοινῇ ὑπεσχόμην στεῖραν βοῦν, τὴν ἀρίστην πασῶν ἐκεῖ θύσειν, καὶ τὴν πυρὰν αὐτοῖς πολλῶν ἐμπλήσειν ἐσθλῶν, καὶ τῷ Τειρεσίᾳ χωρὶς μέλανα κριὸν, ὃς ἂν ᾖ διαπρεπέστερος ἐν τῇ ποίμνῃ, μόνῳ αὐτῷ ἐντεμεῖν.

Ἐπειδὴ δὲ οὕτω μοι ἅλις εἶχεν εὐχῆς, λαβὼν τὰ ἱερεῖα, ἔσφαξα ἐπὶ τοῦ ὀρύγματος· καὶ παραχρῆμα ἐφάνησαν αἱ ψυχαὶ ἄλλοθεν ἄλλαι ἀναμὶξ ἀπὸ τοῦ ἐρέβους ἀνιοῦσαι πρὸς τὸ αἷμα μελισσηδὸν, νυμφῶν, μειρακίων, γερόντων, κατεσκληκότων τοῖς ἔτεσι, καὶ τοῖς πόνοις κατεῤῥικνωμένων, παρθένων ἁπαλῶν, ἐν ὥρᾳ ἀπεστερημένων τοῦ ζῆν, ἀνδρῶν ἀρειμανῶν, τραύμασί τε ὅλως ἐξηνθηκότων, καὶ ὅπλα βεβροτωμένα καὶ λυθρώδη φερόντων· οἳ ἀθρόοι τινὲς ἐφοίτων ἄλλοθεν ἄλλος ἀπὸ τοῦ σκότους σὺν βόμβῳ πολλῷ καὶ τριγμῷ, ὥστε με τῷ δέει κατεπτηχέναι· Τότ' οὖν κελεύσας τοὺς ἑταίρους, λαβόντας τὰ ἱερεῖα, κατακαῦσαι ἐκδείραντας· καὶ

Ἰφθίμῳ τ' Ἀΐδῃ καὶ ἐπαινῇ Περσεφονείῃ·
Αὐτὸς δὲ ξίφος ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ
Ἥμην, οὐδ' εἴων νεκύων ἀμενηνὰ κάρηνα
Αἵματος ἄσσον ἴμεν, πρὶν Τειρεσίαο πυθέσθαι.
Πρώτη δὲ ψυχὴ Ἐλπήνορος ἦλθεν ἑταίρου·
Οὐ γάρ πω ἐτέθαπτο ὑπὸ χθονὸς εὐρυοδείης·
Σῶμα γὰρ ἐν Κίρκης μεγάρῳ κατελείπομεν ἡμεῖς
Ἄκλαυτον καὶ ἄθαπτον· ἐπεὶ πόνος ἄλλος ἔπειγεν.
Τὸν μὲν ἐγὼ δάκρυσα ἰδὼν, ἐλέησά τε θυμῷ·
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδων·
Ἐλπῆνορ, πῶς ἦλθες ὑπὸ ζόφον ἠερόεντα;
Ἔφθης πεζὸς ἐὼν, ἢ ἐγὼ σὺν νηῒ μελαίνῃ;
Ὣς ἐφάμην· ὁ δέ μ' οἰμώξας ἠμείβετο μύθῳ·
Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Ἆσέ με δαίμονος αἶσα κακὴ καὶ ἀθέσφατος οἶνος·
Κίρκης δ' ἐν μεγάρῳ καταλέγμενος, οὐκ ἐνόησα
Ἄψοῤῥον καταβῆναι, ἰὼν ἐς κλίμακα μακρὴν,
Ἀλλὰ καταντικρὺ τέγεος πέσον· ἐκ δέ μοι αὐχὴν
Ἀστραγάλων ἐάγη, ψυχὴ δ' Ἄϊδόσδε κατῆλθεν.
Νῦν δέ σε τῶν ὄπιθεν γουνάζομαι, οὐ παρεόντων,
Πρός τ' ἀλόχου καὶ πατρὸς, ὅ σ' ἔτρεφε τυτθὸν ἐόντα,
Τηλεμάχου θ', ὃν μοῦνον ἐνὶ μεγάροισιν ἔλειπες·
Οἶδα γὰρ, ὡς ἐνθένδε κιὼν δόμου ἐξ Ἀΐδαο,
Νῆσον ἐς Αἰαίην σχήσεις εὐεργέα νῆα·
Ἔνθα σ' ἔπειτα, ἄναξ, κέλομαι μνήσασθαι ἐμεῖο.
Μή μ' ἄκλαυτον, ἄθαπτον, ἰὼν, ὄπιθεν καταλείπειν
Νοσφισθεὶς, μή τοί τι θεῶν μήνιμα γένωμαι·
Ἀλλά με κακκεῖαι σὺν τεύχεσιν, ἅσσα μοί ἐστιν,
Σῆμά τέ μοι χεῦαι πολιῆς ἐπὶ θινὶ θαλάσσης,
Ἀνδρὸς δυστήνοιο, καὶ ἐσσομένοισι πυθέσθαι·

εὔξασθαι τοῖς τ' ἄλλοις θεοῖς, καὶ Ἅδῃ Ἰφθίμῳ, καὶ ἐπαινῇ Περσεφόνῃ, αὐτός τε σπασάμενος τὸ ξίφος, ἀπεῖργον τὰ ἀμενηνὰ ἐκεῖνα κάρηνα τῶν νεκύων μὴ πρότερον πλησίον γενέσθαι τοῦ αἵματος, πρὶν ἢ πυθέσθαι τοῦ Τειρεσίου.

Ἐν δὴ τούτοις ὤν, ὁρῶ πρώτην τὴν τοῦ Ἐλπήνορος ψυχὴν παρεστῶσαν· οὗ τὸ σῶμα, ἀνάγκης οὔσης ἀποπλεῖν, παραμεληθὲν ὑφ' ἡμῶν, ἔκειτο ἔτι ἄταφόν τε καὶ ἄκλαυστον ἐν τοῖς βασιλείοις τῆς Κίρκης· ἰδὼν οὖν αὐτὸν, καὶ οἴκτῳ ληφθεὶς, τί τοῦτ', ὦ Ἐλπῆνορ, ἔφην πρὸς αὐτόν; πῶς ἐς ᾅδου αὐτὸς κατῆλθες; ἔφθης γάρ με πλέονθ', ὡς ἔοικε, πεζῇ αὐτὸς κατιών· ταῦτα μὲν ἐγώ.

Ὁ δὲ μύχιον ἀνοιμώξας, Διογενὲς Λαερτιάδη, ἔφη, πολυμήχανε Ὀδυσσεῦ, δαίμων με ἀλάστωρ καὶ οἶνος ἀπώλεσαν· καθεύδων γὰρ ὑψοῦ ἐν τοῖς Κίρκης, ἀνέστην πρὸς τὸν θόρυβον αἴφνης, ζητῶν καταβῆναι· εἶτ' ἐπιλαθόμενος τῆς κλίμακος, ἐξετραχηλίσθην, καταπεσὼν εἰς τοὔδαφος ἑτέρωθεν ἐκ τοῦ τέγους· νῦν δ' ἄλλο σοῦ δέομαι περὶ τῶν μελλόντων· πρὸς τῆς σῆς Πηνελόπης καὶ τοῦ σοῦ πατρὸς Λαερτίου, τοῦ τε παιδὸς Τηλεμάχου, ὃν μόνον κατέλιπες οἴκοι, ἐπειδὰν τάχιστ' ἐπανέλθῃς εἰς Αἰαίαν τὴν νῆσον (οἶδα γὰρ τοῦτ' ἔγωγε σαφῶς) μέμνησο ἀξιῶσαί με ταφῆς, ὡς νομίζεται· οὐ γὰρ καλὸν ἄταφόν με αὐτοῦ καὶ ἄκλαυστον κεῖσθαι, μήτι πρὸς τῶν θεῶν καίσοι τοῦτο μήνιμα γένηται· Δεῖ τοίνυν κατακαῦσαί με αὐτοῦ σὺν τοῖς ὅπλοις, ὅσα μοί ἐστιν, σῆμά τε χῶσαι ἀνδρὸς δυστυχοῦς ἐπὶ τῆς ἠϊόνος πλωϊζομένοις σῃ-

---

61. Ἆσέ με] ἔβλαψέ με. — Ἀθέσφατος] πολύς· 62. Καταλέγμενος] κοιμηθείς. 66. Τῶν ἔπισθεν] περὶ τῶν μελλόντων. 73. Μήτοιτι] μήτισοι κακὸν διὰ τοῦτο γένηται παρὰ τῶν θεῶν· 74. Κακκεῖαι κα-

Ταῦτά τε μοι τελέσαι, πῆξαί τ' ἐπὶ τύμβῳ ἐρετμὸν,
Τῷ καὶ ζωὸς ἔρεσσον, ἐὼν μετ' ἐμοῖς ἑτάροισιν.
Ὣς ἔφατ'· αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον.
Ταῦτά τοι, ὦ δύστηνε, τελευτήσω τε καὶ ἔρξω.
Νῶϊ μὲν ὣς ἐπέεσσιν ἀμειβομένω στυγεροῖσιν
Ἥμεθ'· ἐγὼ μὲν ἄνευθεν ἐφ' αἵματι φάσγανον ἴσχων,
Εἴδωλον δ' ἑτέρωθεν ἑταίρου πόλλ' ἀγόρευεν.
Ἦλθε δ' ἐπὶ ψυχὴ μητρὸς κατατεθνηυίης,
Αὐτολύκου θυγάτηρ μεγαλήτορος, Ἀντίκλεια,
Τὴν ζωὴν κατέλειπον, ἰὼν εἰς Ἴλιον ἱρήν.
Τὴν μὲν ἐγὼ δάκρυσα ἰδὼν, ἐλέησά τε θυμῷ·
Ἀλλ' οὐδ' ὣς εἴων προτέρην πυκινόν περ ἀχεύων
Αἵματος ἆσσον ἴμεν, πρὶν Τειρεσίαο πυθέσθαι.
Ἦλθε δ' ἐπὶ ψυχὴ Θηβαίου Τειρεσίαο,
Χρύσεον σκῆπτρον ἔχων, ἐμὲ δ' ἔγνω καὶ προσέειπεν·
Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Τίπτ' αὖτ', ὦ δύστηνε, λιπὼν φάος ἠελίοιο
Ἤλυθες, ὄφρα ἴδῃ νέκυας καὶ ἀτερπέα χῶρον;
Ἀλλ' ἀποχάζεο βόθρου, ἄπισχε δὲ φάσγανον ὀξὺ,
Αἵματος ὄφρα πίω, καί τοι νημερτέα εἴπω.
Ὣς φάτ'· ἐγὼ δ' ἀναχασσάμενος ξίφος ἀργυρόηλον,
Κουλεῷ ἐγκατέπηξ'· ὁ δ' ἐπεὶ πίεν αἷμα κελαινὸν,
Καὶ τότε δή μ' ἐπέεσσι προσηύδα μάντις ἀμύμων·
Νόστον δίζηαι μελιηδέα, φαίδιμ' Ὀδυσσεῦ·
Τὸν δέ τοι ἀργαλέον θήσει θεός· οὐ γὰρ ὀΐω
Λήσειν Ἐννοσίγαιον, ὅ τοι κότον ἔνθετο θυμῷ,
Χωόμενος, ὅτι οἱ υἱὸν φίλον ἐξαλάωσας.
Ἀλλ' ἔτι μέν κε καὶ ὣς κακά περ πάσχοντες ἵκοισθε,
Αἴ κ' ἐθέλῃς σὸν θυμὸν ἐρυκακέειν καὶ ἑταίρων,
Ὁππότε κε πρῶτον πελάσῃς εὐεργέα νῆα

μεῖον· ἐπὶ δὲ τούτοις ἐμπῆξαι τὴν κώπην ἐπὶ τοῦ τάφου, ἥ ἤρεσσον, ὁπότε ἦν μετὰ τῶν ἑτέρων· ταῦτα μὲν ἐκεῖνος.

Ἐγὼ δ' ἐν τῷ διαλέγεσθαι τοιαῦθ' ἡμᾶς πρὸς ἀλλήλους, αὐτὸν μὲν δεόμενον, ἐμὲ δ' ὑπισχνούμενον πάνθ', ὅσα ἐδεῖτο μου, ποιήσειν αὐτῷ, ἐν ᾧ ἐτύγχανον φέρων τὸ ξίφος ἐπὶ τοῦ ὀρύγματος, ἵνα μήτις τῶν ψυχῶν πίῃ τοῦ αἵματος, ἐν τούτῳ ὁρῶ τὴν ψυχὴν τῆς ἐμαυτοῦ μητρὸς Ἀντικλείας, τῆς θυγατρὸς Αὐτολύκου τοῦ μεγαλήτορος· ἣν ἐκπλεύσας εἰς Ἴλιον, κατέλιπον οἴκοι ζῶσαν· καὶ δὴ ἐλεήσας αὐτὴν, ἐδάκρυσα· ἀλλὰ καίπερ πολὺ τὸ πάθος αἰσθόμενος ἐν ἐμαυτῷ γεγονός, ἀλλ' οὐκ εἴασα αὐτὴν προσιέναι τῷ αἵματι πρότερον, πρὶν ἀκοῦσαι Τειρεσίου· κἀν τούτῳ πάρεστι καὶ ἡ ἐκείνου ψυχὴ πρὸς τὸ αἷμα, χρυσοῦν σκῆπτρον φέρουσα. Οὗτος οὖν γνοὺς ἐμὲ, ἔφη, τί ποτ', ὦ δύστηνε σύγε, καταλιπὼν τὸ φῶς ἄνω, κατῆλθες ὧδ' ὡς ἡμᾶς, νεκρούς τε καὶ τὸν ἀηδῆ τοῦτον ὀψόμενος χῶρον; ἀλλὰ μετάστηθι μικρὸν τοῦ ὀρύγματος, ἀφελὼν καὶ τὸ ξίφος, ἵνα πρῶτον πίω τοῦ αἵματος, εἴσοι βουλομένῳ ἐστὶ πάντα μου ἀληθῆ ἐπαΐειν· Ὡς οὖν μεταστάντος ἐμοῦ, καὶ ἐγκαταθέντος τὸ ξίφος τῷ κολεῷ, ἔπιεν αἷμα, ἤρξατο λέγειν τοιαῦτα.

Οἶδά σε, ὦ φαίδιμε Ὀδυσσεῦ, πόθῳ τῆς πατρίδος τηκόμενον, ἀλλ' ἴσθι τὸν θεὸν ἀργαλέαν σοι τὴν νόστον ποιήσοντα· οὐ γὰρ οἴομαι λήσειν σε Ποσειδῶνα, πρὸς ὃν τυγχάνεις ἀπεχθημένος, ἐφ' οἷς τὸν ὀφθαλμὸν ἐξεῖλες τοῦ Πολυφήμου· ἀλλὰ καὶ οὕτω παθόντες πολλὰ καὶ χαλεπὰ κατὰ θάλατταν, ἔλθοιτ' ἂν εἰς φίλην πατρίδα γαῖαν, εἰ μόνον σωφρονήσετε, ὁπότε διαβαλόντες τὸ πέλαγος, περαιωθή-

---

τακκῦσαι. 91. Ἔχων] ἀντὶ τοῦ ἔχουσα ἡ ψυχή· ἀνάγεται δὲ εἰς τὴν ἐν-

Θρινακίῃ νήσῳ, προφυγὼν ἰοειδέα πόντον·
Βοσκομένας δ' εὕρητε βόας καὶ ἴφια μῆλα
Ἠελίου, ὃς πάντ' ἀφορᾷ, καὶ πάντ' ἐπακούει.
Τὰς εἰ μέν κ' ἀσινέας ἐάᾳς νόστου τε μέδηαι,
Καί κεν ἔτ' εἰς Ἰθάκην, κακά περ πάσχοντες, ἵκοισθε·
Εἰ δέ κε σίνηαι, τότε τοι τεκμαίρομ' ὄλεθρον
Νηΐ τε καὶ ἑτάροις· αὐτὸς δ' εἴπερ κεν ἀλύξῃς,
Ὀψὲ κακῶς νεῖαι, ὀλέσας ἄπο πάντας ἑταίρους,
Νηὸς ἐπ' ἀλλοτρίης· δήεις δ' ἐν πήματα οἴκῳ,
Ἄνδρας ὑπερφιάλους, οἵ τοι βίοτον κατέδουσιν,
Μνώμενοι ἀντιθέην ἄλοχον καὶ ἕδνα διδόντες·
Ἀλλ' ἤτοι κείνων γε βίας ἀποτίσεαι ἐλθών·
Αὐτὰρ ἐπὴν μνηστῆρας ἐνὶ μεγάροισι τεοῖσιν
Κτείνῃς, ἠὲ δόλῳ, ἢ ἀμφαδὸν ὀξέϊ χαλκῷ,
Ἔρχεσθαι δὴ ἔπειτα, λαβὼν εὐῆρες ἐρετμὸν,
Εἰσόκε τοὺς ἀφίκηαι, οἳ οὐκ ἴσασι θάλασσαν
Ἀνέρες, οὐδέ θ' ἅλεσσι μεμιγμένον εἶδαρ ἔδουσιν·
Οὐδ' ἄρα τοίγ' ἴσασι νέας φοινικοπαρῄους,
Οὐδ' εὐήρε' ἐρετμὰ, τάτε πτερὰ νηυσὶ πέλονται.
Σῆμα δέ τοι ἐρέω μάλ' ἀριφραδὲς, οὐδέ σε λήσει·
Ὁππότε κεν δή τοι ξυμβλήμενος ἄλλος ὁδίτης
Φήῃ ἀθηρηλοιγὸν ἔχειν ἀνὰ φαιδίμῳ ὤμῳ,
Καὶ τότε δὴ γαίῃ πήξας εὐῆρες ἐρετμὸν,
Ῥέξας ἱερὰ καλὰ Ποσειδάωνι ἄνακτι,
Ἀρνειὸν, ταῦρόν τε, συῶν τ' ἐπιβήτορα κάπρον,
Οἴκαδ' ἀποστείχειν ἔρδειν θ' ἱερὰς ἑκατόμβας

νοιαν. 107. Θρινακίῃ] τῇ Σικελίᾳ. φασὶ δὲ γραπτέον ἂν εἴη μᾶλλον Θρινακρίῃ, παρὰ τὸ τρὶς ἄκρας ἔχειν, ὅ ἐστι γωνίας, ἢ ἀκρωτήρια. τοιαύτη

σεσθε εἰς τὴν Θρινακίαν· αὐτοῦ γάρ εἰσιν αἱ τοῦ Ἡλίου βόες καὶ ὄϊς νεμόμεναι· ὃς πάντ' ἐφορᾷ, καὶ πάντα ἀκούει· εἰ μὲν οὖν ἐάσεις αὐτὰς ἀσινεῖς, ὕπεστιν ἐλπὶς ὑμᾶς ἀφίξεσθαι ἅπαντας ἐς Ἰθάκην, πολλὰ καὶ δεινὰ παθόντας κατὰ πάντα τὸν πλοῦν· εἰ δὲ μὴ, τῇτε νηῒ καὶ τοῖς ἑταίροις προμαντεύομαι ὄλεθρον· αὐτὸς δὲ μόνος, κἂν περιγένῃ, ἀλλ' ὀψὲ μάλα οἴκαδ' ἐπὶ νεὼς ἀλλοτρίας ἀφίξῃ. ἐλθὼν δ' αὖ, ἄλλ' εὑρήσεις οἴκοι κακὰ, ἄνδρας ἀλαζόνας τινὰς ἀθρόους κατοψοφαγοῦντας τὰ σὰ, τὴν σὴν μνηστευομένους γυναῖκα, καὶ ἕδνα διδόντας αὐτῇ πολλὰ καὶ ἐσθλά· ἀλλ' ἄμ' ἐλθὼν λήψῃ παρὰ τούτων δίκην ἀξίαν, δόλῳ μᾶλλον, ἢ ἐκ τοὐμφανοῦς αὐτοὺς ἀποκτείνας· ἐκ δὲ τούτου δεῖ σε, ἀνελόμενον κώπην, ἀνιέναι ὡς ἐπὶ τὴν μεσόγαιαν, ἔνθ' οἱ ἄνθρωποι ἀγνοοῦσιν τὴν θάλασσαν, καὶ ἐσθίουσι σῖτον ἄνευ ἅλατος, οὔτε πλοῖον γινώσκοντες, οὔτε μὴν κώπας, ταύτας δὴ τὰς πτέρυγας τῶν νεῶν· ἐρῶ δέ σοι καὶ σημεῖον τουτὶ, ἔνθασε στῆναι δεῖ· ὅταν γὰρ ἀκούσῃς τῶν ὁδοιπόρων τινὸς εἰπεῖν σοι, ὅτι πτύον φέρεις ἐπὶ τῶν ὤμων, αὐτοῦ σε δεῖ ἐπισχεῖν, καὶ τὴν κώπην ἐμπήξαντα τῇ γῇ, καὶ θύσαντα Ποσειδῶνι ἄνακτι κριόν τε καὶ ταῦρον καὶ κάπρον συῶν ἐπιβήτορα, οὕτως εἰς Ἰθάκην μετανοστῆσαι, καὶ ἀθανάτοις αὖθις θεοῖς πᾶσιν ἑξῆς τοῖς τὸν Ὄλυμπον κατοικοῦσιν θύσαι ἱερὰς ἑκατόμβας·

γὰρ ἡ Σικελία, Πέλωρον, Πάχυνον, καὶ Λιλύβαιον ἔχουσα. — Ἰοειδέα] μέλανα· 108. Ἴφιμα] ἰσχυρά. 110. Ἀσινέας] ἀσινεῖς, ἀβλαβεῖς. — Μέδηαι] φροντίζεις. 114. Ὀψὲ κακῶς νεῖαι] μετὰ ἐνιαυτοὺς ἑπτὰ, πολλὰ παθὼν, ἐν τῷ πολλῷ νέεαι, εἴτ' οὖν ἐλεύσῃ ἐπ' ἀλλοτρίας νεώς. 115. Δήεις] εὑρήσεις. 122. Ἐσόκε τοὺς] μέχρις ἐκείνων τῶν κατοίκων κατὰ μεσόγαιαν, οἳ καὶ τ. λ. 128. Φῆη ἀθηρηλοιγὸν] πτύον τὸ τῶν ἀθήρων διωκτικόν· ἀθῆρες δὲ

Ἀθανάτοισι θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
Πᾶσι μάλ' ἑξείης· θάνατος δέ τοι ἐξ ἁλὸς αὐτῷ
Ἀβληχρὸς μάλα τοῖος ἐλεύσεται, ὅς κέ σε πέφνῃ
Γήρᾳ ὕπο λιπαρῷ ἀρημένον· ἀμφὶ δὲ λαοὶ
Ὄλβιοι ἔσσονται· τάδε τοι νημερτέα εἴρω.
Ὣς ἔφατ'· αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
Τειρεσίη, τὰ μὲν ἄρ που ἐπέκλωσαν θεοὶ αὐτοί.
Ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον·
Μητρὸς τήνδ' ὁρόω ψυχὴν κατατεθνηυίης·
Ἡ δ' ἀκέουσ' ἧσται σχεδὸν αἵματος, οὐδ' ἑὸν υἱὸν
Ἔτλη ἔσαντα ἰδεῖν, οὐδὲ προτιμυθήσασθαι.
Εἰπὲ, ἄναξ, πῶς κέν με ἀναγνοίη τὸν ἐόντα.
Ὣς ἐφάμην· ὁ δέ μ' αὐτίκ' ἀμειβόμενος προσέειπεν·
Ῥηΐδιόν τοι ἔπος ἐρέω, καὶ ἐνὶ φρεσὶ θήσω·
Ὅντινα μέν κεν ἐᾷς νεκύων κατατεθνηώτων
Αἵματος ἆσσον ἴμεν, ὅδε τοι νημερτὲς ἐνίψει·
Ὧδέ κ' ἐπιφθονέοις, ὅδε τοι πάλιν εἶσιν ὀπίσσω.
Ὣς φαμένη ψυχὴ μὲν ἔβη δόμον Ἄϊδος εἴσω
Τειρεσίαο ἄνακτος, ἐπεὶ κατὰ θέσφατ' ἔλεξεν.
Αὐτὰρ ἐγὼν αὐτοῦ μένον ἔμπεδον, ὄφρ' ἐπὶ μήτηρ
Ἤλυθε καὶ πίεν αἷμα κελαινεφές· αὐτίκα δ' ἔγνω,
Καί μ' ὀλοφυρομένη ἔπεα πτερόεντα προσηύδα·
Τέκνον ἐμὸν, πῶς ἦλθες ὑπὸ ζόφον ἠερόεντα,
Ζωὸς ἐών; χαλεπὸν δὲ τάδε ζωοῖσιν ὁρᾶσθαι.
(Μέσσῳ γὰρ μεγάλοι ποταμοὶ καὶ δεινὰ ῥέεθρα,
Ὠκεανὸς μὲν πρῶτα, τὸν οὔπως ἐστὶ περῆσαι
Πεζὸν ἐόντ', ἢν μήτις ἔχῃ εὐεργέα νῆα.)
Ἢ νῦν δὴ Τροίηθεν ἀλώμενος, ἐνθάδ' ἱκάνεις
Νηΐ τε καὶ ἑτάροισι, πολὺν χρόνον; οὐδέπω ἦλθες
Εἰς Ἰθάκην; οὐδ' εἶδες ἐνὶ μεγάροισιν γυναῖκα;
Ὣς ἔφατ'· αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
Μῆτερ ἐμὴ, χρειώ με κατήγαγεν εἰς Ἀΐδαο,
Ψυχῇ χρησόμενον Θηβαίου Τειρεσίαο.

ἡ δὲ τελευτή σοι τοῦ βίου ἐν γήρᾳ ἔσται βαθεῖ καὶ λιπαρῷ ἀπὸ τῆς θαλάσσης ἐν εὐδαιμονίᾳ τῶν ὑπηκόων· ταῦτά σοι παρ' ἐμοῦ πάντα εἴρηται ἀληθῆ.

Ταῦτα μὲν, ὦ Τειρεσία, ἔφην ἐγὼ, οἶδ' οὕτω μοι γενέσθαι τοὺς θεοὺς ἐπικλώσαντας· νῦν δ' ἐκεῖνό μοι ἐξηγήσασθαι δέομαί σου· ὁρῶ γὰρ τὴν ψυχὴν τῆς μητρὸς ἐγγὺς τοῦ ὀρύγματος σιωπῇ καθημένην, μήτ' ἰδεῖν πρὸς ἐμὲ, μήτε προσειπεῖν ἀξιοῦσαν· πῶς ἂν οὖν ποιήσαιμι αὐτὴν ἀναγνῶναί με; ταῦτα μὲν ἐγώ.

Ὁ δὲ, οὐδὲν ῥᾷον, ἔφη· ᾧ γὰρ ἂν τῶν νεκρῶν συγχωρήσῃς πιεῖν, οὗτος ἐρεῖ σοι πᾶν, ὅ,τι πότ' ἂν βούλῃ· ᾧ δὲ μὴ, ἄφωνος οὗτος ἀπελεύσεται, πάλιν· ταῦτα δὲ εἰπὼν, κατέδυ εἰς ᾅδου.

Ἐγὼ δὲ παρέμενον αὐτοῦ μέχρις οὗ ἐλθοῦσα ἡ ψυχὴ τῆς μητρὸς, καὶ πιοῦσα τοῦ αἵματος, εἶπέ μοι ταῦτα ὀλοφυρομένη· Τέκνον ἐμὸν, τί παθὼν ἔτι ζῶν, εἰς τὸν ζόφον ὧδε κατῆλθες, χαλεποῦ ὄντος τοῖς ζῶσι τὰ ἐνταῦθα ἰδεῖν; ἄλλοις τε γὰρ ποταμοῖς τὰν μέσῳ καθεῖρκται, καὶ δὴ καὶ Ὠκεανῷ ἀχανεῖ· ὃν οὐκ ἔστιν οὐδενὶ πεζῇ διαβῆναι, εἰ μήτῳ ναῦς εἴη· μῶν ἐκ Τροίας, πολὺν πλανώμενος χρόνον, πάρει σὺν ναυσὶ καὶ ἑταίροις, μηδέπω ἐς τὰ φίλτατα ἀπονενοστηκὼς, μήτε ἐς φίλην πατρίδ' Ἰθάκην; ταῦτα μὲν ἐκείνη.

Ἐγὼ δὲ, μῆτερ ἐμὴ, ἔφην, χρεία με κατήγαγεν ὧδε, τῇ τοῦ Τειρεσίου χρησόμενον ψυχῇ· οὔπω γὰρ τῆς Ἑλλάδος,

---

οἱ ἀνθέρικες, τὰ λεπτὰ ἄκρα τῶν ἀσταχέων. 133. Τηλέγονόν φασι τὸν ἐξ Ὀδυσσέως καὶ Κίρκης ἐν ὑστέρῳ χρόνῳ κατὰ ζήτησιν ἐλθόντα τοῦ πατρὸς, εἰς Ἰθάκην διαχρήσασθαι ὑπ' ἀγνοίας αὐτὸν κέντρῳ τρυγῶνος· ἡ δὲ τρυγὼν ἰχθύς τις ἐστι κέντρον ἐν οὐρᾷ δηλητήριον ἔχων, ὅθεν ὁ θάνατος ἐκ θαλάσσης τῷ Ὀδυσσεῖ. 135. Ἀβληχρὸς] ἀσθενής. 136. Ἀρημένον] ἡρμοσμένον. 142. Ἧσται] κάθηται πλησίον τοῦ αἵματος. 143. Ἐσάντα] εἰς ὦπα, κατέναντι. 148. Ἐνίψει] ἐρεῖ σοί τι. 149. Ἐπιφθονέεις] κωλύεις. 169. Εὔπωλον] ἀγα-

Οὐ γάρ πω σχεδὸν ἦλθον Ἀχαιΐδος, οὐδέ πω ἁμῆς
Γῆς ἐπέβην, ἀλλ' αἰὲν ἔχων ἀλάλημαι ὀϊζὺν,
Ἐξ οὗ τὰ πρώτισθ' ἑπόμην Ἀγαμέμνονι δίῳ
Ἴλιον εἰς εὔπωλον, ἵνα Τρώεσσι μαχοίμην.
Ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον·
Τίς νύ σε Κὴρ ἐδάμασσε τανηλεγέος θανάτοιο;
Ἦ δολιχὴ νοῦσος; ἢ Ἄρτεμις ἰοχέαιρα
Οἷς ἀγανοῖς βελέεσσιν ἐποιχομένη κατέπεφνεν;
Εἰπὲ δέ μοι πατρός τε καὶ υἱέος, ὃν κατέλειπον,
Ἢ ἔτι πὰρ κείνοισιν ἐμὸν γέρας, ἦέ τις ἤδη
Ἀνδρῶν ἄλλος ἔχει, ἐμὲ δ' οὐκέτι φασὶ νέεσθαι.
Εἰπὲ δέ μοι μνηστῆς ἀλόχου βουλήν τε νόον τε,
Ἠὲ μένει παρὰ παιδὶ καὶ ἔμπεδα πάντα φυλάσσει,
Ἢ ἤδη μιν ἔγημεν Ἀχαιῶν, ὅστις ἄριστος·
Ὣς ἐφάμην· ἡ δ' αὐτίκ' ἀμείβετο πότνια μήτηρ·
Καὶ λίην κείνη γε μένει τετληότι θυμῷ.
Σοῖσιν ἐνὶ μεγάροισιν· ὀϊζυραὶ δέ οἱ αἰεὶ
Φθίνουσιν νύκτες τε καὶ ἤματα δακρυχεούσῃ.
Σὸν δ' οὔπω τις ἔχει καλὸν γέρας· ἀλλὰ ἕκηλος
Τηλέμαχος τεμένη νέμεται καὶ δαῖτας ἐΐσας
Δαίνυται, ἃς ἐπέοικε δικασπόλον ἄνδρ' ἀλεγύνειν·
Πάντες γὰρ καλέουσι, πατὴρ δὲ σὸς αὐτόθι μίμνει
Ἀγρῷ, οὐδὲ πόλινδε κατέρχεται· οὐδὲ οἱ εὐναὶ
Δέμνια καὶ χλαῖναι καὶ ῥήγεα σιγαλόεντα·
Ἀλλ' ὅγε χεῖμα μὲν εὕδει ὅθι δμῶες ἐνὶ οἴκῳ
Ἐν κόνι ἄγχι πυρὸς, κακὰ δὲ χροῒ εἵματα εἷται·
Αὐτὰρ ἐπὴν ἔλθῃσι θέρος τεθαλυῖά τ' ὀπώρη,
Πάντῃ οἱ κατὰ γουνὸν ἀλωῆς οἰνοπαίδαιο

θοὺς ἵππους ἔχουσαν· 171. Τανηλεγέος.] ὁ ἐν τῷ λέχει τανύων διὰ μακροῦ,

μήτε μὴν αὐτῆς τῆς Ἰθάκης ἐπέβην· ἀλλ᾽ ἀεὶ διαγίνομαι ἐν κακοῖς, ἐξ ὅτου συνεξέπλευσα Ἀγαμέμνονι ἐπὶ Ἴλιον, Τρωσὶ μαχησόμενος· ἀλλ᾽ ἄγε νῦν εἰπέ μοι ποία σοι τελευτὴ τοῦ βίου ἐγένετο; καὶ τίς σε κατειργάσατο νόσος; ἢ Ἄρτεμις, ἡ τόξοις μάλιστα χαίρουσα, ἀνεῖλέ σε βέλει; εἰπέ μοι ἔτι περὶ τοῦ πατρὸς Λαερτίου, καὶ τοῦ παιδὸς Τηλεμάχου, ὃν κατέλιπον οἴκοι, πότερον παρ᾽ ἐκείνοις ἔτι τοὐμόν ἐςι σκῆπτρον, ἢ ἕτερός τις ἀφελόμενος ἔχει, μηκέτι με νοστήσειν ἐλπίσας; πρὸς δὲ τούτοις καὶ περὶ τῆς γυναικὸς τῆς ἐμῆς ὅ,τι ποτε φρονοίη, καὶ εἰ μένει ἔτι παρὰ Τηλεμάχῳ φυλάττουσα τἀμὰ, ἢ ἐγήματό τινι τῶν ἀρίστων Ἑλλήνων· ταῦτα μὲν ἐγώ.

Ἡ δὲ πρὸς ἐμὲ, ἡ μὲν γυνὴ, ἔφη, ὦ τέκνον, μένει ἔτι παρὰ Τηλεμάχῳ, πολλὰ ὑπομένουσα, νύκτωρ καὶ μεθ᾽ ἡμέρας τηκομένη τοῖς δάκρυσι· τὸ δὲ κράτος οὔπω τις ἔχει. Τηλέμαχος δ᾽ ἀτρέμας τυγχάνει ἔχων, πᾶσαν τὴν οὐσίαν νεμόμενος· κἀπὶ τῶν ἑστιάσεων, ὧν χρὴ τὸν θέμιστάς τε καὶ νόμους εὑράμενον παρὰ τῶν θεῶν ἀπολαύειν, φοιτᾷ ἀεὶ πρὸς τοὺς προσκαλοῦντας· ὁ δ᾽ αὖ πατὴρ (ἐπεί με καὶ τοῦτο ἤρου) οὐκέτι ἐπιδημεῖ, ἀλλ᾽ ἐμφιλοχωρῶν τῷ ἀγρῷ, αὐτοῦ ποιεῖται τὰς διατριβὰς, οὐκέτι ἐν παχείαις εὐναῖς, τάπησί τε καὶ χλαίναις ἁπαλαῖς, καὶ ῥήγεσι λαμπροῖς ἐπιβεβλημένοις κοιμώμενος· ἀλλὰ χειμῶνος μὲν χαμευνῶν παρὰ τῷ πυρὶ, ἔνθα καθεύδουσιν οἱ θεράποντες, πονηρὰ καὶ φαῦλα περιβεβλημένος· θέρους δ᾽ αὖ γενομένου, φύλλων τῆς ἀμπέλου

ὁ μακρόϋπνος. 172. Δολιχὴ μακροχρόνιος· ὁ δὲ ἐξ ὀλίγου αὐτόματος θάνατος τῶν μὲν ἀνδρῶν μάλιστα τῷ Ἀπόλλωνι· τῶν δὲ γυναικῶν τῇ Ἀρτέμιδι ἀπεδίδετο. 185. Ἐμὸν γέρας] τὴν ἐμὴν τιμὴν. ἀξίαν. 184. Τεμένεα τὰ χωρία. 186. Δικασπόλον] δικαστὴν, νομοκράτορα· τοῦτο γὰρ ἦν αὐτῷ

Φύλλων κεκλιμένων χθαμαλαὶ βεβλήαται εὐναί·
Ἔνθ' ὅγε κεῖτ' ἀχέων, μέγα δὲ φρεσὶ πένθος ἀέξει,
Σὸν πότμον γοόων· χαλεπὸν δ' ἐπὶ γῆρας ἱκάνει.
Οὕτω γὰρ καὶ ἐγὼν ὀλόμην καὶ πότμον ἐπέσπον·
Οὔτε μέ γ' ἐν μεγάροισιν ἐΰσκοπος Ἰοχέαιρα
Οἷς ἀγανοῖς βελέεσσιν ἐποιχομένη κατέπεφνεν·
Οὔτε τὶς οὖν μοι νοῦσος ἐπήλυθεν, ἥτε μάλιστα
Τηκεδόνι στυγερῇ μελέων ἐξείλετο θυμόν·
Ἀλλά με σός τε πόθος, σά τε μήδεα, φαίδιμ' Ὀδυσσεῦ,
Σή τ' ἀγανοφροσύνη μελιηδέα θυμὸν ἀπηύρα.
Ὣς ἔφατ'· αὐτὰρ ἔγωγ' ἔθελον φρεσὶ μερμηρίξας
Μητρὸς ἐμῆς ψυχὴν ἑλέειν κατατεθνηυίης·
Τρὶς μὲν ἐφωρμήθην, ἑλέειν τέ με θυμὸς ἀνώγει,
Τρὶς δέ μοι ἐκ χειρῶν σκιῇ εἴκελον, ἢ καὶ ὀνείρῳ
Ἔπτατ'· ἐμοὶ δ' ἄχος ὀξὺ γενέσκετο κηρόθι μᾶλλον·
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδων·
Μῆτερ ἐμή, τί νύ μ' οὐ μίμνεις ἑλέειν μεμαῶτα,
Ὄφρα καὶ εἰν' Ἀΐδαο, φίλας περὶ χεῖρε βαλόντε
Ἀμφοτέρω κρυεροῖο τεταρπώμεσθα γόοιο;
Ἤ τί μοι εἴδωλον τόδ' ἀγαυὴ Περσεφόνεια
Ὤτρυν', ὄφρ' ἔτι μᾶλλον ὀδυρόμενος στεναχίζω;
Ὣς ἐφάμην· ἡ δ' αὐτίκ' ἀμείβετο πότνια μήτηρ·
Ὤ μοι, τέκνον ἐμὸν, περὶ πάντων κάμμορε φωτῶν,
Οὔτι σε Περσεφόνεια, Διὸς θυγάτηρ, ἀπαφίσκει,
Ἀλλ' αὕτη δίκη ἐστὶ βροτῶν, ὅτε κέν τε θάνωσιν·
Οὐ γὰρ ἔτι σάρκας τε καὶ ὀστέα ἶνες ἔχουσιν,
Ἀλλὰ τὰ μέν τε πυρὸς κρατερὸν μένος αἰθομένοιο
Δαμνᾷ, ἐπεί κε πρῶτα λίπῃ λεύκ' ὀστέα θυμός·
Ψυχὴ δ' ἠΰτ' ὄνειρος ἀποπταμένη πεπότηται.
Ἀλλὰ φόως δε τάχιστα λιλαίεο· ταῦτα δὲ πάντα
Ἴσθ', ἵνα καὶ μετόπισθε τεῇ εἴπησθα γυναικί.

ὑποστρωννυμένων, εὐναὶ αὐτοσχέδιοι αὐτὸν ὑποδέχονται, τὴν σὴν ἀεὶ ὀδυρόμενον τύχην· ὃ κἀμὲ αὐτὴν εἰς Ἅδου κατήγαγεν· οὐ γὰρ οὔθ' ἡ εὔσκοπος Ἄρτεμις μειλιχίοις ἀνεῖλέ με βέλεσιν· οὔτε νόσος τις ἐπισκήψασά με διέφθειρεν· ἀλλ' ὁ πόθος, ὦ φίλτατον τέκνον, ὁ σός, καὶ ἡ σὴ καλοκἀγαθία με κατηνάλωσε· ταῦτα μὲν ἐκείνη.

Ἐγὼ δ' ἐκ τούτων ὁρμήσας ὑπὸ τοῦ πόθου τὴν τῆς μητρὸς ψυχὴν περιπτύξασθαι, ἔλαθον ἐκπεσών· τρὶς γὰρ ἀπέτυχον πειραθεὶς, ὡσπερεὶ σκιᾶς τινὸς, ἢ ὀνείρου διὰ τῶν χειρῶν ἀεὶ ἐκρέοντος τοῦ εἰδώλου· καί με τὸ πρᾶγμ', οὕτω διαφεῦγον, οὐκ ὀλίγον ἠνώχλει· εἶθ' οὕτως ἐπεβαλόμην ἐρέσθαι, τί δήποτ', ὦ μῆτερ, εἰπὼν, οὐ παρέχεις σεαυτὴν περιπτύξασθαι; καὶ κοινῇ μετ' ἀλλήλων θεραπεῦσαι τὸν πόθον τοῖς δάκρυσι; πρὸς τὶ γὰρ ἡ Περσεφόνη προῆκέ μοι οὕτω τὸ εἴδωλον, ἢ ὅπως ὁρῶν τοῦτο πόῤῥωθεν, μᾶλλον ὀδυρόμενος στένω;

Ἀλλ' οἴμοι, τέκνον, ἔφη ἐκείνη, πάντων ἀνθρώπων κακομορώτατον, οὐδὲν πρὸς ἔπος τὸ τῆς Περσεφόνης· ἀλλὰ τοῦτ' ἐστὶ μάλισθ' ὧδε πολίτευμα βροτοῖς, ἐπειδὰν τελευτήσωσι, σάρκας καὶ ὀστέα μὴ περιβάλλεσθαι· ταῦτα μὲν γὰρ κατηνάλωται τῷ πυρὶ ἐν τῷ βίῳ· ἡ δὲ ψυχὴ ἀκραιφνὴς καὶ γυμνὴ πάντων τούτων, ὥσπερ ὄναρ περιπολεῖ· ἀλλὰ σύγε μέμνησο ἐπανελθεῖν εἰς τὸ φῶς ὅσον τάχος, ἀπομνημονεύων, ὅσα τυγχάνεις ἀκηκοὼς πρὸς ἐμοῦ, ἵν' ἔχῃς διηγήσασθαι καὶ τῇ Πηνελόπῃ, ὀψέποτε γενόμενος οἴκαδε.

ἀνωτέρω τῷ γέρας. — Ἀλεγύνειν] ἀπολαμβάνειν. 203. Θυμὸν ἀπηύρα] εὐσχημόνως τὴν ἀγχόνην ἐσιώπησεν, φησὶν ὁ σχολιαστής. ὡς αἰτίαν ἐχόντων τῶν ἑαυτοὺς ἐξαγαγόντων τοῦ βίου. 217. Ἀπαφίσκει] ἀπατᾷ· 219. Ἶνες] τὰ νεῦρα ἐνταῦθα. 223. Λιλαίεο] ἐπιθύμει, ἐπείγου πρὸς τὸ φῶς. 226.

Νῶϊ μὲν ὣς ἐπέεσσιν ἀμειβόμεθ'· αἱ δὲ γυναῖκες
Ἤλυθον (ὤτρυνεν γὰρ ἀγαυὴ Περσεφόνεια)
Ὅσσαι ἀριστήων ἄλοχοι ἔσαν ἠδὲ θύγατρες·
Αἱ δ' ἄμφ' αἷμα κελαινὸν ἀολλέες ἠγερέθοντο.
Αὐτὰρ ἐγὼ βούλευον, ὅπως ἐρέοιμι ἑκάστην·
Ἥδε δέ μοι κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή·
Σπασσάμενος τανύηκες ἄορ παχέος παρὰ μηροῦ,
Οὐκ εἴων πιέειν ἅμα πάσας αἷμα κελαινόν.
Αἱ δὲ προμνηστῖναι ἐπήεσαν, ἠδὲ ἑκάστη
Ὃν γόνον ἐξαγόρευεν· ἐγὼ δ' ἐρέεινον ἁπάσας.
Ἔνθ' ἤτοι πρώτην Τυρὼ ἴδον εὐπατέρειαν,
Ἣ φάτο Σαλμωνῆος ἀμύμονος ἔκγονος εἶναι,
Φῆ δὲ Κρηθῆος γυνὴ ἔμμεναι Αἰολίδαο·
Ἣ ποταμοῦ ἠράσσατ' Ἐνιπῆος θείοιο,
Ὃς πολὺ κάλλιστος ποταμῶν ἐπὶ γαῖαν ἵησιν·
Καί ῥ' ἐπ' Ἐνιπῆος πωλέσκετο καλὰ ῥέεθρα.
Τῷ δ' ἄρ' ἐεισάμενος γαιήοχος Ἐννοσίγαιος
Ἐν προχοῇς ποταμοῦ παρελέξατο δινήεντος·
Πορφύρεον δ' ἄρα κῦμα περιστάθη, οὔρεϊ ἶσον,
Κυρτωθέν· κρύψεν τε θεὸν θνητήν τε γυναῖκα.
Λῦσε δὲ παρθενίην ζώνην, κατὰ δ' ὕπνον ἔχευεν.
Αὐτὰρ ἐπεί ῥ' ἐτέλεσσε θεὸς φιλοτήσια ἔργα,
Ἔν τ' ἄρα οἱ φῦ χειρὶ ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·
Χαῖρε, γύναι, φιλότητι, περιπλομένου δ' ἐνιαυτοῦ
Τέξεις ἀγλαὰ τέκνα· ἐπεὶ οὐκ ἀποφώλιοι εὐναὶ
Ἀθανάτων· σὺ δὲ τοὺς κομέειν ἀτιταλλέμεναί τε.
Νῦν δ' ἔρχευ πρὸς δῶμα καὶ ἴσχεο, μηδ' ὀνομήνῃς·
Αὐτὰρ ἐγώ τοί εἰμι Ποσειδάων ἐνοσίχθων.
Ὣς εἰπὼν ὑπὸ πόντον ἐδύσατο κυμαίνοντα·

Μεταξὺ δὲ λόγων τούτων τῶν πρὸς τὴν μητέρα, ὁρῶ ὅλον ὄχλον γυναικῶν ἀνιουσῶν πρὸς τὸ αἷμα ἄλλοθεν ἄλλων, τῆς Κόρης προϊούσης αὐτάς· ἦσαν δ' αὗται γαμεταὶ καὶ θυγατέρες ἀνδρῶν ἀρίστων· κἀγὼ διεσκεπτόμην, ὅπως ἂν ἑκάστης ῥᾷον πευσοίμην· καὶ δὴ ἔδοξέ μοι μᾶλλον, τὸ ξίφος σπασάμενον κωλύειν, ὥστε μὴ πίνειν ἀθρόας τοῦ αἵματος. Ἐκ δὴ τούτου, ἐν μέρει καὶ κατὰ μίαν ἑξῆς γενόμεναι, ἔλεγον, ἥτις ἑκάστη εἴη· καὶ τἄλλα διαπυνθανομένῳ μοι, ἀπεκρίνοντο πάντα.

Πρώτη τοίνυν ἁπασῶν πρόσεισιν ἡ εὐγενὴς Τυρώ· ἣ Σαλμωνέως μὲν ἔφη μοι θυγάτηρ γενέσθαι, γυνὴ δὲ Κρηθέως τοῦ Αἰολίδου· ἥτις Ἐνοπέως, ὃς πάντων ποταμῶν τῶν ἐπὶ γῆς ἐστι κάλλιστος, ἑάλω τῷ ἔρωτι· κἀπειδὴ Ποσειδῶν ἔτυχε περιπολῶν πρὸς τῷ ῥεύματι, μεταμορφωθεὶς εἰς τὸν ποταμὸν, ὡμίλησεν αὐτῇ ἐν φιλότητι πρὸς ταῖς τοῦ ῥεύματος ἐκϐολαῖς, ἑκατέρωθεν ἀποκυρτωθέντος εἰς ὕψος, καὶ ἀμφικαλύψαντος ἀμφοτέρους, θεὸν ἀθάνατον καὶ γυναῖκα θνητὴν μιγέντας φιλότητι· Ἔλυσε δ' οὖν αὐτῇ τὰ τῆς παρθενίας κειμήλια, ὕπνον ἡδὺν τοῖς ὄμμασιν αὐτῆς ἐπιχέας· ὡς δὲ διεκόρησε, λαϐόμενος αὐτῆς τῆς χειρὸς, χαῖρε, ἔφη, ὦ γύναι· ἐννάτῳ γὰρ μηνὶ ἕξεις δίδυμα· οὐ γὰρ ἄγονοι οὐδ' ὑπηνέμιοι τῶν ἀθανάτων αἱ συνουσίαι· ὅρα δ' ὅπως τεκοῦσα, τροφῆς καὶ ἀνατροφῆς ἀξιώσεις τοὺς γεννηθέντας ἀξίας· νῦν δ' ἀναστᾶσα, ἄπιθι πρὸς τοὺς σεαυτοῦ· καὶ ὅπως μηδενὶ μηδὲν τούτων εἴπῃς· ἐγὼ γάρ εἰμι Ποσειδῶν ἐνοσίγειος· ταῦτα δὲ εἰπὼν, κατέδυ εἰς τὴν ἄϐυσσον.

Ἡ δὲ Τυρὼ ἔτεκεν ἐν καιρῷ Πελίαν τε καὶ Νηλέα· οἳ ἄμφω

Ἀγαυὴ] ἔνδοξος. 233. Προμνηστῖναι] ἑξῆς, κατὰ μίαν. 235. Εὐπατέρειαν πατρὸς γὰρ ἦν Σαλμωνέως. 240. Πωλέσκετο] ἀνετρέφετο. 250. Κομέειν ἐπιμελείας, καὶ ἀνατροφῆς ἀξιῶσαι· τὸ δὲ ἀπαρέμφατον, ἀντὶ προστακτι-

Ἣ δ' ὑποκυσαμένη, Πελίην τέκε καὶ Νηλῆα·
Τὼ κρατερὼ θεράποντε Διὸς μεγάλοιο γενέσθην
Ἀμφοτέρω· Πελίης μὲν ἐν εὐρυχόρῳ Ἰαολκῷ
Ναῖε πολύῤῥηνος· ὁ δ' ἄρ ἐν Πύλῳ ἠμαθόεντι.
Τοὺς δ' ἑτέρους Κρηθῆϊ τέκεν βασίλεια γυναικῶν,
Αἴσονά τ', ἠδὲ Φέρητ', Ἀμυθάονά θ' ἱππιοχάρμην.
Τὴν δὲ μέτ' Ἀντιόπην ἴδον, Ἀσωποῖο θύγατρα,
Ἣ δὴ καὶ Διὸς εὔχετ' ἐν ἀγκοίνῃσιν ἰαῦσαι·
Καί ῥ' ἔτεκεν δύο παῖδ', Ἀμφίονά τε, Ζῆθόν τε,
Οἳ πρῶτοι Θήβης ἕδος ἔκτισαν ἑπταπύλοιο,
Πύργωσάν τ'· ἐπεὶ οὐ μὲν ἀπύργωτόν γ' ἐδύναντο
Ναιέμεν εὐρύχορον Θήβην, κρατερώ περ ἐόντε·
Τὴν δὲ μετ' Ἀλκμήνην ἴδον, Ἀμφιτρύωνος ἄκοιτιν,
Ἥ ῥ' Ἡρακλῆα θρασυμέμνονα, θυμολέοντα,
Γείνατ', ἐν ἀγκοίνῃσι Διὸς μεγάλοιο μιγεῖσα·
Καὶ Μεγάρην, Κρείοντος ὑπερθύμοιο θύγατρα,
Τὴν ἔχεν Ἀμφιτρύωνος υἱὸς, μένος αἰὲν ἀτειρής.
Μητέρα τ' Οἰδιπόδαο ἴδον καλὴν Ἐπικάστην,
Ἣ μέγα ἔργον ἔρεξεν ἀϊδρείῃσι νόοιο,
Γημαμένη ᾧ υἱεῖ· ὁ δ' ὃν πατέρ' ἐξεναρίξας
Γῆμεν· ἄφαρ δ' ἀνάπυστα θεοὶ θέσαν ἀνθρώποισιν.
Ἀλλ' ὁ μὲν ἐν Θήβῃ πολυηράτῳ ἄλγεα πάσχων,
Καδμείων ἤνασσε θεῶν ὀλοὰς διὰ βουλάς·
Ἡ δ' ἔβη εἰς Ἀΐδαο πυλάρταο κρατεροῖο,
Ἁψαμένη βρόχον αἰπὺν ἀφ' ὑψηλοῖο μελάθρου,

κοῦ. 257, Πολύῤῥηνος] πολυθρέμμων. 261. Ἐν ἀγκοίνῃσιν ἰαῦσαι] ἐν ταῖς ἀγκάλαις κοιμηθῆναι. 263. Πρῶτοι] σχετικῶς πρὸς τὸν Κάδμον δεύτερον ὄντα Κτίστην· 266. Αλκμήνην] τῇ αὐτῇ νυκτὶ Ζεὺς μὲν πρῶτον, ἔπειτα δὲ καὶ Ἀμφιτρύων συνευνάσθησαν τῇ 'Αλκμήνῃ, καὶ γίνεται αὐτῇ ἐκ μὲν Διὸς

ἐγένοντο εὐσεβέστατοι πρὸς τὸν Δία, ὁ μὲν κατοικῶν Ἰολκὸν, πολλῶν θρεμμάτων γενόμενος κύριος· ὁ δὲ Νηλεὺς βασιλεύων ἐν Πύλῳ· οἱ δὲ ἄλλοι παῖδες αὐτῆς ἐγένοντο ἐκ Κρηθέως, Αἴσων, Φέρης, καὶ Ἀμυθάων.

Μετὰ δὲ τὴν Τυρὼ πάρεισιν Ἀντιόπη ἡ τοῦ Ἀσωποῦ, ἣ ἐσεμνύνετο καθευδῆσαι ἐν ταῖς ἀγκάλαις τοῦ Διός· ἐγένοντο δ' αὐτῇ παῖδες δύο, Ἀμφίων τε καὶ Ζῆθος, οἱ πρῶτοι τὴν τῶν Θηβαίων ἑπτάπυλον κτίσαντες πόλιν, καὶ τείχει περιβαλόντες· ἄλλως γὰρ οὐκ ἦν κατοικεῖν τηλικαύτην πόλιν ἀτείχιστον οὖσαν, καίπερ ὁμολογουμένως ἄνδρας αὐτοὺς ἀρίστους γεγενημένους

Μετὰ δὲ τὴν Ἀντιόπην ὁρῶ προσιοῦσας Ἀλκμήτην τε τὴν Ἀμφιτρύονος γαμετὴν, ἐξ ἧς καὶ Διὸς ἐγένεθ' ὁ μέγας ἐν ἥρωσιν Ἡρακλῆς, ὁ θρασύς τε καὶ θυμολέων· καὶ Μεγάρην τὴν Κρέοντος, ἣν ἔσχεν εἰς γυναῖκα Ἡρακλῆς ὁ ἀήττητος.

Μετὰ δὲ ταύτην αὖθις εἶδον Ἐπικάστην τὴν καλὴν, ἧς Οἰδίπους ἐγένετο, καὶ ἡ τὸ μέγ' ἐκεῖνο ἀνοσιούργημα πέπρακτο, τῷ ἑαυτῆς υἱῷ γημαμένῃ, τὸν πατέρ' ἀνελόντι· ὃ οἱ θεοὶ πᾶσιν ἀνθρώποις ἐποίησαν φανερόν· καὶ ὁ μὲν ἦρχεν ἐν Θήβαις, πολλῶν καὶ χαλεπῶν ἐκ θείας πειρώμενος ὀργῆς· ἡ δὲ ἀπαγξαμένη ἀπὸ τοῦ δώματος, καταλιποῦσα δεινὰ τῷ

Ἡρακλῆς, ἐκ δὲ τοῦ Ἀμφιτρύωνος, Ἴφικλος. 269. Κρείοντος] Κρέοντος βασιλέως τῶν Θηβῶν. 270. Ἀμφιτρύωνος υἱός) Ἡρακλῆς. 271. Ἐπικάστην] ἢ ὡς ἄλλοι, Ἰοκάστην. Χρησμοῦ δοθέντος Λαΐῳ τὸν γεννηθέντα ὑπ' αὐτοῦ κτενεῖν αὐτὸν, καὶ δὴ τεχθέντα Οἰδίποδα ἐκτίθεται· Σικυώνιοι δὲ τινὲς ἱπποφορβοὶ, εὑρόντες τὸ παιδίον, τρέφουσι· ἀνδρωθεὶς δ' ὁ Οἰδίπους ἐλθὼν εἰς Θήβας, ζητεῖ τοὺς γονεῖς· καὶ κατὰ συγκυρίαν ἀποκτείνει Λαΐον τὸν πατέρα, ἀγνοῶν. λαμβάνει δὲ καὶ τὴν μητέρα Ἐπικάστην εἰς γάμον, ἀγνοῶν καὶ τοῦτο· καὶ γίνονται ἐκ τούτων Ἐτεοκλῆς καὶ Πολυνείκης, καὶ Ἀντιγόνη, καὶ Ἰσμήνη. ἔπειτα δὲ χρόνῳ μαθοῦσα τἀληθὲς Ἐπικάστη, αὐτὴ μὲν ἀπήγξατο. Ὁ δὲ Οἰδίπους, ἐκπεσὼν ὑπὸ Κρέοντος, ἦλθεν εἰς τὴν Ἀττικὴν

Ὣ ἄχεϊ σχομένη· τῷ δ' ἄλγεα κάλλιπ' ὀπίσσω
Πολλὰ μάλ', ὅσσα τε μητρὸς Ἐριννύες ἐκτελέουσιν.
Καὶ Χλῶριν εἶδον περικαλλέα· τήν ποτε Νηλεὺς
Γῆμεν ἑὸν διὰ κάλλος, ἐπεὶ πόρε μυρία ἕδνα,
Ὁπλοτάτην κούρην Ἀμφίονος Ἰασίδαο,
Ὅς ποτ' ἐν Ὀρχομενῷ Μινυηΐῳ ἶφι ἄνασσεν·
Ἡ δὲ Πύλου βασίλευε, τέκεν δέ οἱ ἀγλαὰ τέκνα,
Νέστορά τε, Χρομίον τε, Περικλύμενόν τ' ἀγέρωχον.
Τοῖσι δ' ἐπ' ἰφθίμην Πηρὼ τέκε, θαῦμα βροτοῖσιν,
Τὴν πάντες μνώοντο περικτίται· οὐδέ τι Νηλεὺς
Τῷ ἐδίδου, ὅς μὴ ἕλικας βόας εὐρυμετώπους
Ἐκ Φυλάκης ἐλάσειε βίης Ἰφικληείης
Ἀργαλέας· τὰς δ' οἶος ὑπέσχετο μάντις ἀμύμων
Ἐξελάαν. χαλεπὴ δὲ θεοῦ κατὰ Μοῖρ' ἐπέδησεν,
Δεσμοί τ' ἀργαλέοι καὶ βουκόλοι ἀγροιῶται.
Ἀλλ' ὅτε δὴ μῆνές τε καὶ ἡμέραι ἐξετελεῦντο,

---

281. Χλῶριν] Νηλεὺς ἐξελασθεὶς τῆς Ἰωλκοῦ ὑπὸ Πελίου τοῦ ἀδελφοῦ, ἦλθεν εἰς Μεσσήνην τῆς Πελοποννήσου, ἔνθα κτίσας τὴν Πύλον, λαμβάνει τὴν Χλῶριν τὴν Ἀμφίονος τοῦ Ἰάσου καὶ Περσεφόνης τῆς Μίου θυγατρὸς εἰς γάμον· 287. Πηρὼ] ἣν Νηλεὺς οὐδενὶ ἐδίδου πρὸς γάμον, εἰ μήτις πρότερον ἐξελάσειε παρ' Ἰφίκλου τὰς τῆς μητρὸς αὐτοῦ βοῦς τῆς Τυροῦς· πάντων δὲ ἀπορουμένων Βίας ὁ Ταλαοῦ μόνος ὑπέσχετο δράσειν τοῦτο· καὶ πείθει τὸν ἀδελφὸν Μελάμποδα πρὸς τὸν ἀγῶνα· ὁ δὲ πεισθεὶς, καὶ ἐλθὼν ἑάλω, καὶ παραδίδοται Ἰφίκλῳ· ὃς συνδήσας αὐτὸν σὺν δυσὶ θεράπουσιν ἀνδρὶ καὶ γυναικὶ καθείργνυσιν· ἔνθα μείνας ἐνιαυτὸν, ὑπὸ μὲν τοῦ ἀνδρὸς ἐπιεικῶς, ὑπὸ δὲ τῆς γυναικὸς φαύλως θεραπευόμενος, ἀκούει τελευτῶν τῶν σκωλήκων ἄνωθεν διαλεγομένων, ὅτι καταβεβρώκασι τὸν δοκόν· τοῦτο δ' ἀκούσας (ἦν γὰρ καὶ μάντις) κελεύει τοὺς διακόνους ἐκφέρειν αὐτὸν τῆς κλίνης, εἰλημμένον τῆς μὲν γυναικὸς τῶν ποδῶν, τοῦ δὲ ἀνδρὸς ἐκ τῆς κεφαλῆς. τῶν δὲ ποιούντων τὸ προστεταγμένον, ἐν τούτῳ κατακλασθεῖσα ἡ δοκὸς, ἐπιπίπτει τῇ γυναικὶ, καὶ ἀπέκτεινε· μαθόντες δὲ ταῦτα Φύλακος καὶ Ἴφικλος

υἱῷ καὶ ἀνδρὶ, καὶ ὅσα γε ἀνέπεμψεν αὐτῷ ἔπειτα πρὸς τῶν Ἐριννύων.

Μετὰ δὲ τὴν Ἐπικάστην εἶδον Χλῶριν τὴν καλλίστην, πρὸς ἣν Νηλεὺς, πολλὰ ἕδνα δοὺς ἐπὶ κάλλει, ἥρμοσε γάμον· ἐγένετο δ' αὕτη θυγάτηρ Ἀμφίονος τοῦ Ἰασίδου τοῦ βασιλεύοντος Ὀρχομενοῦ, νεωτάτη· ἡ δὲ, βασιλεύουσα ἐν Πύλῳ, ἔτεκε μὲν παῖδας ἄῤῥενας τρεῖς, Νέστορα, Χρόμιόν τε, καὶ τὸν ἀγέρωχον Περικλύμενον· θυγατέραν δὲ μίαν, τὴν Πηρῶ, κάλλει πασῶν διαφέρουσαν· ἐφ' ᾧ ὥρμηνται οἱ ἄριστοι μνήσασθαι αὐτὴν πανταχόθεν· ἀλλ' ὁ Νηλεὺς οὐκ ἤθελε δοῦναι, εἰ μήτις πρῶτον ἐξελάσειε τὰς τοῦ Ἰφίκλου βοῦς ἐκ τῆς Φυλακῆς, ἦν δὲ τοῦτο τῶν χαλεπωτάτων· Μελάμπους ἀλλ' οὖν, μάντις ἀνὴρ καὶ δεινὸς χρησμοὺς ἐξηγήσασθαι, ἐπηγγείλατο δράσειν ταῦτα· ἀλλὰ πολλῶν αὐτῷ παρά τε θεῶν ἐμποδὼν γενομένων, πολλῶν δὲ καὶ ὑπὸ βου-

---

ὑπισχοῦνται Μελάμποδι παραδώσειν τὰς βοῦς, εἰ μηχανὴν τινὰ εὕροι., ὥστε γενέσθαι παῖδας Ἰφίκλῳ· ὁ δὲ συμβουλευσάμενος πάντας τοὺς οἰωνοὺς, μανθάνει παρ' Αἰγυπιοῦ· καὶ φησὶ, ὡς Φύλακός ποτε ἰδὼν Ἴφικλον ἄτοπόν τι ποιοῦντα, κατεδίωξεν αὐτὸν τῇ μαχαίρᾳ, καὶ μὴ καταλαβὼν, ἐνέπηξεν αὐτὴν ἀχέρδῳ· ὅπου κεῖται ἔτι καὶ νῦν, τοῦ φλιοῦ περιφῦντος. ἐκ τούτου οὖν, δέει συσχεθεὶς Ἴφικλος, διέφθειρε τὸν γόνον· δεῖ οὖν αὐτὸν ἀναλαβεῖν τὴν μάχαιραν, καὶ ἀποσμήξαντα τὸν ἰὸν ἀπ' αὐτῆς, πιεῖν Ἴφικλον ἐν οἴνῳ δέκα ἡμέρας ἑξῆς· τοῦτο δὲ ποιήσας, ἐγέννησε Ποδάρκην· ὁ δὲ Μελάμπους λαβὼν τὰς βοῦς, δίδωσι τῷ Νηλεῖ ἕδνα τῆς Πηροῦς. καὶ λαμβάνει αὐτὴν τῷ ἀδελφῷ Βίαντι εἰς γυναῖκα 288. Περικτίται] οἱ περιοικοῦντες. 290. Βίης Ἰφικληείης] ἀντὶ τοῦ Ἰφίκλου· περιφραστικῶς. — Φυλάκης] πόλις αὕτη Θεσσαλίας. Πηροῦς τοῦ Σαλμωνέως, ἐξ ἧς Νηλεὺς καὶ Πελίας ἐκ Ποσειδῶνος ἐγένοντο, ἐκδοθείσης παρὰ τοῦ θείου αὐτῆς Δηϊονέως εἰς Θετταλίαν Κρηθεῖ τῷ ἀδελφῷ αὐτοῦ, ἔμειναν αἱ βόες αὐτῆς παρ' αὐτῷ. Ὁ τοίνυν Νηλεὺς ἀπήτει τὰς βοῦς τῆς μητρὸς παρὰ τοῦ Ἰφίκλου τοῦ Φυλάκου τοῦ Δηϊονέως. καὶ μὴ τυχὼν, ἀπέστειλεν, ὡς εἴρηται μικρὸν ἀνωτέρω, Μελάμποδα ἐπὶ βραβείῳ τῇ Πηροῖ ἀφαιρησόμενον κρύφα. 294. Στρέψαντος ὀπί.

Ἂψ περιτελλομένου ἔτεος, καὶ ἐπήλυθον ὧραι,
Καὶ τότε δή μιν ἔλυσε βίη Ἰφικληείη,
Θέσφατα πάντ' εἰπόντα· Διὸς δ' ἐτελείετο βουλή.
Καὶ Λήδην εἶδον, τὴν Τυνδαρέου παράκοιτιν·
Ἥ ῥ' ὑπὸ Τυνδαρέῳ κρατερόφρονε γείνατο παῖδε,
Κάστορά θ' ἱππόδαμον καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα·
Τοὺς ἄμφω ζωοὺς κατέχει φυσίζοος αἶα·
Οἳ καὶ νέρθεν γῆς τιμὴν πρὸς Ζηνὸς ἔχοντες
Ἄλλοτε μὲν ζώουσ' ἑτερήμεροι, ἄλλοτε δ' αὖτε
Τεθνᾶσιν· τιμὴν δὲ λελόγχασ' ἶσα θεοῖσιν.
Τὴν δὲ μέτ' Ἰφιμέδειαν, Ἀλωῆος παράκοιτιν,
Εἴσιδον, ἣ δὴ φάσκε Ποσειδάωνι μιγῆναι·
Καὶ ῥ' ἔτεκεν δύο παῖδε, μινυνθαδίω δὲ γενέσθην,
Ὦτόν τ' ἀντίθεον, τηλεκλειτόν τ' Ἐφιάλτην·
Οὓς δὴ μηκίστους θρέψε ζείδωρος Ἄρουρα
Καὶ πολὺ καλλίστους, μετά γε κλυτὸν Ὠρίωνα.
Ἐννέωροι γὰρ τοίγε καὶ ἐννεαπήχεες ἦσαν
Εὖρος, ἀτὰρ μῆκός γε γενέσθην ἐννεόργυιοι.
Οἵ ῥα καὶ ἀθανάτοισιν ἀπειλήτην ἐν Ὀλύμπῳ
Φυλόπιδα στήσειν πολυάϊκος πολέμοιο·
Ὄσσαν ἐπ' Οὐλύμπῳ μέμασαν θέμεν, αὐτὰρ ἐπ' Ὄσσῃ
Πήλιον εἰνοσίφυλλον, ἵν' οὐρανὸς ἀμβατὸς εἴη.
Καί νύ κεν ἐξετέλεσσαν, εἰ ἥβης μέτρον ἵκοντο·
Ἀλλ' ὄλεσεν Διὸς υἱός, ὃν ἠΰκομος τέκε Λητώ,
Ἀμφοτέρω, πρίν σφωϊν ὑπὸ κροτάφοισιν ἰούλους
Ἀνθῆσαι, πυκάσαι τε γένυν εὐανθέϊ λάχνῃ.

σω τοῦ ἔτους· ὅ ἐστιν ἐπανῆλθεν ἐξ ἀρχῆς. 298. Λήδην] τὴν Θεστίου· ἧς Ζεὺς ἐρασθεὶς, εἰς κύκνον μετέβαλεν ἑαυτὸν, καὶ διαπτὰς ἐμίγη· χρόνῳ δὲ ἐκείνη τεκοῦσα ὠὸν, ἀπέθετο ἐν λάρνακι, κἀκ τούτου ἐγένοντο οἵ τε Διόσ-

κόλων ἐμπεπηγμένων παγίδων, ἑάλω· ἀλλ' ὁπότ' ἦν ἐγγὺς παραλλάξαι τὸν ἐνιαυτὸν, ἐξηγησάμενος τῷ Ἰφίκλῳ ἀπόῤῥητ' ἄττα βουλῇ τοῦ Διὸς, ἀπελύθη.

Ἐκ δ' αὖ ταύτης εἶδον Λήδαν τὴν τοῦ Τυνδάρεω γαμετήν· ἧς Κάστωρ καὶ Πολυδεύκης ἐγένοντο, ἄμφω ἄνδρες ἀγαθοὶ, ὁ μὲν ἱππικὸς, ὁ δὲ πύκτης· οἳ ζῶντες ἔτι καταδεδυκότες εἰς τὸν ζόφον, τιμῆς ἔτυχον παρὰ τοῦ Διὸς ἑτερήμεροι εἰς τὸ φῶς ἀνιέναι, παρ' ἡμέραν ζῶν τε καὶ θνήσκων ἑκάτερος· τετίμηνται δὲ ἴσα θεοῖς.

Ἐκ δὲ ταύτης εἶδον Ἰφιμέδειαν τὴν τοῦ Ἀλωέως παράκοιτιν· ἣ ὁμιλήσασα Ποσειδῶνι, ὡς αὐτὴ ἐσεμνύνετο, ἔτεκε δίδυμα μὲν, ὠκύμορα δὲ, Ὦτόν τε τὸν ἰσόθεον, καὶ τὸν περίπυστον Ἐφιάλτην· οὓς μηκίστους τε καὶ καλλίστους ἐπὶ γῆς, πλὴν Ὠρίωνα, ἑώρακεν ἥλιος· ἐνναετεῖς γὰρ γενόμενοι, ἐννεαπήχεις μὲν ἦσαν τὸ πλάτος, ἐννεόργειοι δὲ τὸ μῆκος· οἳ καὶ θεοῖς αὐτοῖς πόλεμον ἐποίσειν ἠπείλησαν, Ὄσαν ἐπὶ Ὄλυμπον μελετήσαντες ἀναμοχλεῦσαι, κἀπὶ τῆς Ὄσης αὖθις αὐτῆς μετακιλῦσαι τὸ Πήλιον, ὅπως ὁ οὐρανὸς αὐτοῖς γένηται προσβατός· ὃ καὶ ἐξετέλεσαν ἂν, εἰ μὴ κομιδῇ νέοι ἀπώλοντο, τοῦ Ἀπόλλωνος πρὶν ἢ ἐξανθῆσαι αὐτοῖς τὴν τρίχωσιν ἐν τῷ πώγωνι, ἀμφοτέρους αὐτοὺς ἀνελόντος πρὸ ἥβης.

κουροι, καὶ ἡ Ἑλένη· 301. Ἄμφω ζωοὺς] οὐ τοῦτό φησιν, ὡς οὔπω τεθνήκεσαν· καὶ γὰρ ἐν Ἰλιάδι (Γ. στίχ. 235.) ζητηθέντας παρὰ τῆς Ἑλένης ἀπὸ τοῦ Πύργου. αὐτὸς ὁ ποιητής φησι τεθνηκέναι.

« Τοὺς δ' ἤδη κατέσχε φυσίζοος αἶα »

Ἀλλ' ὅτι παρ' ἡμέραν ἑκάτεροι ἀνήρχοντο εἰς τὸν βίον. 304. Ἰφιμέδειαν] τὴν τοῦ Τρίοπος θυγατέρα, 309. Μηκίστους] μεγίστους τῷ σώματι. 311. Ἐννέωροι] ἐννεαετεῖς. 314. Φυλόπιδα] μάχην. 318. Διὸς υἱὸς] Ἀπόλλων. οἱ δὲ λέγουσι παρ' ἀλλήλων ἀπολωλέναι· τῆς γὰρ Ἀρτέμιδος ἔλαφον μεταξὺ ἀφιείσης, ἅμα βαλόντες ἐπ' αὐτὴν, ἀλλήλους διεχρήσαντο, ἐκείνης τὸν σκοπὸν παραμειψαμένης. 319. Ἰούλους] τὰς πρώτας τρίχας τοῦ γενείου. 320. Πυ-

Φαίδρην τε, Πρόκριν τε ἴδον, καλήν τ' Ἀριάδνην
Κούρην Μίνωος ὀλοόφρονος, ἥ ποτε Θησεὺς
Ἐκ Κρήτης ἐς γουνὸν Ἀθηνάων ἱεράων
Ἦγε μὲν, οὐδ' ἀπόνητο· πάρος δέ μιν Ἄρτεμις ἔκτα
Δίη ἐν ἀμφιρύτη, Διονύσου μαρτυρίησιν,
Μαῖράν τε, Κλυμένην τε ἴδον, στυγερήν τ' Ἐριφύλην,
Ἣ χρυσὸν φίλου ἀνδρὸς ἐδέξατο τιμήεντα.
Πάσας δ' οὐκ ἂν ἐγὼ μυθήσομαι οὐδ' ὀνομήνω,
Ὅσσας ἡρώων ἀλόχους ἴδον, ἠδὲ θύγατρας·
Πρὶν γάρ κεν καὶ νὺξ φθῖτ' ἄμβροτος. ἀλλὰ καὶ ὥρη
Εὕδειν, ἢ ἐπὶ νῆα θοὴν ἐλθόντ' ἐς ἑταίρους,
Ἢ αὐτοῦ· πομπὴ δὲ θεοῖς, ὑμῖν τε μελήσει.
Ὣς ἔφατ'· αἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ·
Κηληθμῷ δ' ἔσχοντο κατὰ μέγαρα σκιόεντα.

κάσαι] πυκνῶσαι, καλύψαι. — λάχνῃ] τριχώσει. 321. Φαίδρην] Φαίδρα Μίνωος ἦν θυγάτηρ, γυνὴ δὲ Θυσέως· αὕτη δὲ ἐρασθεῖσα Ἱππολύτου, ὃς παῖς ἦν τοῦ αὐτοῦ Θησέως ἐξ Ἀντιόπης τῆς Ἀμαζόνος, ὡς οὐκ ἐτύγχανε τοῦ σκοποῦ παραπείθουσα, διαβάλλει αὐτὸν πρὸς Θησέα, ὡς βιάσαιτο ἐκεῖνος αὐτὴν ἐπὶ μῖξιν· τοῦτο δ' ἀκούσας Θησεὺς, ηὔξατο Ποσειδῶνι, παρ' οὗ ὑπόσχεσις ἦν αὐτῷ τρία τινὰ αὐτῷ γενήσεσθαι, ἃ ἂν αἰτήσεται, ἀπολέσθαι· Οὕτως οὖν τὸ ἅρμα παρὰ τῇ θαλάττῃ γυμνάζοντα, ἐξ αἴφνης ταύρου παραφανέντος, καὶ τῶν ἵππων ταραχθέντων, ἑλκόμενον ἀποθανεῖν· τὴν Φαίδραν, γενομένης φανερᾶς τῆς ἐπιβουλῆς, ἀπάγξασθαι καὶ αὐτήν. — Πρόκριν] αὕτη δὲ θυγάτηρ ἦν Ἐρεχθέως, γυνὴ Κεφάλου τοῦ Δηϊονέως· ζηλοτύπως δὲ ἔχουσα πρὸς τὸν ἑαυτῆς ἄνδρα, ἐπειδὴ σφόδρα φιλόθηρος ἦν, ἐξιόντα παρεφύλαττε· καὶ παραφανεῖσαν πῃ ἐν τῷ ὄρει κατεκόντισε Κέφαλος, θηρίον εἶναι, ὡς ἐν ὕλῃ πολλῇ οἰηθείς. — Ἀριάδνη] θυγάτηρ ἦν Μίνωος καὶ αὐτή. γυνὴ δὲ Θησέως· ὁ γὰρ Θησεὺς, πλεύσας εἰς Κρήτην, ζητεῖ ἀνελεῖν τὸν Μινώταυρον· καὶ λαβὼν παρ' Ἀριάδνης ἀγαθίδα μίτου, ἐξήρτησε τὴν ἀρχὴν αὐτῆς ἀπὸ τοῦ τῆς θύρας ζυγοῦ· καὶ οὕτως ἐλθὼν μέχρι τοῦ πυθμένος εἰς τὸν Λαβύρινθον, καὶ ἀνελὼν, ἐξῆλθεν, ἐχόμενος τοῦ μίτου· καὶ λαβὼν Ἀριάδνην ἀπέπλευσε· κατὰ δε τὴν ὁδὸν ἐν νήσῳ τῇ Δίᾳ

Μετὰ δὲ ταύτην εἶδον Φαίδραν, καὶ Πρόκριν, καὶ τὴν καλὴν Ἀριάδνην τὴν τοῦ Μίνωος θυγατέρα· ἣν Θησεὺς, βουλόμενος ἀγαγεῖν ἐς Ἀθήνας, οὐ κατώρθωσεν, Ἀρτέμιδος ἐπισχούσης αὐτὴν ἐν Δίᾳ τῇ νήσῳ, ἐφ' οἷς Διόνυσος αὐτῆς κατεμαρτύρησεν.

Μετὰ δὲ ταύτας εἶδον Μαῖράν τε, Κλυμένην τε, καὶ Ἐριφύλην τὴν στυγερὰν, ὅτι τὸν ἑαυτῆς ἄνδρα χρυσοῦ ὅρμου προὔδωκεν. Ἀλλ' ἁπάσας, ὅσας γ' ἑώρακα ἡρώων γυναῖκας καὶ θυγατέρας, εἰ βουλήσομαι ἐξειπεῖν, ἐπιλείψει με ἡ νὺξ διηγούμενον· νῦν δ' ὥρα καθεύδειν, ἤτοι ἐπὶ τὴν ναῦν κατελθόντα πρὸς τοὺς ἑταίρους, ἢ αὐτοῦ ὁπηδήποτε· τῆς δὲ πομπῆς ὑμῖν γε μελήσει καὶ τοῖς θεοῖς· ὁ μὲν ταῦτα διεξεὶη·

Οἱ δὲ σιωπῇ διεγίνοντο, τῇ τῶν λόγων αὐτοῦ εὐγλωττίᾳ κατακηλούμενοι· εἶθ' ἡ λευκώλενος Ἀρήτη ἤρξατο αὐτοῖς

γνώμῃ Ἀθηνᾶς, καταλείπει τὴν Ἀριάδνην· ἡ δὲ ὀλοφυρομένη, παραμυθεῖται τελευτῶσα, γυνὴ γενομένη τῷ Διονύσῳ· παρ' οὗ καὶ στέφανος χρυσοῦς αὐτῇ δωρεῖται, ὃν οἱ θεοὶ, χαριζόμενοι Διονύσῳ, κατηστέρισαν. αὐτὴ δὲ, ὡς προδοῦσα τὴν παρθενίαν, ἀνῃρέθη ὑπὸ τῆς Ἀρτέμιδος. 324. Ἔσχε] κατέσχε, καταμαρτυρήσαντος αὐτῆς Διονύσου, φασὶν, ἀσέβειαν. Ἀσύμφωνα δὲ ταῦτα, οἷς εἴπομεν ἀνωτέρω ἐκ τῶν σχολιαστῶν, 326. Μαῖραν] κάλλει αὕτη διαφέρουσα ἦν, Προίτου καὶ Ἀντείας θυγάτερ, παρθένος δ' οὖσα, συνεθήρα Ἀρτέμιδι· ἔπειτα δὲ τῷ τοῦ Διὸς περιπεσοῦσα ἔρωτι, ἔτεκε παῖδα τεῦνομα Λοκρὸν· τελευτῶσα δὲ ἀπέθανε τόξῳ ὑπὸ τῆς Ἀρτέμιδος, ὡς μηκέτι ἕπεσθαι αὐτῇ πρὸς τὰ κυνηγέσια βουλομένη. — Κλυμένην] θυγάτηρ μὲν αὕτη Μινύου, γυνὴ δὲ Φυλάκου ἦν τοῦ Δηϊονέως, ὧν ἐγένετο Ἴφικλος, ὡς εἴρηται μικρὸν ἀνωτέρω. — Ἐριφύλην] θυγάτηρ καὶ αὕτη Ἴφιος, μεμπτὴ λίαν, ὡς λαβοῦσα παρὰ Πολυνείκους, ἢ Ἀδράστου ὅρμον χρυσοῦν, καὶ προδιδοῦσα Ἀμφιάρατον τὸν ἑαυτῆς ἄνδρα, ὡς μὴ βουλόμενον στρατεύεσθαι ἐπὶ Θήβας, εἰδότα, ὡς μάντιν ὄντα, τὸ ἀποβησόμενον· ἐπιτραπέντος γὰρ αὐτῇ περὶ τοῦ πράγματος κρίνειν, ἐκέλευσε τὸν ἄνδρα συνεκστρατεῦσαι τοῖς ἄλλοις, καὶ τούτου γεμένου, ἀπώλετο Ἀμφιάραος· ἐφ' ᾧ Ἀλκμαίων ὁ παῖς ἀπέκτεινεν αὐτὴν, τῷ πατρὸς θανάτῳ τιμωρῶν. 327. Φίλου ἀνδρὸς] κατὰ τοῦ ἑαυτῆς ἀνδρός. 330. Φθῖτο] ἢ φθεῖτο, φθαίη, ἐπιλίποι ἄν με ἡ νὺξ διηγούμενον. 334. Κηληθμῷ]

Τοῖσιν δ' Ἀρήτη λευκώλενος ἤρχετο μύθων·
Φαίηκες, πῶς ὔμμιν ἀνὴρ ὅδε φαίνεται εἶναι
Εἶδός τε, μέγεθός τε, ἰδὲ φρένας ἔνδον ἐΐσας;
Ξεῖνος δ' αὖτ' ἐμός ἐστιν· ἕκαστος δ' ἔμμορε τιμῆς·
Τῷ μὴ ἐπειγόμενοι ἀποπέμπετε, μηδὲ τὰ δῶρα
Οὕτω χρηΐζοντι κολούετε· πολλὰ γὰρ ὔμμιν
Κτήματ' ἐνὶ μεγάροισι θεῶν ἰότητι κέονται.
Τοῖσι δὲ καὶ μετέειπε γέρων ἥρως Ἐχένηος·
Ὃς δὴ Φαιήκων ἀνδρῶν προγενέστερος ἦεν·
Ὦ φίλοι, οὐ μὰν ἧμιν ἀπὸ σκοποῦ οὐδ' ἀπὸ δόξης
Μυθεῖται βασσίλεια περίφρων· ἀλλὰ πίθεσθε·
Ἀλκινόου δ' ἐκ τοῦδ' ἔχεται ἔργον τε, ἔπος τε.
Τὸν δ' αὖτ' Ἀλκίνοος ἀπαμείβετο φώνησέν τε·
Τοῦτο μὲν οὕτω δὴ ἔσται ἔπος, αἴ κεν ἔγωγε
Ζωὸς Φαιήκεσσι φιληρέτμοισιν ἀνάσσω.
Ξεῖνος δὲ τλήτω, μάλα περ νόστοιο χατίζων,
Ἔμπης οὖν ἐπιμεῖναι ἐς αὔριον, εἰσόκε πᾶσαν
Δωτίνην τελέσω· πομπὴ δ' ἄνδρεσσι μελήσσει
Πᾶσι, μάλιστα δ' ἐμοί· τοῦ γὰρ κράτος ἔστ' ἐνὶ δήμῳ.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Ἀλκίνοε κρεῖον, πάντων ἀριδείκετε λαῶν,
Αἴ με καὶ εἰς ἐνιαυτὸν ἀνώγοιτ' αὐτόθι μίμνειν,
Πομπὴν τ' ὀτρύνοιτε, και ἀγλαὰ δῶρα διδοῖτε,
Καί κε τὸ βουλοίμην, καί κεν πολὺ κέρδιον εἴη,
Πλειοτέρῃ σὺν χειρὶ φίλην ἐς πατρίδ' ἱκέσθαι·
Καί κ' αἰδοιότερος καὶ φίλτερος ἀνδράσιν εἴην
Πᾶσιν, ὅσοι μ' Ἰθάκηνδε ἰδοίατο νοςήσαντα.

ἐκήληντο ἀκούοντες. 338. Ἕκαστος δ' ἔμμορε τιμῆς] καὶ ἕκαστος ἡμῶν

λόγου τοιούτου. Ἄνδρες Φαίακες, πῶς ἡμῖν δοκεῖ ὡνὴρ οὗτος, εἴδους τε σώματος, καὶ μεγέθους, οὐμὴν ἀλλὰ καὶ φρονήσεως ἔχειν; ἐμὸς γὰρ νῦν ξένος ἐστίν· ὑμῶν δ' αὖ ἕκαστος εὐτυχὴς καὶ ὄλβιός ἐστι· ταῦτ' ἄρα μήπω μοι κατεπείγετε αὐτῷ τὴν πομπὴν, μηδὲ τὰ δῶρα οὕτως αὐτῷ φειδομένως παρέχετε, πολλῶν δεομένῳ· πολλὰ γὰρ ἡμῖν ἑκάστῳ ἐκ θεῶν ἐν δώμασι κεῖται· ταῦτα μὲν ἐκείνη.

Ἐχένηος δ' ὁ ἥρως, ὁ πάντων Φαιάκων πρεσβύτερος συνηγορῶν αὐτῇ, ἔφη· δεῦτ', ὦ φίλοι, πείθεσθε, οἷς ἡ βασίλισσα ἀξιοῖ· οὐ γὰρ οὐδὲ τοῦ ὑμετέρου σκοποῦ καὶ τῆς δόξης πόῤῥω τετόξευκε, ταῦτ' εἰποῦσα. Ἀλκίνοος ἄρα περὶ τούτου κρινέτω, τῷ οἰκείῳ διδάσκων ἡμᾶς παραδείγματι.

Ἀλκίνοος δ' ὑπολαβὼν, ἔφη, τοῦθ' ὅπερ τῇ ἐμῇ εἴρηται γυναικὶ, αὐτίκα μάλα γενήσεται, εἰ θεὸς τό,τε ζῆν καὶ τὸ σκῆπτρόν μοι διασώσειεν· ὁ δὲ ξένος, καίτοι γλίχεται ἀπιέναι, ἀλλὰ μενέτω ἔτι εἰς αὔριον, μέχρις ἂν αὐτῷ τὰ δῶρα γένηται ἕτοιμα· οἱ δὲ ἄλλοι παρασκευαζέτωσαν αὐτῷ τὰ πρὸς τὸν πλοῦν ἐπιτήδεια· οὐ κἀμοὶ οὐδὲν ἧττον μελέσει· δεῖ γὰρ δὴ τὸν κρατοῦντ' αὐτὸν πρῶτον τὸ παράδειγμα δοῦναι.

Ὀδυσσεὺς δὲ πρὸς ταῦτα. Ἀλκίνοε κράτιστε, καὶ ἐνδοξώτατε πάντων, ἴσθι, ὅτι καὶ εἰ ὅλον ἐνιαυτὸν κελεύσεις με μένειν, ὅπως ἂν τὰ περὶ τὴν πομπὴν καὶ τὰ δῶρ' ἀμείνω παρασκευασθείη, ἥδιστ' ἄν σοι πειθοίμην κελεύοντι· συνορῶ γὰρ τοῦτ' ἐσόμενον ἔμοιγε συμφερώτατον, ἀφικέσθαι οἴκαδε οὐχ ὅπως πλουσιώτερόν τε καὶ ποθεινότερον, ἀλλ' ἅμα καὶ τιμιώτερον παρὰ πᾶσιν, οἷς τῶν Ἰθακησίων ἐξέσαι πότ' αὖθις ἰδεῖν με.

τετίμηται, πλούσιος ὢν. καὶ ὑπερέχων τούτῳ τῶν ἄλλων. 341. Ἰότητι] βουλήσει. 346. Ἔχεται] ἐπὶ τῷ Ἀλκινόῳ τοῦτο κεῖται δεῖξαι ὅ,τι ποιητέον ἐστι. 351. Ἔμπης] ὅλως, πάντως 359. Πλειοτέρη χειρὶ] πλουσιωτέρᾳ

Τὸν δ᾽ αὖ Ἀλκίνοος ἀπαμείβετο φώνησέν τε·
Ὦ Ὀδυσσεῦ, τὸ μὲν οὔτι σ᾽ ἐΐσκομεν εἰσορόωντες
Ἠπεροπῆά τ᾽ ἔμεν καὶ ἐπίκλοπον, οἷά τε πολλοὺς
Βόσκει γαῖα μέλαινα πολυσπερέας ἀνθρώπους,
Ψεύδεά τ᾽ ἀρτύνοντας, ὅθεν κέ τις οὐδὲ ἴδοιτο·
Σοὶ δ᾽ ἔνι μὲν μορφὴ ἐπέων, ἔνι δὲ φρένες ἐσθλαί·
Μῦθον δ᾽ ὡς ὅτ᾽ ἀοιδὸς ἐπιςαμένως κατέλεξας,
Πάντων τ᾽ Ἀργείων, σέο τ᾽ αὐτοῦ κήδεα λυγρά·
Ἀλλ᾽ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
Εἴ τινας ἀντιθέων ἑτάρων ἴδες, οἵ τοι ἅμ᾽ αὐτῷ
Ἴλιον εἰς ἅμ᾽ ἕποντο καὶ αὐτοῦ πότμον ἐπέσπον.
Νὺξ δ᾽ ἥδε μάλα μακρὴ, ἀθέσφατος· οὐδέ πω ὥρη
Εὕδειν ἐν μεγάρῳ· σὺ δέ μοι λέγε θέσκελα ἔργα.
Καί κεν ἐς ἠῶ δῖαν ἀνασχοίμην, ὅτε μοι σὺ
Τλαίης ἐν μεγάρῳ τὰ σὰ κήδεα μυθήσασθαι.
Τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς.
Ἀλκίνοε κρεῖον, πάντων ἀριδείκετε λαῶν,
Ὥρη μὲν πολέων μύθων, ὥρη δὲ καὶ ὕπνου·
Εἰ δ᾽ ἔτ᾽ ἀκουέμεναί γε λιλαίεαι, οὐκ ἂν ἔγωγε
Τούτων σοι φθονέοιμι καὶ οἰκτρότερ᾽ ἄλλ᾽ ἀγορεῦσαι,
Κήδε᾽ ἐμῶν ἑτάρων, οἳ δὴ μετόπισθεν ὄλοντο·
Οἳ Τρώων μὲν ὑπεξέφυγον ςονόεσσαν ἀϋτὴν,
Ἐν νόςῳ δ᾽ ἀπόλοντο κακῆς ἰότητι γυναικός.
Αὐτὰρ ἐπεὶ ψυχὰς μὲν ἀπεσκέδασ᾽ ἄλλυδις ἄλλη
Ἁγνὴ Περσεφόνεια γυναικῶν θηλυτεράων,
Ἦλθε δ᾽ ἐπὶ ψυχὴ Ἀγαμέμνονος Ἀτρείδαο
Ἀχνυμένη· περὶ δ᾽ ἄλλαι ἀγηγέραθ᾽, ὅσσαι ἅμ᾽ αὐτῷ
Οἴκῳ ἐν Αἰγίσθοιο θάνον καὶ πότμον ἐπέσπον.

τῇ χειρὶ, ὡς πολλῶν δώρων πεπληρωμένην. 384. Κακῆς γυναικὸς] ποτέρας;

Ἀλκίνοος δὲ πρὸς ταῦτα· τὰ κατὰ σὲ, ὦ Ὀδυσσεῦ, λογιζόμενος, εὑρίσκω πολλὴν μὲν ἐνοῦσάν σοι ἀρετὴν, ἀπάτην δὲ οὐδεμίαν, οἷα πολλοὶ τῶν πανταχοῦ τῆς γῆς βοσκομένων ἀνθρώπων παράγοντες, ψεύδονται ὑπόθεν οὐδ' ἂν προφυλάξαιτό τις ῥᾳδίως· σὺ γὰρ καὶ κατὰ κόσμον λέγων, καὶ κατὰ τρόπον φρονῶν, τάς τε τῶν ἄλλων Ἑλλήνων καὶ τὰς σεαυτοῦ δυστυχίας ἐπισταμένως καὶ εἰς τὸ ἀκριβέστατον, ὡς ἄριςος ἀοιδὸς, ἡμῖν διεξῆλθες. Οὐκοῦν ἄγε νῦν εἰπὲ ἡμῖν καὶ εἴτινας τῶν ἡρώων ἐν ᾅδου κατεῖδες, οἷς συνεξέπλευσας μὲν εἰς Τροίαν, αὐτοῦ δὲ ἀπολωλότας· νὺξ γὰρ ἥδε μάλα μακρὰ καὶ ὅλως χειμερινή· οὐδ' ὥρα ἔτι καθεύδειν· ἔγωγε γὰρ καὶ εἰς ἕω αὐτὴν ἀνασχοίμην ἄν σου τοιαῦτα ἀκούειν, εἴγε μόνον ὑπομείνειας διηγήσασθαι πάντα.

Ὀδυσσεὺς δὲ πρὸς ταῦτα· Ἀλκίνοε κράτιςε, ἀληθὲς τοῦτ' εἴρηκας πάντως, τὴν νύκτα εἶναι μακράν· ἔςι τι γὰρ καὶ πολλὰ εἰπόντας, καθεύδειν. Εἰ οὖν σοι ἡδομένῳ ἐςὶ τοιαῦτα ἔτι ἀκοῦσαι, οὐκ ἂν ἔγωγε φθονήσαιμι τούτων, οὐδ' ἂν ἄλλως παρήκοός σου γενοίμην καὶ οἰκτρότερα διηγήσασθαι· ἃ ὑπέστησαν, ὅσοι γε ὑπεκφυγόντες ἐν Τροίᾳ τὸν κίνδυνον, ἀπώλοντο ὕστερον κακίᾳ καὶ φαυλότητι τῶν ἑαυτῶν γυναικῶν· ταῦτ' οὖν δὴ νῦν διέξειμι·

Ἐπειδὴ τοίνυν διεσκέδασεν ἡ Κόρη ἐκεῖθεν τὰς τῶν θηλείων ψυχὰς ἄλλας ἄλλοθεν ἐς τὸ σκότος, παρῆλθε πρῶτον ἡ τοῦ Ἀγαμέμνονος ψυχὴ, ὑπὸ πασῶν τῶν ἄλλων τῶν αὐτῷ συναποθανόντων ἐν τῷ τοῦ Αἰγίσθου περιεστοιχισμένη·

τῆς Ἑλένης, ἢ τῆς Κλυταιμνήστρας, ἢ καὶ τῆς Κασάνδρας; ἔγωγε μὲν Κλυταιμνήστρας φημί. ἀπὸ δὲ τοῦ μέρους τοῦ Ἀγαμέμνονος συναπολέσθαι φησὶ καὶ τοὺς ἄλλους· δυνατὸν δ' ἐννοεῖν καὶ πολλὰς ἄλλας κακὰς γυναῖκας, ἵνα ᾖ, Ἀπώλλοντο ὕστερον ἕκαστος βουλήσει τῆς κακίστης αὐτοῦ γυναικός·

Ἔγνω δ' αἶψ' ἐμὲ κεῖνος, ἐπεὶ πίεν αἷμα κελαινόν·
Κλαῖε δ' ὅγε λιγέως, θαλερὸν κατὰ δάκρυον εἴβων,
Πιτνὰς εἰς ἐμὲ χεῖρας ὀρέξασθαι μενεαίνων·
Ἀλλ' οὐ γάρ οἱ ἔτ' ἦν ἶς ἔμπεδος οὐδέ τι κίκυς,
Οἵη περ πάρος ἔσκεν ἐνὶ γναμπτοῖσι μέλεσσιν.
Τὸν μὲν ἐγὼ δάκρυσα ἰδών, ἐλέησά τε θυμῷ
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδων·
Ἀτρείδη κύδιστε, ἄναξ ἀνδρῶν, Ἀγάμεμνον,
Τίς νύ σε Κὴρ ἐδάμασσε τανηλεγέος θανάτοιο;
Ἠέ σέγ' ἐν νήεσσι Ποσειδάων ἐδάμασσεν,
Ὄρσας ἀργαλέων ἀνέμων ἀμέγαρτον ἀϋτμήν;
Ἠέ σ' ἀνάρσιοι ἄνδρες ἐδηλήσαντ' ἐπὶ χέρσου,
Βοῦς περιταμνόμενον, ἠδ' οἰῶν πώεα καλά,
Ἠὲ περὶ πτόλιος μαχεούμενον, ἠδὲ γυναικῶν;
Ὣς ἐφάμην· ὁ δέ μ' αὐτίκ' ἀμειβόμενος προσέειπεν·
Διογενὲς Λαερτιάδη, πολυμήχανε Ὀδυσσεῦ,
Οὔτε μέ γ' ἐν νήεσσι Ποσειδάων ἐδάμασσεν,
Ὄρσας ἀργαλέων ἀνέμων ἀμέγαρτον ἀϋτμήν,
Οὔτε μ' ἀνάρσιοι ἄνδρες ἐδηλήσαντ' ἐπὶ χέρσου·
Ἀλλά μοι Αἴγισθος τεύξας θάνατόν τε, μόρον τε,
Ἔκτα σὺν οὐλομένῃ ἀλόχῳ, οἶκόνδε καλέσσας,
Δειπνίσσας, ὥς τίς τε κατέκτανε βοῦν ἐπὶ φάτνῃ·
Ὣς θάνον οἰκτίστῳ θανάτῳ· περὶ δ' ἄλλοι ἑταῖροι
Νωλεμέως κτείνοντο, σύες ὣς ἀργιόδοντες,
Οἵ ῥά τ' ἐν ἀφνειοῦ ἀνδρὸς μέγα δυναμένοιο,
Ἢ γάμῳ, ἢ ἐράνῳ, ἢ εἰλαπίνῃ τεθαλυίῃ.
Ἤδη μὲν πολέων φόνῳ ἀνδρῶν ἀντεβόλησας,
Μουνὰξ κτεινομένων καὶ ἐνὶ κρατερῇ ὑσμίνῃ·
Ἀλλά κε κεῖνα μάλιστα ἰδὼν ὀλοφύραο θυμῷ,
Ὡς ἀμφὶ κρητῆρα τραπέζας τε πληθούσας

ὡς δ' ἔπιε τοῦ αἵματος, ἔγνω με παραχρῆμα, καὶ ἤρξατο ὀλοφύρεσθαι, καταῤῥεόμενος δάκρυσι, καὶ γλιχόμενος ἐκτείνειν τὰς χεῖρας, ὥστε με περιπτύξασθαι· ἀλλ' οὐκ ἦν δύναμις αὐτῷ, οὔτε κίνησις, οἷα πρότερον ἐμπεφύκει τοῖς τοῦ σώματος μέλεσιν. Οὕτως οὖν ἰδὼν αὐτὸν ἐγὼ ἔχοντα, ἀλγήσας ἐγκάρδιον, Ἀτρείδη κύδιστε, ἔφην, ποίῳ ποτὲ θανάτῳ κατήχθης ᾧδε; πότερον, Ποσειδῶν, ἐπαφεὶς ἐναντίον τὸ πνεῦμα, καὶ ῥαγδαῖον διεγείρας τὸ κῦμα ἐπὶ τῆς νεὼς, ἀπώλεσεν οὕτω σε ἐν τοῖς ὕδασιν, ἢ ἐν ἠπείρῳ πῃ πέπτωκας ὑπ' ἀνδρῶν πολεμίων, τάς τε βοῦς αὐτῶν καὶ τὰς ποίμνας περιελαύνων; ἢ τελευτῶν μαχόμενος περὶ πόλεώς τινος καὶ γυναικῶν, ὅπως κύριος αὐτῶν γένῃ; ταῦτα μὲν ἐγώ.

Ὁ δὲ ὑπολαβὼν, Διογενὲς, ἔφη, Λαερτιάδη, πολυμήχανε Ὀδυσσεῦ, οὔθ' ὁ Ποσειδῶν, ὡς ᾠήθης, τὰ πνεύματα ἐπ' ἐμὲ διεγείρας, ἀπώλεσεν, οὔτ' ἄνδρες πολέμιοι κατ' ἤπειρόν πῃ, βλάπτοντά με λαβόντες, ἀνεῖλον· ἀλλ' Αἴγισθος σὺν τῇ κακῇ κακῶς ἀπολουμένῃ ἀλόχῳ, ἐξαπατήσας ἀπέκτεινε, δειπνίσας με πρότερον ἐν τῷ ἑαυτοῦ, ὥσπερ ἄν εἴ τις κατασφάξειε βοῦν ἐπὶ φάτνης· τοιούτῳ ἔγωγ' ἀπωλόμην θανάτῳ· οἱ δ' αὖ περὶ ἐμὲ οὗτοί γε συγκατεσφάγησαν καὶ αὐτοὶ, ὥσπερ χοῖροι ἐν γάμῳ, ἢ ἐν εἰλαπίνῃ πῃ ἀνδρὸς δυνατοῦ καὶ ὀλβίου· ἤδη γὰρ ἐνέτυχές ποτε καὶ αὐτὸς, ἢ ἐν μέρει πῃ καταμόνας, ἢ ἐν μάχαις κοινῇ κτεινομένοις τισὶν ὑπ' ἀλλήλων· ἀλλὰ τόγ' ἐμὸν πάθος ἰδὼν, ἐθρήνησας σφόδρα, ὅπως ἐν κρατῆρσι καὶ τραπέζαις πληθούσαις ἐκείμεθα, τοῦ

ὅπερ ἄμεινον. 392. Πιτνὰς] ἐκτείνων, παρὰ τὸ Πίτνειν, ἢ μᾶλλον, Πεταννῦναι, Πιτνὰς, κατὰ τὸ Ἱστάς. — Ὀρέξασθαι] ἐλθεῖν ὡς ἐμὲ, ἢ ἐπιλαβέσθαι μου. 393. Ἴς - κίκυς] δύναμίς τε, καὶ κίνησις τῶν μελῶν. 401. Ἀνάρσιοι] ἐχθροί. 402. Πώεα] ποίμνια. 420. Θῦεν] ἐπλύθυνεν. 426. Ἐλέειν

Κείμεθ' ἐνὶ μεγάρῳ, δάπεδον δ' ἅπαν αἵματι θῦεν.
Οἰκτροτάτην δ' ἤκουσα ὄπα Πριάμοιο θυγατρὸς,
Κασσάνδρης, τὴν κτεῖνε Κλυταιμνήστρη δολόμητις
Ἀμφ' ἐμοί· αὐτὰρ ἐγὼ ποτὶ γαίῃ χεῖρας ἀείρων,
Βάλλον ἀποθνήσκων περὶ φασγάνῳ· ἡ δὲ κυνῶπις
Νοσφίσατ', οὐδέ μοι ἔτλη ἰόντι περ εἰς Ἀΐδαο
Χερσὶ κατ' ὀφθαλμοὺς ἑλέειν σύν τε στόμ' ἐρεῖσαι.
Ὣς οὐκ αἰνότερον καὶ κύντερον ἄλλο γυναικὸς,
Ἥτις δὴ τοιαῦτα μετὰ φρεσὶν ἔργα βάληται·
Οἷον δὴ καὶ κείνη ἐμήσατο ἔργον ἀεικὲς,
Κουριδίῳ τεύξασα πόσει φόνον· ἤτοι ἔφην γε
Ἀσπάσιος παίδεσσιν ἰδὲ δμώεσσιν ἐμοῖσιν
Οἴκαδ' ἐλεύσεσθαι· ἡ δ' ἔξοχα λύγρ' εἰδυῖα
Ἧ τε κατ' αἶσχος ἔχευε καὶ ἐσσομένῃσιν ὀπίσσω
Θηλυτέρῃσι γυναιξὶ, καὶ ἥ κ' εὐεργὸς ἔῃσιν.
Ὣς ἔφατ' αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
Ὢ πόποι, ἦ μάλα δὴ γόνον Ἀτρέος εὐρύοπα Ζεὺς
Ἐκπάγλως ἤχθηρε γυναικείας διὰ βουλὰς
Ἐξ ἀρχῆς· Ἑλένης μὲν ἀπωλόμεθ' εἵνεκα πολλοί·
Σοὶ δὲ Κλυταιμνήστρη δόλον ἤρτυε τηλόθ' ἐόντι.
Ὣς ἐφάμην· ὁ δέ μ' αὐτίκ' ἀμειβόμενος προσέειπεν
Τῷ νῦν μήποτε καὶ σὺ γυναικί περ ἤπιος εἶναι,
Μήδ' οἱ μῦθον ἅπαντα πιφασκέμεν, ὅν κ' εὖ εἰδῇς·
Ἀλλὰ τὸ μὲν φάσθαι, τὸ δὲ καὶ κεκρυμμένον εἶναι·
Ἀλλ' οὐ σοίγ', Ὀδυσεῦ, φόνος ἔσσεται ἔκγε γυναικός.
Λίην γὰρ πινυτή τε καὶ εὖ φρεσὶ μήδεα οἶδεν
Κούρη Ἰκαρίοιο, περίφρων Πηνελόπεια.
Ἦ μέν μιν νύμφην γε νέην κατελείπομεν ἡμεῖς,
Ἐρχόμενοι πόλεμόνδε· πάϊς δέ οἱ ἐπὶ μαζῷ

αἵματος περιῤῥεομένου διὰ παντὸς τοῦ ἐδάφους· ὅτε καὶ οἰκτρότατον τῆς τοῦ Πριάμου Κασάνδρας οἰμωξάσης ἀκήκοα, ἣν Κλυταιμνήστρα κατέσφαζεν ἐπ' ἐμοί· ὁπότ' ἐγὼ ἀποθνήσκων ἤδη, ὥρμησα λαβέσθαι τοῦ ξίφους, ἀλλ' ἐκείνη μετέστη· καὶ ἀποθανόντι μοι οὐχ ὑπέμεινεν ἐσχάτως γοῦν συγκλεῖσαί μοι προσιοῦσα τὰ ὄμματα καὶ τὸ στόμα· τί οὖν ἂν εἴποι τις χαλεπώτερον καὶ ἀναισχυντότερον γυναικὸς, τῆς γε τοιαῦτα ἐργαζομένης, οἷα αὐτὴ, μηδεμίαν ὑπερβολὴν ἀπολελοιπυῖα ὠμότητος, ἀνοσιώτατα καὶ ὠμότατα ἔδρασεν; ἐγὼ μὲν γὰρ ᾤμην ἀσπάσιος παισί τε καὶ οἰκέταις ἐλεύσεσθαι, ἡ δὲ τὰ χείριστά μοι βουλευσαμένη, ἔπραξεν ἔργον ἀνοσιώτατον· ὢ πόσον καταχεῖ αἶσχος τῶν ἐπιγιγνομένων γυναικῶν, κἄν τις αὐτῶν τύχῃ οὖσα τῷ πρὸς τὸν ἄνδρα φίλτρῳ συνδεδεμένη! ταῦτα μὲν ἐκεῖνος.

Ἐγὼ δὲ πρὸς ταῦτα, ὢ τῆς δυστυχίας, ἔφην, ὡς πολὺ τὸ μίσος ὁ Ζεὺς δοκεῖ ἐντετραφέναι τῷ τοῦ Ἀτρέως γένει, καὶ ταῦτα πάντα πράττων διὰ γυναικῶν· πολλοὶ μὲν γὰρ Ἑλένης ἕνεκα ἀπωλόμεθα· νῦν δέ σοι καὶ πόῤῥω γε ὄντι Κλυταιμνήστρα ἐτολύπευσε θάνατον· ταῦτ' εἰπὼν, ἐσιώπων.

Ὁ δὲ διὰ ταῦτ' ἄρ', ὦ φαίδιμε Ὀδυσσεῦ, φύλαξαι σύγε τοῦ λοιποῦ, ἐπιεικὴς καὶ ἥμερος προσφέρεσθαι τῇ σαυτοῦ γυναικί· μηδὲ πάνθ' ἃ φρονεῖς αὐτῇ ἑτοίμως ἐμπίστευε· ἀλλ' ὃ μόνον ῥηθὲν, οὔσε βλάψει, τὸ λοιπὸν ἀπόῤῥητον καταθέμενος· καίτοι οὐδέν σοι ὕποπτον πρὸς τῆς Πηνελόπης, γυναικὸς οὔσης σώφρονος ὁμολογουμένως, καὶ μάλιστα συνετῆς· ἣν, ἡνίκα ἀπεπλεύσαμεν ἐπὶ Τροίαν, κατελίπομεν οἴκοι νύμφην οὖσαν, ἕνα παῖδα, ὅσον ἔγωγε μέμνημαι, ὑπομάζιον ἔχου-

---

καθελεῖν, καταγαγεῖν τὰ βλέφαρα καὶ συγκλεῖσαι, καὶ τὸ στόμα συνάρσαι τοῖς χείλεσι. 433. Ἧτε] ἑαυτῇ τε κατέχει αἶσχος. 434. Εὐεργὸς] σώφρων,

Νήπιος, ὅς που νῦν γε μετ' ἀνδρῶν ἵζει ἀριθμῷ,
Ὄλβιος· ἦ γὰρ τόνγε πατὴρ φίλος ὄψεται ἐλθὼν,
Καὶ κεῖνος πατέρα προσπτύξεται, ἣ θέμις ἐστίν.
Ἡ δ' ἐμὴ οὐδέ περ υἷος ἐνιπλησθῆναι ἄκοιτις
Ὀφθαλμοῖσιν ἔασε· πάρος δέ με πέφνε καὶ αὐτόν.
Ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
Κρύβδην, μηδ' ἀναφανδὰ φίλην ἐς πατρίδα γαῖαν
Νῆα κατισχέμεναι· ἐπεὶ οὐκέτι πιστὰ γυναιξίν.
Ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
Εἴ που ἔτι ζώοντος ἀκούετε παιδὸς ἐμοῖο,
Ἤ που ἐν Ὀρχομενῷ, ἢ ἐν Πύλῳ ἠμαθόεντι,
Ἤ που πὰρ Μενελάῳ ἐνὶ Σπάρτῃ εὐρείῃ·
Οὐ γάρ πω τέθνηκεν ἐπὶ χθονὶ δῖος Ὀρέστης.
Ὣς ἔφατ'· αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
Ἀτρείδη, τί με ταῦτα διείρεαι; οὐδέ τι οἶδα,
Ζώει ὅγ', ἢ τέθνηκε· κακὸν δ' ἀνεμώλια βάζειν.

Νῶϊ μὲν, ὣς ἐπέεσσιν ἀμειβομένω στυγεροῖσιν,
Ἕσταμεν ἀχνύμενοι, θαλερὸν κατὰ δάκρυ χέοντες.
Ἦλθε δ' ἐπὶ ψυχὴ Πηληϊάδεω Ἀχιλῆος
Καὶ Πατροκλῆος, καὶ ἀμύμονος Ἀντιλόχοιο,
Αἴαντός θ', ὃς ἄριστος ἔην εἶδός τε, δέμας τε
Τῶν ἄλλων Δαναῶν μετ' ἀμύμονα Πηλείωνα.
Ἔγνω δὲ ψυχή με ποδώκεος Αἰακίδαο
Καί ῥ' ὀλοφυρομένη, ἔπεα πτερόεντα προσηύδα·
Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Σχέτλιε, τίπτ' ἔτι μεῖζον ἐνὶ φρεσὶ μήσεαι ἔργον;
Πῶς ἔτλης Ἄϊδόσδε κατελθέμεν, ἔνθα τε νεκροὶ
Ἀφραδέες ναίουσι, βροτῶν εἴδωλα καμόντων;
Ὣς ἔφατ'· αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
Ὦ Ἀχιλεῦ, Πηλέος υἱὲ, μέγα φέρτατ' Ἀχαιῶν,

σαν· ὃς νῦν μέγας ἐστὶ καὶ διαπρέπων ἐν ἀνδράσιν εἰκότως· ἀλλὰ τοῦτόν γ' ὁ πατὴρ ὄψεται ἐλθὼν, κἀκεῖνος αὐτὸν περιπτύξεται· ἐμὲ δὲ τὸν δύστηνον οὐκ εἴασεν ἡ γυνὴ, φθᾶσα τῇ ἐπιβουλῇ, κορεσθῆναι ὁρῶντα τὸν ἐμαυτοῦ· οὐκοῦν φύλαξαι σύγ', ὦ Ὀδυσσεῦ, μὴ εἰς τοὐμφανὲς καταχθῇς· οὐκέτι γὰρ πρὸς τῶν γυναικῶν ἀσφάλεια τοῖς ἀνδράσι. Νῦν δὲ δεῦρ' εἰπέ μοι κἀκεῖνο, εἴτι περὶ τοῦ παιδὸς ἀκήκοας τοῦ ἐμοῦ, ὅπη γῆς σώζεται, ἐν Ὀρχομενῷ, ἢ ἐν Πύλῳ, ἢ παρ' αὐτῷ Μενελάῳ ἐν Σπάρτῃ· οὔπω γὰρ τέθνηκεν ὁ φίλτατός μοι Ὀρέστης· ταῦτα μὲν ἐκεῖνος.

Ἐγὼ δὲ πρὸς ταῦτα, τί με τοιαῦτ', ὦ Ἀγάμεμνον, ἀνερωτᾷς, εἰδότα μηδὲν, εἴτ' ἀπέθανεν, εἴτε μή; ψευδῆ δὲ πλάττοντα λέγειν, καὶ ταῦτα πρὸς ἄνδρ' οἷόν σε ὄντ', οὐ καλόν.

Ταῦτα τοίνυν ἡμῶν σὺν πολλοῖς διαλεγομένων δάκρυσιν, ἦλθον αἱ ψυχαὶ Ἀχιλλέως, Πατρόκλου, Ἀντιλόχου καὶ Αἴαντος· ὃς τό,τε εἶδος καὶ τὸ σῶμα πάντων ἀνθρώπων κάλλιστος καὶ ἄριστος ἦν, πλὴν τοῦ Ἀχιλλέως· καὶ δὴ προσιοῦσά μοι ἡ τοῦ Ἀχιλλέως (ἔγνω με γὰρ ἰδοῦσα), ἐφώνησε, Διογενὲς Λαερτιάδη, πολυμήχανε Ὀδυσσεῦ, τί ποτ', ὦ μάχθηρε σύγε, παθὼν, ἑκὼν ὑπέστης ὧδε κατιέναι εἰς ᾅδου, ὅπουγε νεκροὶ κατοικοῦσιν, εἴδωλα γυμνὰ καὶ ἀδιανόητα ἀνδρῶν τεθνεώτων; ἢ ἄλλο τι μεῖζον τῶν προτέρων στρατηγημάτων κἀνταῦθα ἐπινοεῖς κατεργάσασθαι; ταῦτα μὲν ἐκεῖνος.

Ἐγὼ δὲ πρὸς ταῦτα· χρεία τις, ἔφην, ὦ Ἀχιλλεῦ,

καλλὰ ἔργα πράσσουσα. 452. Υἷος ἐνιπλησθῆναι] πληρωθῆναι, κορεσθῆναι τοῖς ὀφθαλμοῖς τοῦ υἱοῦ μοι Ὀρέστου. 471. Αἰακίδαο] οὐ τοῦ Αἴαντος. ἀλλὰ τοῦ Ἀχιλλέως, ὡς ἐκ τοῦ αὐτοῦ πάππου τοῦ Αἰακοῦ ὄντος καὶ αὐτοῦ. 476. Ἀφραδέες] ἀνόητοι· εἴρηκε γὰρ ἀνωτέρω ἐν τῷ Κ.' στίχ. 495. Περὶ Τει-

Ἦλθον Τειρεσίαο κατὰ χρέος, εἴ τινα βουλὴν
Εἴποι, ὅπως Ἰθάκην ἐς παιπαλόεσσαν ἱκοίμην·
Οὐ γάρ πω σχεδὸν ἦλθον Ἀχαιΐδος, οὐδέ πω ἀμῆς
Γῆς ἐπέβην, ἀλλ' αἰὲν ἔχω κακά· σεῖο δ', Ἀχιλλεῦ,
Οὔτις ἀνὴρ προπάροιθε μακάρτατος, οὔτ' ἄρ' ὀπίσσω.
Πρὶν μὲν γάρ σε ζωὸν ἐτίομεν ἶσα θεοῖσιν
Ἀργεῖοι, νῦν αὖτε μέγα κρατέεις νεκύεσσιν,
Ἐνθάδ' ἐών· τῷ μήτι θανὼν ἀκαχίζευ, Ἀχιλλεῦ.
Ὣς ἐφάμην· ὁ δέ μ' αὐτίκ' ἀμειβόμενος, προσέειπεν·
Μὴ δή μοι θάνατόν γε παραύδα, φαίδιμ' Ὀδυσσεῦ·
Βουλοίμην κ' ἐπάρουρος ἐὼν θητευέμεν ἄλλῳ,
Ἀνδρὶ παρ' ἀκλήρῳ, ᾧ μὴ βίοτος πολὺς εἴη,
Ἢ πᾶσιν νεκύεσσι καταφθιμένοισιν ἀνάσσειν.
Ἀλλ' ἄγε μοι τοῦ παιδὸς ἀγαυοῦ μῦθον ἔνισπε,
Ἢ ἕπετ' ἐς πόλεμον πρόμος ἔμμεναι, ἠὲ καὶ οὐκί.
Εἰπὲ δέ μοι, Πηλῆος ἀμύμονος εἴ τι πέπυσσαι,
Ἢ ἔτ' ἔχει τιμὴν πολέσιν μετὰ Μυρμιδόνεσσιν,
Ἤ μιν ἀτιμάζουσιν ἀν' Ἑλλάδα τε, Φθίην τε,
Οὕνεκά μιν κατὰ γῆρας ἔχει, χεῖράς τε, πόδας τε.
Οὐ γὰρ ἐγὼν ἐπαρωγὸς ὑπ' αὐγὰς Ἠελίοιο,
Τοῖος ἐὼν, οἷός ποτ' ἐνὶ Τροίῃ εὐρείῃ
Πέφνον λαὸν ἄριστον, ἀμύνων Ἀργείοισιν.
Εἰ τοιόσδ' ἔλθοιμι μίνυνθά περ ἐς πατέρος δῶ,
Τῷ κέ τέῳ στύξαιμι μένος καὶ χεῖρας ἀάπτους,
Οἳ κεῖνον βιόωνται, ἐέργουσίν τ' ἀπὸ τιμῆς.
Ὣς ἔφατ'· αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
Ἤτοι μὲν Πηλῆος ἀμύμονος οὔτι πέπυσμαι·
Αὐτάρ τοι παιδός γε Νεοπτολέμοιο φίλοιο
Πᾶσαν ἀληθείην μυθήσομαι, ὥς με κελεύεις·

πάντων ἄριστε, κατήγαγέ με δεῦρο, τῇ τοῦ Τειρεσίου χρησόμενον ψυχῇ, ὅπως δεήσει με ἀπονοστῆσαι· οὔπω γὰρ τῆς Ἑλλάδος ἐπέβην, οὐδὲ τὴν Ἰθάκην ἑώρακα τὴν ἐμήν· ἀλλὰ πλανώμενος πανταχῇ, πολλὰ καὶ χαλεπὰ διετέλεσα πάσχων· σοῦ δὲ ἴσθι μηδένα τῶν ἀνθρώπων μήτε τῶν πρὸ ἡμῶν βιωσάντων, μήθ᾽ ὕστερον ἐπιγενησομένων ἐσόμενον ὀλβιώτερον· ὃν καὶ περιόντα ἴσα ἐτιμῶμεν τοῖς ἀθανάτοις, καὶ νῦν ὁρῶμέν σοι μέγα κράτος ἐνὸν ἐν νεκροῖς· διὸ οὐδέν σε χρὴ ἀποθανόντα ἀλύειν· ταῦτα μὲν ἐγώ.

Ὁ δὲ ὅσον μὲν, ἔφη, θανάτου γ᾽ ἕνεκα μηδεμίαν ἔχει ταῦτα παραμυθίαν· βουλοίμην γὰρ ἔγωγε παρ᾽ ἀνδρὶ ἀκλήρῳ μᾶλλον θητεύειν ἐπὶ μισθῷ, ἢ πάντων ἄρχειν τῶν ἀποιχουμένων· σὺ δέ μοι λέγε περὶ τοῦ παιδὸς τοῦ ἐμοῦ, εἰ ὅμοιος ἔσοιτο τῷ πατρὶ τὰ πολέμια· λέγε δέ μοι ἔτι εἴτι καὶ περὶ Πηλέως τυγχάνεις ἀκηκοώς· πότερον ἄρχει Μυρμιδόνων, τιμώμενος παρ᾽ αὐτῶν, ἢ ὡς γέρων ἀνὰ πᾶσαν τὴν Ἑλλάδα καὶ Φθίαν τυγχάνει περιφρονούμενος· ἐγὼ γὰρ οὐκέτ᾽ αὐτῷ ἔσομαι ἀρωγός· οὐδ᾽ ἀνέλθοιμι ἄνω, οἷον οἶσθα ἐν Τροίᾳ με ὄντα τοῖς Ἕλλησι σύμμαχον, ὅτε πολλοὺς τῶν ἀρίστων ἐκ τῶν πολεμίων ἀπέκτεινα· εἰ γὰρ ἅπαξ, κἂν ὀλίγον γε χρόνον, ἐς τὸν πατρῷον οἶκον ἀνέλθοιμι, αὐτίκ᾽ ἂν αἴσθοιντο τὴν τῶν ἐμῶν βραχιόνων ἰσχὺν, οἳ τὸν ἐμὸν πατέρα πιέζοντες, τὴν τιμὴν ἀφαιροῦνται· ταῦτα δὲ καὶ οὗτος.

Ἐγὼ δὲ πρὸς ταῦτα. Περὶ μὲν τοῦ Πηλέως οἶδα οὐδὲν, οὐδ᾽ ἀκήκοά τι περὶ αὐτοῦ· περὶ δὲ τοῦ παιδὸς τοῦ Νεοπτολέμου, ἐρῶ σοι τοῦθ᾽, ὃ οἶδα περὶ αὐτοῦ ἀληθές· ἐγὼ γὰρ δὴ

ρεσίου, οἵῳ πεπνύσθαι, τοίδε σκιαὶ ἀΐσσουσι. 489. Ἐπάρουρος] ἐπ᾽ ἀρούρης, ἐν ἀγρῷ πη· ἕτεροι δὲ ἀναγινώσκουσιν] κεπάρουρος, ὅ ἐστι φύλαξ τινός. 490. Ἀκλήρῳ] κλῆρον, ὅ ἐστι, γῆν μὴ ἔχοντι πολλήν. 501. Δῶ] δῶμα, 502. Στύξαι] οὕτως ἂν ἐπιβαλὼν τῷ τὰς χεῖρας, καταπλήξαιμι. 521. Κη-

Αὐτὸς γάρ μιν ἐγὼ κοίλης ἐπὶ νηὸς ἐΐσης
Ἤγαγον ἐκ Σκύρου μετ' ἐϋκνήμιδας Ἀχαιούς.
Ἤτοι ὅτ' ἀμφὶ πόλιν Τροίην φραζοίμεθα βουλὰς,
Αἰεὶ πρῶτος ἔβαζε, καὶ οὐχ ἡμάρτανε μύθων·
Νέστωρ τ' ἀντίθεος, καὶ ἐγὼ νικάσκομεν οἴω.
Αὐτὰρ ὅτ' ἐν πεδίῳ Τρώων μαρνοίμεθα χαλκῷ,
Οὔποτ' ἐνὶ πληθυῖ μένεν ἀνδρῶν, οὐδ' ἐν ὁμίλῳ,
Ἀλλὰ πολὺ προθέεσκε, τὸ ὃν μένος οὐδενὶ εἴκων·
Πολλοὺς δ' ἄνδρας ἔπεφνεν ἐν αἰνῇ δηϊοτῆτι.
Πάντας δ' οὐκ ἂν ἐγὼ μυθήσομαι οὐδ' ὀνομήνω,
Ὅσσον λαὸν ἔπεφνεν, ἀμύνων Ἀργείοισιν·
Ἀλλ' οἷον τὸν Τηλεφίδην κατενήρατο χαλκῷ,
Ἥρω' Εὐρύπυλον· πολλοὶ δ' ἀμφ' αὐτὸν ἑταῖροι
Κήτειοι κτείνοντο, γυναίων εἵνεκα δώρων.
Κεῖνον δὴ κάλλιστον ἴδον μετὰ Μέμνονα δῖον.
Αὐτὰρ ὅτ' εἰς ἵππον κατεβαίνομεν, ὃν κάμ' Ἐπειὸς,
Ἀργείων οἱ ἄριστοι, ἐμοὶ δ' ἐπὶ πάντ' ἐτέταλτο,
Ἠμὲν ἀνακλῖναι πυκινὸν λόχον, ἠδ' ἐπιθεῖναι·
Ἔνθ' ἄλοι Δαναῶν ἡγήτορες, ἠδὲ μέδοντες
Δάκρυά τ' ὠμόργνυντο, τρέμον θ' ὑπὸ γυῖα ἑκάστου·
Κεῖνον δ' οὔποτε πάμπαν ἐγὼν ἴδον ὀφθαλμοῖσιν
Οὔτ' ὠχρήσαντα χρόα κάλλιμον, οὔτε παρειῶν
Δάκρυ' ὀμορξάμενον· ὁ δέ με μάλα πόλλ' ἱκέτευεν
Ἱππόθεν ἐξίμεναι, ξίφεος δ' ἐπεμαίετο κώπην
Καὶ δόρυ χαλκοβαρὲς, κακὰ δὲ Τρώεσσι μενοίνα.
Ἀλλ' ὅτε δὴ Πριάμοιο πόλιν διεπέρσαμεν αἰπὴν,
Μοῖραν καὶ γέρας ἐσθλὸν ἔχων, ἐπὶ νηὸς ἔβαινεν
Ἀσκηθὴς, οὔτ' ἂρ βεβλημένος ὀξέϊ χαλκῷ,
Οὔτ' αὐτοσχεδίην οὐτασμένος· οἷά τε πολλὰ
Γίγνεται ἐν πολέμῳ· ἐπιμὶξ δέ τε μαίνεται Ἄρης.
Ὣς ἐφάμην· ψυχὴ δὲ ποδώκεος Αἰακίδαο

αὐτὸς, ἀναλαβὼν αὐτὸν ἐς τὴν ναῦν ἐκ τῆς Σκύρου, ἤγαγον ἐς Ἴλιον πρὸς τοὺς Ἕλληνας· ὅπου γ' ἐν πᾶσι τοῖς συλλόγοις, οὓς ἐποιούμεθα περὶ τῶν κοινῇ συμφερόντων, ἀεὶ πρῶτος ἔλεγε, καὶ οὐχ ἡμάρτανε γνώμης, οὐδ' ἄλλῳ εἴκων ἐν λόγοις, ἢ ἐμοὶ καὶ Νέςορι μόνοις· ἐν δ' αὖ ταῖς μάχαις οὐκ ἐδύνατο κατέχειν ἑαυτὸν ἐν τῷ πλήθει, ἀλλ' ἐν προμάχοις προθέων, ἠξίου μηδενὸς φαίνεσθαι ἔλαττον ἔχων· τοσούτους δὲ τῶν πολεμίων ἀπέκτεινεν ἐν ταῖς μάχαις, ὅσοις λόγος οὐκ ἔςιν ἔμοιγε ἐξισώσασθαι· ὧν καὶ Εὐρύλοχος ἦν ὁ Τηλέφου, καὶ Κήτειοι πολλοὶ τῶν περὶ αὐτὸν, οὓς ὑπόσχεσις παρὰ τοῦ Πριάμου Τρῳάδων γυναικῶν εἰς τὸν πόλεμον ἠγηόχει· ἦν δὲ Εὐρύλοχος ἀνὴρ κάλλιστος, ὧν ἐγὼ εἶδον, πάντων, πλὴν Μέμνονος. Ὁπότε δ' αὖ οἱ ἄριστοι τῶν Ἑλλήνων κατέδυμεν εἰς τὸν Δούριππον, οὗ ἐγὼ τὸν λόγον ἐμπεπίστευμαι διοικεῖν, οἱ μὲν ἄλλοι οὐκ ἐπαύσαντο τῶν ὀφθαλμῶν τὰ δάκρυα ὀμοργνύμενοι, ὑποτρέμοντες ὅλως πρὸς τοὐπιχείρημα· ἐκεῖνον δὲ οὐχ ἑώρακα οὔτε τὴν χρόαν μεταβαλόμενον, οὔτε δάκρυ ἀπομορξάμενον· τοὐναντίον δὲ μάλιστα οὐκ ἐπαύσατο ἀξιῶν παρ' ἐμοῦ ἐκπηδῆσαι τοῦ ἵππου ὁμόσε ἐπὶ τοὺς Τρῷας, τῷ τε δορὶ καὶ ξίφει ἐπιμαινόμενος, καὶ ὄλεθρον τοῖς πολεμίοις ἐπαπειλῶν· ὡς δὲ ἡ πόλις ἑάλω, λαβὼν μοῖραν, ὡς εἰκὸς, τῶν λαφύρων, καὶ γέρας ἄξιον, ἐπανῆκεν εἰς τὴν ναῦν ἀσινὴς, οὔτε πόῤῥωθεν βέλει, οὔτ' ἐκ χειρὸς ξίφει ποτὲ τρωθεὶς, οἷα πολλὰ ἐν μάχαις συμβαίνει γίγνεσθαι, τοῦ Ἄρεως ἀναμὶξ ἐπιμαινομένου· ταῦτα μὲν ἐγώ.

Ἡ δὲ ψυχὴ τοῦ Ἀχιλλέως, ἅμ' ἀκούσασα ταῦτα, Νεο-

τειοι] Μυσῶν ἔθνος Οἱ Κήτειοι· ἦν γὰρ Τήλεφος Μυσίας βασιλεύς. 537.

Φοίτα μακρὰ βιβῶσα κατ' ἀσφοδελὸν λειμῶνα,
Γηθοσύνη, ὅ υἱὸν ἔφην ἀριδείκετον εἶναι.
Αἱ δ' ἄλλαι ψυχαὶ νεκύων κατατεθνηώτων
Ἕστασαν ἀχνύμεναι, εἴροντο δὲ κήδε' ἑκάστη.
Οἴη δ' Αἴαντος ψυχὴ Τελαμωνιάδαο
Νόσφιν ἀφεστήκει, κεχολωμένη εἵνεκα νίκης,
Τήν μεν ἐγὼ νίκησα, δικαζόμενος παρὰ νηυσὶ
Τεύχεσιν ἀμφ' Ἀχιλῆος· ἔθηκε δὲ πότνια μήτηρ.
Παῖδες δὲ Τρώων δίκασαν καὶ Παλλὰς Ἀθήνη.
Ὡς δὴ μὴ ὄφελον νικᾷν τοιῷδ' ἐπ' ἀέθλῳ·
Τοίην γὰρ κεφαλὴν ἕνεκ' αὐτῶν γαῖα κατέσχεν,
Αἴανθ', ὃς πέρι μὲν εἶδος, πέρι δ' ἔργα τέτυκτο
Τῶν ἄλλων Δαναῶν, μετ' ἀμύμονα Πηλείωνα.
Τὸν μὲν ἐγὼν ἐπέεσσι προσηύδων μειλιχίοισιν·
Αἶαν, παῖ Τελαμῶνος ἀμύμονος, οὐκ ἄρ' ἔμελλες
Οὐδὲ θανὼν λήσεσθαι ἐμοὶ χόλου, εἵνεκα τευχέων
Οὐλομένων; τὰ δὲ πῆμα θεοὶ θέσαν Ἀργείοισιν.
Τοῖος γάρ σφιν πύργος ἀπώλεο· σεῖο δ' Ἀχαιοὶ
Ἶσον Ἀχιλλῆος κεφαλῇ Πηληϊάδαο,
Ἀχνύμεθα φθιμένοιο διαμπερές· οὐδέ τις ἄλλος
Αἴτιος, ἀλλὰ Ζεὺς Δαναῶν στρατὸν αἰχμητάων
Ἐκπάγλως ἤχθηρε· τεῒν δ' ἐπὶ μοῖραν ἔθηκεν.
Ἀλλ' ἄγε δεῦρο, ἄναξ, ἵν' ἔπος καὶ μῦθον ἀκούσῃς
Ἡμέτερον· δάμασον δὲ μένος ἀγήνορα θυμόν.
Ὡς ἐφάμην· ὁ δέ μ' οὐδὲν ἀμείβετο, βῆ δὲ μετ' ἄλλας
Ψυχὰς εἰς Ἔρεβος νεκύων κατατεθνηώτων.
Ἔνθα χ' ὁμῶς προσέφη κεχολωμένος, ἤ κεν ἐγὼ τόν,

Ἐπιμίξ] κοινῶς τοῖς πᾶσι μίγνυται ὁ μαινόμενος Ἄρης· 539. Φοίτα] ἀνεχώρει, κατὰ μεγάλα βήματα. — Ἀσφοδελὸν] ἀντὶ ἀσφοδελώδη, ἀσφοδέλους ἔχοντα.

πτόλεμον ἄνδρ' ἄριστον γεγονέναι, ἔβαινε χαίρουσα κατ' ἀσφοδελὸν λειμῶνα, μακρὰ βηματίζουσα· αἱ δ' ἄλλαι τῶν τεθνεώτων ψυχαὶ ἔστασαν περὶ ἐμὲ σκυθρωπάζουσαι, τὰ ἑαυτῆς δεινά μοι ἑκάστη διεξιοῦσα· μόνη δὲ ἡ τοῦ Αἴαντος πόῤῥωθεν εἱστήκει, λίαν μοι δοκοῦσα μνησικακεῖν, ἐφ' οἷς διαφιλονεικήσας πρὸς αὐτὸν περὶ τῶν Ἀχιλλείων ὅπλων, κεκράτηκα, Τρώων τε καὶ τῆς Ἀθηνᾶς ἡμῖν δικασάντων· τῆς δὲ τοῦ ἥρωος μητρὸς καὶ δούσης μοι ταῦτα· ἀλλ' ἠβουλόμην ἔγωγε μηδέποτε τὸν ἀγῶνα ἄρασθαι τοῦτον, ἐφ' ᾧ Αἴαντα ἄνδρα τοιοῦτον ἄριστον πάντων πλὴν Ἀχιλλέως γεγενημένον, ζῆν ἔτι· Τοῦτον οὖν ἰδὼν ἐφιστάμενον, ἔφην πρὸς αὐτὸν ὡς μάλιστα πράως καὶ ἐπιεικῶς. Αἴας, υἱὲ Τελαμῶνος, οὐδ' ἀποθανὼν ἔοικας σύγε καθυφεῖναί μοι τῆς ὀργῆς ἕνεκα τῶν ὅπλων, ἃ θεοὶ ἄρα προὔθηκαν πρὸς βλάβην τοῖς Ἕλλησι· τοιοῦτος γὰρ πύργος αὐτοῖς αὐτὸς κατερηριμμένος ἀπόλωλας· ὃν οὐχ ἧττον ἢ κατ' Ἀχιλλέα οἱ Ἕλληνες ἐθρηνήσαμεν· ἀλλὰ τούτων αἴτιος μάλιστα Ζεὺς αὐτὸς δι' ἀπέχθειαν πρὸς τοὺς Ἕλληνας· οὓς τιμωρούμενος, ἀφεῖλέ σε τοῦ ζῆν· ἀλλὰ σύγ', ὦ ἄναξ, πειθόμενός μοι, καθύφες τοῦ πάθους.

Ταῦτα δὴ εἰπὼν, μάτην εἴρηκα πάντα· στραφεὶς γὰρ ἐκεῖνος ἐβάδιζε πρὸς τὰς ἄλλας ψυχὰς ὡς μάλιστα σκυθρωπὸς πρὸς τὸ Ἔρεβος· καίτοι ἀκολουθήσας ἂν αὐτῷ, ἐξε-

---

546. Θῆκε δὲ πότνια μήτηρ] ἡ Θέτις· πότερον δὲ ἔθηκε, τὸν ἀγῶνα τῆς δίκης, ἢ τὰ ὅπλα δέδωκεν ἐμοί; 560. Τεῖν] σοί. 565. Προσέφη] οὐ δύναμαι κατανοεῖν, ὅ τι βούλεται λέγειν· μήτι οὖν γραπτέον, Προσέβη, ἢ μᾶλλον προσέβη; ἵνα ᾖ ὁ νοῦς, ὁμοίως κἀκεῖ προὔβαινε καὶ πρὸς τοὺς ἄλλους, ἔτι τὸ πάθος σώζων· ἐγὼ δ' ἀλλ' οὖν κἀκεῖ ἂν ἐπεδίωξα, εἰ μὴ θυμὸς πρὸς ἄλλους με ἔτρεψεν· ἢ ἐννοητέον οὕτω· Ἔνθα εἰ εἰπόμην αὐτῷ, ἠξίωσέ με ἂν

Ἀλλά μοι ἤθελε θυμὸς ἐνὶ στήθεσσι φίλοισιν
Τῶν ἄλλων ψυχὰς ἰδέειν κατατεθνηώτων.
Ἔνθ' ἤτοι Μίνωα ἴδον, Διὸς ἀγλαὸν υἱὸν,
Χρύσεον σκῆπτρον ἔχοντα, θεμιστεύοντα νέκυσσιν,
Ἥμενον· οἱ δέ μιν ἀμφὶ δίκας εἴροντο ἄνακτα,
Ἥμενοι ἑσταότες τε, κατ' εὐρυπυλὲς Ἄϊδος δῶ.
Τὸν δὲ μετ' Ὠρίωνα πελώριον εἰσενόησα,
Θῆρας ὁμοῦ εἰλεῦντα κατ' ἀσφοδελὸν λειμῶνα,
Τοὺς αὐτὸς κατέπεφνεν ἐν οἰοπόλοισιν ὄρεσιν,
Χερσὶν ἔχων ῥόπαλον παγχάλκεον, αἰὲν ἀαγές.
Καὶ Τιτυὸν εἶδον, Γαίης ἐρικυδέος υἱὸν,
Κείμενον ἐν δαπέδῳ· ὁ δ' ἐπ' ἐννέα κεῖτο πέλεθρα·
Γῦπε δέ μιν ἑκάτερθε παρημένω ἧπαρ ἔκειρον,
Δέρτρον ἔσω δύνοντες· ὁ δ' οὐκ ἀπαμύνετο χερσίν·
Λητὼ γὰρ ἥλκησε, Διὸς κυδρὴν παράκοιτιν,
Πυθώδ' ἐρχομένην διὰ καλλιχόρου Πανοπῆος.
Καὶ μὴν Τάνταλον εἰσεῖδον, χαλέπ' ἄλγε' ἔχοντα,
Ἑσταότ' ἐν λίμνῃ· ἡ δὲ προσέπλαζε γενείῳ·
Στεῦτο δὲ διψάων, πιέειν δ' οὐκ εἶχεν ἑλέσθαι.
Ὁσσάκι γὰρ κύψει' ὁ γέρων, πιέειν μενεαίνων,
Τοσσάχ' ὕδωρ ἀπολέσκετ' ἀναβροχθέν· ἀμφὶ δὲ ποσσὶν
Γαῖα μέλαινα φάνεσκε, καταζήνασκε δὲ δαίμων.
Δένδρεα δ' ὑψιπέτηλα κατάκρηθεν χέε καρπὸν,
Ὄγχναι καὶ ῥοιαὶ, καὶ μηλέαι ἀγλαόκαρποι,
Συκαῖ τε γλυκεραὶ, καὶ ἐλαῖαι τηλεθόωσαι·

λόγου, ἣ ἐγὼ αὐτῷ διελεγόμην. — Ἧκεν] ἐν ἄλλοις Ἧκεν. 573. Εἰλεῦντα] συνειλοῦντα. 574. Οἰοπόλοισι] ἔνθα ὄϊες πολοῦνται, στρέφονται. 576. Τιτυὸν] Διὸς οὗτος καὶ Ἐλάρας υἱὸς. 579. Δέρτρον] ἤτοι τὸ δέρμα, ἢ τὴν περὶ τὸ ἧπαρ πιμελήν. 580. Ἥλκησε] ἀντὶ τοῦ Εἵλκυσεν αὐτὴν ἐκ τῶν πέπλων, βιασάμενος. 581.

βιασάμην ἀξιῶσαί με λόγου, εἰ μὴ ἕτερόν τι μοι ἦν προὐργιαίτερον· περὶ πολλοῦ γὰρ ἐποιούμην καὶ ἄλλων νεκρῶν κατιδεῖν τὰς ψυχάς. Καὶ δὴ Μίνω αὐτὸν τὸν τοῦ Διὸς φαίδιμον ἑώρακα παῖδα, δικάζοντα τοῖς νεκροῖς ἀπὸ θρόνου, σκῆπτρον ἔχοντα χρυσοῦν ἐν χερσί· τὰς δὲ ψυχὰς συνειλεγμένας περὶ αὐτὸν πρὸς τὴν κρίσιν, τὰς μὲν ἱσταμένας, τὰς δὲ καθημένας.

Ἐκ δὲ τούτου εἶδον Ὠρίωνα τὸν πελώριον, συνελαύνοντα τὰ θηρία κατ' ἀσφοδελὸν λειμῶνα, ἃ ῥοπάλῳ χαλκῷ καὶ ἀθραύστῳ ἐν ὄρεσι μηλοτρόφοις ἀνεῖλε.

Ἐκ δ' αὖ τούτου εἶδον Τιτυὸν τὸν τῆς Γῆς κείμενον ἐν δαπέδῳ, ἐννέα ὅλ' ἀπέχων πλέθρα· δύο δὲ γῦπες, καθήμενοι ἑκατέρωθεν, κατέδαπτον αὐτῷ τὸ ἧπαρ, καταδύντες ἐντὸς, ἐφ' οἷς ἐξύβρισεν εἰς Λητὼ τὴν τοῦ Διὸς γαμετὴν, διὰ τῆς Πανόπης ἐρχομένην εἰς τὴν Πειθώ.

Μετὰ δὲ τοῦτον εἶδον Τάνταλον ἐπὶ λίμνης, πολλὰ καὶ δεινὰ πάσχοντα, δίψῃ μὲν σταθερᾷ συνεχόμενον, μὴ δυνάμενον δὲ πιεῖν· τὸ γὰρ ὕδωρ ἀνιὸν αὐτῷ μέχρι τῶν χειλέων, ὡς ἤμελλε πίνειν, ᾤχετο ἀπιὸν, καταλιμπάνον τοὔδαφος ξηρὸν, οὕτω τοῦ δαίμονος αὐτῷ ἀντιπράττοντος· τῶν δ' αὖ καρπῶν τῶν ἀπὸ τῶν δένδρων, ὄγχνων, ῥοιῶν, μηλεῶν, συκῶν, ἐλαιῶν ἀειθαλῶν, κατὰ κεφαλῆς αὐτῷ πολλοῦ χρήματος, ἄλλοθεν ἄλλων ἐπικρεμαμένων, ἀπολαύειν τούτων

Πειθῶδε] εἰς Πειθὼ, πόλιν τῆς Φωκίδος. 582. Τάνταλος ὁ Διὸς καὶ Πλουτοῦς, διατρίβων σὺν τοῖς θεοῖς (ὡς φησὶν ὁ σχολιαστὴς) κλέψας τὴν ἀμβροσίαν, ἔδωκε τοῖς ὁμήλιξιν· ἐφ' οἷς ἀγανακτήσας ὁ Ζεὺς, ἐξέβαλε τῆς ἐν οὐρανῷ διαίτης, καὶ ἀρτήσας ἀπ' ὄρους ὑψηλοῦ, ἐκδεδημένων τῶν χειρῶν, ἀνέτρεψε καὶ τὴν Σίπυλον, ἔνθα ἐκεκήδευτο· ἡ ἱστορία, φησὶ, παρ' Ἀσκληπιάδῃ. 586. Ἀναβροχθὲν] ἀναῤῥοφηθὲν, ἀναποθέν. 587. Καταζήνασκε] κατεξήρανε, παρὰ τὸ ἄζη. 588. Κατακρῆθεν] κατὰ τοῦ κρατὸς, τῆς κεφαλῆς αὐτοῦ.

Τῶν ὁπότ' ἰθύσει' ὁ γέρων ἐπὶ χερσὶ μάσασθαι,
Τὰς δ' ἄνεμος ῥίπτασκε ποτὶ νέφεα σκιόεντα.

Καὶ μὴν Σίσυφον εἰσεῖδον, κρατέρ' ἄλγε' ἔχοντα,
Λᾶαν βαστάζοντα πελώριον ἀμφοτέρῃσιν.
Ἤτοι ὁ μὲν σκηριπτόμενος χερσίν τε ποσσίν τε,
Λᾶαν ἄνω ὤθεσκε ποτὶ λόφον· ἀλλ' ὅτε μέλοι
Ἄκρον ὑπερβαλέειν, τότ' ἀποστρέψασκε κραταιΐς
Αὖτις· ἔπειτα πέδονδε κυλίνδετο λᾶας ἀναιδής.
Αὐτὰρ ὅγ' ἂψ ὤσασκε τιταινόμενος· κατὰ δ' ἱδρὼς
Ἔῤῥεεν ἐκ μελέων, κονίη δ' ἐκ κρατὸς ὀρώρει.

Τὸν δὲ μετ' εἰσενόησα βίην Ἡρακληείην,
Εἴδωλον· αὐτὸς δὲ μετ' ἀθανάτοισι θεοῖσιν
Τέρπεται ἐν θαλίῃς καὶ ἔχει καλλίσφυρον Ἥβην.
Παῖδα Διὸς μεγάλοιο καὶ Ἥρης χρυσοπεδίλου.
Ἀμφὶ δέ μιν κλαγγὴ νεκύων ἦν οἰωνῶν ὥς,
Πάντοσ' ἀτυζομένων· ὁ δ', ἐρεμνῇ νυκτὶ ἐοικὼς,
Γυμνὸν τόξον ἔχων καὶ ἐπὶ νευρῆφιν ὀϊςὸν,
Δεινὸν παπταίνων, αἰεὶ βαλέοντι ἐοικώς.
Σμερδαλέος δὲ οἱ ἀμφὶ περὶ ςήθεσιν ἀορτὴρ,
Χρύσεος ἦν τελαμών· ἵνα θέσκελα ἔργα τέτυκτο,
Ἄρκτοι τ', ἀργότεροί τε σύες, χαροποί τε λέοντες
Ὑσμῖναί τε, μάχεταί τε, φόνοι τ', ἀνδροκτασίαι τε.
Μὴ τεχνησάμενος, μηδ' ἄλλο τι τεχνήσαιτο,
Ὃς κεῖνον τελαμῶνα ἑῇ ἐγκάτθετο τέχνῃ.

Ἔγνω δ' αὐτίκα κεῖνος, ἐπεὶ ἴδεν ὀφθαλμοῖσιν,
Καί μ' ὀλοφυρόμενος ἔπεα πτερόεντα προσηύδα·
Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,

---

591. Ἰθύσειε] ὁρμήσειε μάσασθαι, ἅψασθαι, ἢ λαβεῖν. 595. Σκηριπτόμενος] ἐπερειδόμενος, τὸν πολὺν δὲ ἀγῶνα δηλοῖ τοῦτο. 597. Κραταΐς] ἡ δύναμις

οὐκ εἶχεν· ὅτε γὰρ ἀνέκυπτε ληψόμενος ὁτιοῦν, ἄνεμος πνεύσας, διεσκέδαζε πάντα εἰς νέφη σκιόεντα.

Ἐκ δὲ τούτου Σίσυφον εἶδον πολλῷ καὶ συντόνῳ κοπτόμενον πόνῳ· λίθον γὰρ πάμμεγαν εἰς λόφον ἀνακιλύων, χερσί τε ποσί τε ἐπερειδόμενος, ὅση δύναμις, ἀνεμόχλευεν· ὅτε δ' ἐγγὺς ἦν τὴν ἄκραν ὑπερβαλεῖν, αἴφνης καθυφειμένης αὐτῷ τῆς δυνάμεως, ἐκιλύετο πάλιν ἐκεῖνος κάτω εἰς ἐπίπεδον ὁριζόντειον· ὁ δὲ καταβὰς ἀνώθει ἐξ ὑπαρχῆς ἄνω τείνων, ἱδρῶτι περιῤῥεόμενος, καὶ τὴν κεφαλὴν κόνεως ἔμπλεως.

Ἐκ δὲ τούτου εἶδον τὸ τοῦ Ἡρακλέως εἴδωλον· αὐτὸς γὰρ ἐστὶν ἐν θεοῖς, εὐωχούμενος ἐν θαλίαις, Ἥβην τὴν καλλίσφυρον ἔχων, τὴν Διὸς καὶ Ἥρας θυγατέρα γεγεννημένην· περὶ δὲ αὐτὸν πολλὴ κλαγκὴ ἦν, οἵα ἡ τῶν ὀρνίθων ἐςὶν, ἄλλων ἄλλοθεν θορυβούντων· ὁ δὲ βαθείᾳ καὶ ἀμαυρᾷ ἐοικὼς σκιᾷ ὅλως, διηγκυλισμένος τὸ τόξον, καὶ δεινὸν ἐμβλέπων, δόκησιν παρεῖχεν αὐτίκα βαλεῖν· ἔφερε δ' ἐπὶ τοῦ στήθους τελαμῶνα χρυσοῦν μὲν, φοβερὸν δὲ ἰδεῖν, ἐφ' οἷς αὐτὸν παντοίως ἡ τέχνη ἐκόσμησεν, ἄρκτους ποικίλασα ἐν αὐτῷ, σῦς τ' ἀγρίους, λέοντάς τε καταπληκτικοὺς, πολέμους, μάχας, φόνους, ἀνδροκτασίας· τίποθ' ὅ,τι οὐχὶ; ὥσθ' ὃς τὸ ἔργον ἐποίησε τοῦτο, οὔτ' ἄλλο τοιοῦτον ἐδημιούργησε πώποτε, οὔτ' ἂν δημιουργήσειεν, ἐνὶ τούτῳ πᾶσαν ἐπιδειξάμενος δεξιότητα.

Τέως δ' οὖν ἅμ' ἰδών με ἀνέγνω εὐθύς· καὶ δὴ στενάξας, Διογενὲς, ἔφη, Λαερτιάδη πολυμήχανε Ὀδυσσεῦ, ἦπού γε

διεκόπτετο. 599. Τιταινόμενος] ἐντείνων ἑαυτὸν σφόδρα. 603. Ἐν θαλίῃς] ταῖς τῶν θεῶν εὐωχίαις. 606, Ἀτυζομένων] ταραττομένων. 607. Γυμνὸν] ἕτοιμον. 608· Παπταίνων] περιβλέπων. 609. Ἀορτὴρ τελαμὼν] ἀμφότερα ἀνθ' ἑνὸς τὸν κρεμαστῆρα τοῦ ξίφους, τὸν λῶρόν φησί. 610. Τέτυκτο] πε-

Ἆ δείλ', ἦ τινὰ καὶ σὺ κακὸν μόρον ἡγηλάζεις;
Ὅνπερ ἐγὼν ὀχέεσκον ὑπ' αὐγὰς Ἠελίοιο.
Ζηνὸς μὲν παῖς ἦα Κρονίονος, αὐτὰρ ὀϊζὺν
Εἶχον ἀπειρεσίην· μάλα γὰρ πολὺ χείρονι φωτὶ
Δεδμήμην, ὁ δέ μοι χαλεποὺς ἐπετέλλετ' ἀέθλους·
Καί ποτέ μ' ἐνθάδ' ἔπεμψε κύν' ἄξοντ'· οὐ γὰρ ἔτ' ἄλλον
Φράζετο τοῦδέ τί μοι χαλεπώτερον εἶναι ἄεθλον.
Τὸν μὲν ἐγὼν ἀνένεικα, καὶ ἤγαγον ἐξ Ἀΐδαο·
Ἑρμείας δέ μ' ἔπεμψεν, ἰδὲ γλαυκῶπις Ἀθήνη.
Ὣς εἰπὼν, ὁ μὲν αὖτις ἔβη δόμον Ἄϊδος εἴσω.
Αὐτὰρ ἐγὼν αὐτοῦ μένον ἔμπεδον, εἴ τις ἔτ' ἔλθοι
Ἀνδρῶν ἡρώων, οἳ δὴ τὸ πρόσθεν ὄλοντο·
Καί νύ κ' ἔτι προτέρους ἴδον ἀνέρας, οὓς ἔθελόν περ·
Θησέα Πειρίθοόν τε, θεῶν ἐρικυδέα τέκνα·
Ἀλλὰ πρὶν ἐπὶ ἔθνε' ἀγείρετο μυρία νεκρῶν,
Ἠχῇ θεσπεσίῃ· ἐμὲ δὲ χλωρὸν δέος ᾕρει,
Μή μοι Γοργείην κεφαλὴν δεινοῖο πελώρου
Ἐξ Ἄϊδος πέμψειεν ἀγαυὴ Περσεφόνεια.
Αὐτίκ' ἔπειτ' ἐπὶ νῆα κιὼν, ἐκέλευον ἑταίρους
Αὐτούς τε ἀμβαίνειν, ἀνά τε πρυμνήσια λῦσαι·
Οἱ δ' αἶψ' εἴσβαινον, καὶ ἐπὶ κληῖσι κάθιζον.
Τὴν δὲ κατ' Ὠκεανὸν ποταμὸν φέρε κῦμα ῥόοιο·
Πρῶτα μὲν εἰρεσίῃ, μετέπειτα δὲ κάλλιμος οὖρος.

καὶ αὐτὸς, ὡς ἔοικε, τῆς αὐτῆς ἐμοὶ ἐν τῷ βίῳ τετύχηκας μοίρας· ἐγὼ γὰρ καί τοι παῖς ἐγενόμην Διὸς, ἀλλὰ πολλοῖς διετέλεσα κοπτόμενος πόνοις, ὑπὸ χείρονι γεγενημένος ἀνδρὶ, πολλούς μοι καὶ ἐπικινδυνεστέρους ἀεὶ προτείνοντι ἄθλους· ὃς τελευτῶν καὶ εἰς ᾅδου ὧδε κατέπεμψεν, οἷον χαλεπώτατον τοῦτον καὶ ἀργαλεώτατον πάντων οἰόμενος ἔσεσθαι, τὸν Κέρβερον κύνα ἀνάξοντα· ἀλλ' ἔγωγ' ἐπὶ πολλοῖς ἄλλοις καὶ τοῦτον κατώρθωσα, Ἑρμοῦ καὶ Ἀθηνᾶς ἡγουμένων· ταῦτα δὴ εἰπὼν, κατέδυ εἰς Ἔρεβος.

Ἐγὼ δὲ παρέμενον ἔτι, εἴτινα ἴδοιμι τῶν λοιπῶν ἡρώων, οἷον Θησέα τε καὶ Πειρίθοον, θεῶν παῖδας κυδίστους, ἀλλὰ πολλῶν νεκρῶν μυρίων ὅσων συναγειρομένων περὶ ἐμὲ, φόβῳ χλωρῷ συσχεθεὶς, μὴ ἐκπέμψῃ με τὴν Γοργῶ Περσεφόνη, ἀπῆλθον ἐκεῖθεν· καὶ ἐπανιὼν εἰς τὴν ναῦν, ἐκέλευσα τοὺς ἑταίρους, ἄραντας εὐθὺς ἐπιβῆναι· οἱ δὲ ὀξέως δεξάμενοι τὸ προστεταγμένον, ἐκαθέσθησαν ἐν τοῖς ἑδωλίοις. Οὕτως οὖν καταπλεύσαντες τὸν Ὠκεανὸν εἰρεσίᾳ, ἐχωρήσαμεν εἰς τὸ πέλαγος· ὅπου ἄνεμος οὔριος τὴν κώπην διαδεξάμενος, ἀπεκόλπωσε τὸ ἱστίον.

ποίκιλτο· 618. Ἡγηλάζῃς] ἄγεις, ὑπομένεις. 618. Ὀχέεσκον] ὑπήνεγκα. 620· Ἦα] ἦν ἐγώ. 621. Χείρωνι ἀνδρὶ] τῷ Εὐρυσθεῖ· 623. Κύνα] τὸν Κέρβερον. 624. Ἀνένεικα] ἀνήγαγον· 630. Προτέρους] καὶ ἔτι πλείους. 632. Ἀλλὰ πρὶν] ἀλλὰ προὔλαβον περικυκλοῦντά με. 634. Γοργείην] τὴν τῆς Μεδούσης τῆς Γοργόνος κεφαλήν. 641. Κάλλιμος] κάλλιστος ἄνεμος.

ΥΠΟΘΕΣΙΣ

Διηγεῖται τοῖς Φαίαξι τὴν ἐξ ᾅδου αὐτῷ γενομένην πρὸς τὴν Κίρκην ἐπάνοδον· καὶ ὅπως ἐποίησε τὰ νομιζόμενα τῷ τοῦ Ἐλπίνορος τάφῳ· τόντε παρὰ ταῖς Σειρῆσι πα-

ΟΔΥΣΣΕΙΑΣ Μ.

Αὐτὰρ ἐπεὶ ποταμοῖο λίπεν ῥόον Ὠκεανοῖο
Νηῦς, ἀπὸ δ᾽ ἵκετο κῦμα θαλάσσης εὐρυπόροιο,
Νῆσόν τ᾽ Αἰαίην, ὅθι τ᾽ Ἠοῦς ἠριγενείης
Οἰκία καὶ χοροί εἰσι καὶ ἀντολαὶ Ἠελίοιο·
Νῆα μὲν ἔνθ᾽ ἐλθόντες ἐκέλσαμεν ἐν ψαμάθοισιν,
Ἐκ δὲ καὶ αὐτοὶ βῆμεν ἐπὶ ῥηγμῖνι θαλάσσης.
Ἔνθα δ᾽ ἀποβρίξαντες ἐμείναμεν Ἠῶ δῖαν.
Ἦμος δ᾽ ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
Δὴ τότ᾽ ἐγὼν ἑτάρους προΐειν ἐς δώματα Κίρκης,
Οἰσέμεναι νεκρὸν Ἐλπήνορα τεθνηῶτα.

3 Ὅθι Ἠοῦς] λέγει δὲ ταῦτα οὐχ᾽ ὅτι ἐν Αἰαίᾳ ἀνατέλλει πρῶτον ὁ ἥλιος, ἀλλ᾽ ὡς ἀπὸ τοῦ σκότους ἀνελθὼν, ἐκεῖ πρῶτον φῶς ἑώρακε καὶ ἡμέ-

ρίπλουν, τά τε δεινὰ ἐν τῷ παραπλεῦσαι τὴν Σκύλαν τε καὶ τὴν Χάριβδιν, ἔνθα ἓξ ἀπώλεσε τῶν ἑταίρων· καὶ ὅπως ναυαγίᾳ χρησάμενος, ἐφ' οἷς τὰς τοῦ Ἡλίου ἔσφαξαν βοῦς, μόνος αὐτὸς διεσώθη.

ΟΔΥΣΣΕΙΑΣ Μ.

Ὡς οὖν καταπλεύσαντες τὸν μέγαν αὐτὸν ποταμὸν, διεβάλομεν εἰς τὸ πέλαγος, ἀφικόμεθα πάλιν εἰς τὴν νῆσον Αἰαίαν· ἔνθ' Ἠοῦς τῆς ἠριγενείας οἰκία τε καὶ χοροὶ, καὶ ἀνατολαί εἰσι τοῦ Ἡλίου, καὶ σχόντες τῇ γῇ, ἀνειλκύσαμεν τὴν ναῦν εἰς τὴν χέρσον, καὶ ἀποβάντες αὐτοῦ διενυκτερεύσαμεν· ἅμα δὲ ἕῳ, ἡνίχ' αἱ τῶν ὀρέων κορυφαὶ ἄρχονται ὑπὸ ἀμαυρῷ τῷ ὁρίζοντι σελαγίζεσθαι, ἔπεμψα τῶν ἑταίρων τινὰς, τὸν ἐκ τῆς Κίρκης νεκρὸν κατακομίσοντας τοῦ Ἐλπήνορος. Τούτου δὲ γενομένου, ξυλευσάμενοι, παρε-

---

ραν. 4. Χοροὶ] ἀντὶ τοῦ χῶραι, τόποι, ὁ σχολιαστής· ἐξ οὗ καὶ ἡ γῆ εὐρύχορος παρ' αὐτῷ. — Ἀντολαὶ] ἀνατολαί. 5. Ἐκέλσαμεν] εἱλκύσαμεν· 7. Ἀποβρίξαντες] νυστάξαντες. 10. Οἰσέμεναι] καταγαγεῖν, 11. Φιτροὺς]

Φιτροὺς δ' αἶψα ταμόντες, ὅθ' ἀκροτάτη πρόεχ' ἀκτὴ,
Θάπτομεν ἀχνύμενοι, θαλερὸν κατὰ δάκρυ χέοντες,
Αὐτὰρ ἐπεὶ νεκρός τ' ἐκάη, καὶ τεύχεα νεκροῦ,
Τύμβον χεύαντες, καὶ ἐπὶ στήλην ἐρύσαντες,
Πήξαμεν ἀκροτάτω τύμβῳ εὐῆρες ἐρετμόν.
Ἡμεῖς μὲν τὰ ἕκαστα διείπομεν· οὐδ' ἄρα Κίρκην,
Ἐξ' Αΐδεω ἐλθόντες, ἐλήθομεν, ἀλλὰ μάλ' ὦκα
Ἦλθ' ἐντυναμένη· ἅμα δ' ἀμφίπολοι φέρον αὐτῇ
Σῖτον καὶ κρέα πολλὰ καὶ αἴθοπα οἶνον ἐρυθρόν.
Ἡ δ' ἐν μέσσῳ στᾶσα, μετηύδα δῖα θεάων·
Σχέτλιοι, οἳ ζώοντες ὑπήλθετε δῶμ' Αΐδαο,
Δισθανέες, ὅτε τ' ἄλλοι ἅπαξ θνήσκουσ' ἄνθρωποι·
Ἀλλ' ἄγετ', ἐσθίετε βρώμην καὶ πίνετε οἶνον
Αὖθι πανημέριοι· ἅμα δ' ἠοῖ φαινομένηφιν
Πλεύσεσθ'· αὐτὰρ ἐγὼ δείξω ὁδὸν, ἠδὲ ἕκαστα
Σημανέω· ἵνα μήτι κακοῤῥαφίῃ ἀλεγεινῇ
Ἢ ἁλὸς, ἢ ἐπὶ γῆς ἀλγήσετε, πῆμα παθόντες.
Ὣς ἔφαθ'. ἡμῖν δ' αὖτ' ἐπεπείθετο θυμὸς ἀγήνωρ.
Ὣς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
Ἥμεθα, δαινύμενοι κρέα τ' ἄσπετα καὶ μέθυ ἡδύ.
Ἦμος δ' ἠέλιος κατέδυ, καὶ ἐπὶ κνέφας ἦλθεν,
Οἱ μὲν κοιμήσαντο παρὰ πρυμνήσια νηός·
Ἡ δ' ἐμὲ χειρὸς ἑλοῦσα φίλων ἀπονόσφιν ἑταίρων,
Εἷσέ τε, καὶ προσέλεκτο, καὶ ἐξερέεινεν ἕκαστα·
Αὐτὰρ ἐγὼ τῇ πάντα κατὰ μοῖραν κατέλεξα.
Καὶ τότε δή μ' ἐπέεσσι προσηύδα πότνια Κίρκη·
Ταῦτα μὲν οὕτω πάντα πεπείρανται· σὺ δ' ἄκουσον,
Ὥς τι ἐγὼν ἐρέω, μνήσει δέ σε καὶ θεὸς αὐτός·
Σειρῆνας μὲν πρῶτον ἀφίξεαι, αἵ ῥά τε πάντας

δώκαμεν, ἔνθα τῆς ἀκτῆς ἦν μάλισθ' ὑψηλὸν, ἐκεῖνον ταφῇ, πολλὰ αὐτοῦ καταχέοντες δάκρυα· ὡς δὲ ὁ νεκρὸς συνεκάη τοῖς ὅπλοις, τάφον αὐτῷ χώσαντες, καὶ στήλην στήσαντες ἐπ' αὐτοῦ, ἐνεπήξαμεν καὶ τὸν ἐρετμὸν κατὰ τὸ ἀκρότατον. Ταῦτα δὲ ἡμῶν διαιτώντων, παρεγένετο Κίρκη, πολλὰς τῶν ἀμφιπόλων, σῖτά τε καὶ κρέα καὶ οἶνον ἡμῖν κομιζούσας, ἐπαγομένη· καὶ δὴ παρελθοῦσα, σχέτλιοι ὑμεῖς γ', ἔφη, οἳ καὶ ζῶντες καταχθέντες εἰς ᾅδου, δὶς ἔσεσθε τεθνηκότες, τῶν ἄλλων θνητῶν ἅπαξ τοῦτο πασχόντων· ἀλλ' ἄγετ' ἤδη φάγετε καὶ πίετε πανημέριοι· αὔριον δὲ, ἅμα ἡμέρᾳ ἀναχθήσεσθε, ᾗ ἂν ἐγὼ διδάξω ὑμᾶς, περαιούμενοι, ἵνα μὴ ἀπειρίᾳ εἰς προὔπτους κινδύνους κατά τε ξηρὰν καὶ θάλασσαν ἐξοκέλητε. Ταῦτα μὲν ἐκείνη.

Ἡμῖν δὲ πάνθ' ἡδομένοις εἴρηται ταῦτα· διὸ διημερεύσαμεν τότε ἐσθίοντές τε καὶ πίνοντες κρέατά τε ἄφθονα καὶ οἶνον ἡδὺν ἐς ἥλιον καταδύντα· ὡς δὲ συνεσκότασεν, οἱ μὲν ἐκοιμήθησαν παρὰ τοῖς πρυμνησίοις· ἐμὲ δὲ παραλαβοῦσα τῆς χειρὸς ἡ θεὸς, μετέστησε προσωτέρω· καὶ καθίσασα, ἐπυνθάνετό μου τὰ κατὰ τὸν πλοῦν, παρακαθημένη· κἀπειδὴ εἴποιμι πάνθ', ὅπως ἕκαστά μοι συνέβη τὰ πρὸς Τειρεσίαν καὶ τἄλλα, ταῦτα μὲν, ἔφη, εὖ σοι πέπρακται πάντα· νῦν δὲ πρόσχες μοι κἀκείνῳ τὸν νοῦν· ὃ τάχ' ἂν καὶ θεῶν σέ τις ἀναμνήσειε. Σειρῆνας μὲν γὰρ πρῶτον παραπλεῦσαί σε δεῖ·

κορμοὺς δένδρων. — Πρόσεχε] προεῖχεν, ἐξεῖχεν. 14. Ἐρύσαντες] στήσαντες 16. Λείπομεν] ἐπράττομεν. 18. Ἐντυναμένη] παρεσκευασμένη. 22. Δισθανέες] δὶς ἀποθνήσκοντες. 39. Σειρῆνες] θυγατέρας ταύτας φασὶ γενέσθαι Ἀχελῴου καὶ Στερόπης, ἢ κατ' ἄλλους, Τερψιχόρης, μιᾶς τῶν Μουσῶν. ἑλομένας δὲ παρθενίαν, μισηθῆναι ὑπὸ Ἀφροδίτης, καὶ ὑποπτέρους οὔσας, ἀποπτῆναι πρὸς τὴν Τυῤῥηνικὴν, καὶ τὴν ἐκεῖ Ἀνθεμοῦσσαν νῆσον καταλαβεῖν· τὰ δὲ ὀνόματα αὐτῶν ἦσαν ταῦτα, Ἀγλαοφήμη, Θελξιέπεια, Πεισι-



Ἀνθρώπους θέλγουσιν, ὅτις σφέας εἰσαφίκηται.
Ὅστις ἀϊδρείῃ πελάσῃ, καὶ φθόγγον ἀκούσῃ
Σειρήνων, τῷ δ' οὔτι γυνὴ καὶ νήπια τέκνα
Οἴκαδε νοστήσαντι παρίσταται οὐδὲ γάνυνται.
Ἀλλά τε Σειρῆνες λιγυρῇ θέλγουσιν ἀοιδῇ,
Ἥμεναι ἐν λειμῶνι· πολὺς δ' ἀμφ' ὀστεόφιν θὶς
Ἀνδρῶν πυθομένων, περὶ δὲ ῥινοὶ μινύθουσιν.
Ἀλλὰ παρὲξ ἐλάᾳν· ἐπὶ δ' οὔατ' ἀλεῖψαι ἑταίρων,
Κηρὸν δεψήσας μελιηδέα, μήτις ἀκούσῃ
Τῶν ἄλλων· αὐτὰρ αὐτὸς ἀκουέμεν αἴ κ' ἐθέλῃσθα,
Δησάντων σ' ἐν νηῒ θοῇ, χεῖράς τε πόδας τε,
Ὀρθὸν ἐν ἱστοπέδῃ· ἐκ δ' αὐτοῦ πείρατ' ἀνήφθω·
Ὄφρα κε τερπόμενος, ὄπ' ἀκούῃς Σειρήνοιϊν.
Αἰ δέ κε λίσσηαι ἑτάρους, λῦσαί τε κελεύῃς,
Οἱ δέ σ' ἔτι πλεόνεσσι τότ' ἐν δεσμοῖσι δεόντων.
Αὐτὰρ ἐπὴν δὲ τάσγε παρὲξ ἐλάσωσιν ἑταῖροι,
Ἔνθα τοι οὐκέτ' ἔπειτα διηνεκέως ἀγορεύσω,
Ὁπποτέρη δή τοι ὁδὸς ἔσσεται, ἀλλὰ καὶ αὐτὸς
Θυμῷ βουλεύειν· ἐρέω δέ τοι ἀμφοτέρωθεν.
Ἔνθεν μὲν γὰρ πέτραι ἐπηρεφέες, προτὶ δ' αὐτὰς
Κῦμα μέγα ῥοχθεῖ κυανώπιδος Ἀμφιτρίτης·
Πλαγκτὰς δή τοι τάσγε θεοὶ μάκαρες καλέουσιν.
Τῇ μέν τ' οὐδὲ ποτητὰ παρέρχεται, οὐδὲ πέλειαι
Τρήρωνες, ταίτ' ἀμβροσίην Διὶ πατρὶ φέρουσιν,
Ἀλλά τε καὶ τῶν αἰεὶ ἀφαιρεῖται λὶς πέτρη·
Ἀλλ' ἄλλην ἐνίησι πατὴρ ἐναρίθμιον εἶναι.

νόη, ἡ Λίγεια· ὁ δὲ ποιητὴς δυϊκῶς προφέρει κατωτέρω. Σειρήνοιϊ· 45. Πολὺς δ' ἀμφ' ὀστεόφιν θὶς] πολὺς σωρὸς] τὰ δὲ δέρματα αὐτῶν πέριξ ἐλαττοῦνται 47. Παρὲξ ἐλάᾳν] παρελαύνειν ὑμᾶς δεῖ ἐκτὸς τούτων. 48. Δε

αἳ δεινόταταί εἰσι καταθέλγειν ἀνθρώπους· ὅστις ἂν ἀφίκηταί ποτε παρ᾽ αὐτάς· εἴτις γὰρ προσπελάσας ἀγνοίᾳ, τῆς φωνῆς αὐτῶν καὶ τοῦ φθόγγου μόνον ἀκούσειεν, οὐκέτ᾽ ἂν ἐθελήσειεν οὗτος, οὐ γυναικὸς, οὐ παίδων, οὐ τῆς φίλης μνημονεύειν πατρίδος· τοσοῦτον γὰρ μέλει λιγυρῷ τοὺς παραμειβομένους ἐπάγονται, καθήμεναι κατὰ τὸν λειμῶνα· καὶ ἴδοις ἂν αὐτοῦ οὐδὲν, ἀλλ᾽ ἢ σωροὺς ἀνθρωπίνων σωμάτων ὑπὸ κατεσκληκόσι καὶ κατεῤῥικνωμένοις τοῖς δέρμασι. Ταύτας οὖν φημι δεῖν φυλάττεσθαι, πόῤῥωθεν, ὅσον οἷόν τε, παραπλέοντα· ἔπειτα τοῖς τῶν ἑταίρων ὠσὶ κηρὸν εὖ μάλα παχὺν ἐμπλάσαντα, κελεῦσαι κἀκείνους ἐν μέρει δῆσαι καί σε αὐτὸν ὀρθὸν ἐν τῇ Ἱστοδόκῃ, μήδ᾽ ἀνεῖναι τὸ παράπαν, εἴσοι βουλομένῳ εἴη τῆς ᾠδῆς ἐπακοῦσαι ἐκείνων ἐν τῷ παραλλάττειν· ἀλλὰ καὶ κελεύοντι αὐτοὺς ἐπιλῦσαι σε πρὸς τὴν ἀκοὴν, δὶς τοσαῦτα δεσμὰ περιθεῖναι· τὸ δ᾽ ἐντεῦθεν, ἐπειδὰν παραμείψαντες γένησθε ἐν τῷ ἀσφαλεῖ, οὐκέτι σοι δεήσει παρ᾽ ἐμοῦ μαθεῖν τὸ λοιπὸν τῆς ὁδοῦ, αὐτὸν παρὰ σεαυτοῦ ἂν εἰδότα· ὃ δὲ μόνον ἔτι παρ᾽ ἐμοῦ εἰδέναι σε χρὴ ἐκεῖνό ἐστιν· πέτραι γὰρ ἀποῤῥῶγες εἰσὶν ἑκατέρωθεν, ἃς Πλαγκτὰς οἱ θεοὶ προσηγόρευσαν· ἔνθα τὸ τῆς Ἀμφιτρίτης κῦμα θεσπέσιον, προσρηγνύμενον αὐταῖς, ἐπηχεῖ· ταύτας δ᾽ οὐδὲν τῶν πτηνῶν ὑπερανίπτασθαι δύναιτ᾽ ἄν· οὐδέ γε τῶν περιστερῶν αὐτῶν αἳ τῷ Διῒ τὴν ἀμβροσίαν κομίζουσαι, ἀκινδύνως ἐκεῖθεν παρέλθοιεν· οὐ γὰρ ἔσθ᾽ ὅπως, τολμησασῶν, μὴ μία τις αὐτῶν ἀπόλοιτο, ἀράξασα πρὸς τὴν πέτραν· ἀνθ᾽ ἧς ὁ Ζεὺς ἀποπέμψας ἑτέραν, τὸν ἀριθμὸν αὐταῖς ἀνεπλήρωσε.

ψήσας] μαλάξας. 51. Πείρατα] σχοινία. 55. Παρὲξ ἐλάσωσιν] παρελάσωσι παραμείψωσι. 61. Πλαγκτὰς] ὡς πανταχόθεν τῷ κύματι πελαζομένας· ἢ ὡς ἄλλοι πλαζομένας κατὰ τὴν Δῆλον· 62. Ποτητὰ] πτηνά· 64. Καὶ τῶν ἀφαιρεῖται] καὶ τῶν πελειῶν τούτων ἑσθότε ἀφαιρεῖταί τινα ἡ πέτρα, λεία

Τῇ δ' οὔπω τις νηῦς φύγεν ἀνδρῶν, ἥτις ἵκηται,
Ἀλλά θ' ὁμοῦ πίνακάς τε νεῶν καὶ σώματα φωτῶν
Κύμαθ' ἁλὸς φορέουσι, πυρός τ' ὀλοοῖο θύελλαι.
Οἴη δὴ κείνη γε παρέπλω ποντοπόρος νηῦς,
Ἀργὼ πασιμέλουσα, παρ' Αἰήταο πλέουσα·
Καί νύ κε τὴν ἔνθ' ὦκα βάλεν μεγάλας ποτὶ πέτρας,
Ἀλλ' Ἥρη παρέπεμψεν, ἐπεὶ φίλος ἦεν Ἰήσων.
Οἱ δὲ δύω σκόπελοι· ὁ μὲν οὐρανὸν εὐρὺν ἱκάνει
Ὀξείῃ κορυφῇ, νεφέλη δέ μιν ἀμφιβέβηκεν
Κυανέη· τὸ μὲν οὔποτ' ἐρωεῖ, οὐδέ ποτ' αἴθρη
Κείνου ἔχει κορυφὴν, οὔτ' ἐν θέρει, οὔτ' ἐν ὀπώρῃ·
Οὐδέ κεν ἀμβαίη βροτὸς ἀνὴρ, οὐ καταβαίη,
Οὐδ' εἴ οἱ χεῖρές τε ἐείκοσι καὶ πόδες εἶεν·
Πέτρη γὰρ λίς ἐστι, περιξεστῇ εἰκυῖα.
Μέσσῳ δ' ἐν σκοπέλῳ ἐστὶ, σπέος ἠεροειδὲς,
Πρὸς ζόφον, εἰς Ἔρεβος τετραμμένον· ᾗπερ ἂν ὑμεῖς
Νῆα παρὰ γλαφυρὴν ἰθύνετε, φαίδιμ' Ὀδυσσεῦ.
Οὐδέ κεν ἐκ νηὸς γλαφυρῆς αἰζήϊος ἀνὴρ
Τόξῳ ὀϊστεύσας κοῖλον σπέος εἰσαφίκοιτο.
Ἔνθα δ' ἐνὶ Σκύλλη ναίει, δεινὸν λελακυῖα.
Τῆς ἤτοι φωνὴ μὲν, ὅση σκύλακος νεογιλῆς,
Γίγνεται, αὐτὴ δ' αὖτε πέλωρ κακόν· οὐδέ κέ τίς μιν
Γηθήσειεν ἰδὼν, οὐδ' εἰ θεὸς ἀντιάσειεν.
Τῆς ἤτοι πόδες εἰσὶ δυώδεκα πάντες ἄωροι·
Ἓξ δέ τέ οἱ δειραὶ περιμήκεες· ἐν δὲ ἑκάσῃ

οὖσα καὶ οὐρανομήκης. 69. Παρέπλω] παρέπλευσε, παρῆλθε. 70. Πασιμέλουσα] ἧς πᾶσιν μέλει διὰ τὸ κλέος αὐτῆς· ἢ, ἧς πάντες θεοὶ ἐπιμέλειαν ἔχουσι. 71. Βάλεν] προσέβαλε κἀκείνη ἡ Ἀργὼ πρὸς τὰς πέτρας κατὰ τὴν πρύμνην μικρὸν (οἱ τὸ τῆς ἀφεθείσης περιστερᾶς ὑπὸ Ἰάσωνος πάθος ἐνταῦθα ἐννοεῖ) ἀλλ'

Ταύταις τοίνυν εἴτις τῶν νεῶν προσπελάσειεν, οὐκ ἂν φύγοι τὸ μὴ οὐχὶ χρήσασθαι ναυαγίᾳ· ἐξ οὗ τά τε ναυάγια καὶ τὰ σώματα τῶν ναυαγησάντων κύματα θαλάσσης, καὶ θύελλαι πυρὸς ἄλλοσε ἄλλα διεσκέδασαν φέροντα· μία δὲ μόνη ἀκινδύνως λέγεται παραπεπλευκέναι, ἡ παρὰ πᾶσι θρυλλουμένη Ἀργὼ, ἐπανιοῦσα ἀπὸ τῆς Κολχίδος, τῆς Ἥρας παραπεμπούσης εὐνοίᾳ Ἰάσονος. Ἔστι δ' οὖν τούτων ἡ μὲν ὀξυτάτῃ κορυφῇ ἀνιοῦσα μέχρις οὐρανοῦ ἀστερόεντος, θέρους τε καὶ χειμῶνος ἐς τὰ νέφη ἀεὶ καταδυομένη· καὶ οὐκ ἂν οὔτε καταβῆναι, οὔτ' ἂν ἀναβῆναι γένοιτ' ἄν τινι, καὶ εἴτῳ εἴκοσι μὲν χεῖρες, τοσοίδε δὲ καὶ πόδες αὐτῷ περιεῖεν· πέτρα γάρ ἐστιν ἀπότομος ὁμαλὴ, οἷον ἐπίτηδες περιεξεσμένη, σπήλαιον σκοτεινὸν ἐν τῷ μέσῳ ἑαυτῆς κατὰ τὸν παράπλουν ἔχουσα πρὸς δυόμενον ἥλιον, τόξου βολῆς πολλῷ ὑπερκείμενον· ἐν δὲ τούτῳ Σκύλλα τις ἐμφωλεύει εὐτραφὴς, ὥσπερ λέων, δεινὸν ὠρυομένη, σύμμικτον κἀποφώλιον τέρας, δεινόν τε καὶ χαλεπὸν οὐ μόνον θνητοῖς ἰδεῖν, ἀλλὰ καὶ θεοῖς αὐτοῖς συναντῆσαι· εἰσὶ γὰρ αὐτῇ πόδες μὲν δυωκαίδεκα ἄυπνοι· δειραὶ δὲ ἓξ ἐπιμήκεις εὖ μάλα· ὧν ἑκάστη

ἀρωγῇ Ἥρας διῆλθεν ἀβλαβῶς· συγκέχυται ἀλλ' οὖν τὰ κατὰ τὴν Ἀργὼ ἐν τῇ μυθολογίᾳ· ἐνταῦθα γὰρ κατὰ Σικελίαν τὰς Πλαγκτὰς πέτρας παρίστησιν· ἐκεῖ δὲ τὰς Συμπληγάδας ἐν Βοσπόρῳ κατὰ τὴν εἴσοδον εἰς τὸν Πόντον βούλεται λέγειν. 75. Ἐρωεῖ] ἀπογίνεται, ἀποχωρεῖ. — Αἴθρα] αἰθρία φῶς. 80. Ἠεροειδὲς] σκοτεινόν. 83. Αἰζήιος] νεανίας, ἰσχυρός 85. Σκύλλη] θυγάτηρ μὲν ἦν Φόρκυνος καὶ Ἑκάτης θαυμαστὸν παρέχουσα μέγεθος, πόδας μὲν δώδεκα, κεφαλὰς δὲ ἔχουσα, ἐξ ὧν ἑκάστη τρεῖς στίχους ὀδόντων· καὶ τὸ μὲν ἄλλο σῶμα ἐν σπηλαίῳ ἐκρύπτετο· τὰς δὲ κεφαλὰς ἔξω ἔχουσα προκυπτούσας, καθίει ἔς τε ἐπὶ τὰς νῆας διαπλεούσας· Ἡρακλῆς ἀλλ οὖν ἐπανιὼν ἀπὸ τῆς τῶν Γηριόνου βοῶν ἐλάσεως, ἀνῆλεν· ὁ δὲ πατὴρ ἠνάγκασεν αὐτὴν πυρὶ ἀναζῆσαι· 86. Νεογιλῆς] νεογνῆς, γάλακτι τρεφομένης. 89. Ἄωροι] πολυφρόντιστοι, ἄυπνοι, ἢ δυσφύλακτοι. 94. Βερέθρου] ἔξω τοῦ

Σμερδαλέη κεφαλὴ, ἐν δὲ τρίστοιχοι ὀδόντες,
Πυκνοὶ καὶ θαμέες, πλεῖοι μέλανος θανάτοιο.
Μέσση μέν τε κατὰ σπείους κοίλοιο δέδυκεν·
Ἔξω δ' ἐξίσχει κεφαλὰς δεινοῖο βερέθρου·
Αὐτοῦ δ' ἰχθυάᾳ σκόπελον περιμαιμώωσα
Δελφῖνάς τε κύνας τε, καὶ εἴ ποθι μεῖζον ἕλησιν
Κῆτος, ἃ μυρία βόσκει ἀγάστονος Ἀμφιτρίτη.
Τῇ δ' οὐ πώποτε ναῦται ἀκήριοι εὐχετόωνται
Παρφυγέειν σὺν νηΐ· φέρει δέ τε κρατὶ ἑκάστῳ
Φῶτ', ἐξαρπάξασα νεὸς κυανοπρώροιο.
Τὸν δ' ἕτερον σκόπελον χθαμαλώτερον ὄψει, Ὀδυσσεῦ,
Πλησίον ἀλλήλων· καί κεν διοϊστεύσειας.
Τῷ δ' ἐν ἐρινεός ἐστι μέγας, φύλλοισι τεθηλώς·
Τῷ δ' ὑπὸ δῖα Χάρυβδις ἀναῤῥοιβδεῖ μέλαν ὕδωρ.
Τρὶς μὲν γάρ τ' ἀνίησιν ἐπ' ἤματι, τρὶς δ' ἀναροιβδεῖ
Δεινόν· μὴ σύγε κεῖθι τύχοις, ὅτε ῥοιβδήσειεν·
Οὐ γάρ κεν ῥύσαιτό σ' ὑπ' ἐκ κακοῦ οὐδ' Ἐνοσίχθων.
Ἀλλὰ μάλα Σκύλλης σκοπέλῳ πεπλημένος, ὦκα
Νῆα παρὲξ ἐλάᾳν· ἐπειὴ πολὺ φέρτερόν ἐστιν
Ἓξ ἑτάρους ἐν νηΐ ποθήμεναι, ἢ ἅμα πάντας.
Ὣς ἔφατ'· αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
Εἰ δ', ἄγε δή μοι τοῦτο, θεὰ, νημερτὲς ἔνισπε,
Εἴ πως τὴν ὀλοὴν μὲν ὑπεκπροφύγοιμι Χάρυβδιν,
Τὴν δέ κ' ἀμυναίμην, ὅτε μοι σίνοιτό γ' ἑταίρους.
Ὣς ἐφάμην· Ἡ δ' αὐτίκ' ἀμείβετο δῖα θεάων.
Σχέτλιε, καὶ δ' αὖ τοι πολεμήϊα ἔργα μέμηλεν
Καὶ πόνος· οὐδὲ θεοῖσιν ὑπείξεαι ἀθανάτοισιν;

βαράθρου. 95. Ἰχθυάᾳ] ἀγρεύει ἰχθύας. 97. Ἀγάστονος] ἡ ἄγαν στένουσα. 98. Ἀκήριοι] ἀβλαβεῖς. 99. Κρατὶ] ἑκάστῃ κεφαλῇ ἕνα τινὰ ἐξαρπάσασα

κεφαλὴ ἔστι σμερδαλέα· ἐν ᾗ ὀδόντες τρίστοιχοι καὶ πυκνοὶ περιστείχουσι, θάνατον τοῖς παραπλέουσιν ἀπειλοῦντες· διατελεῖ δὲ τὸ μὲν ἥμισυ τοῦ σώματος ἐς τὸ σπήλαιον καταδεδυκυῖα· τὰς δὲ κεφαλὰς προανίσχουσα καιροφυλακτούσας· θηρεύει δὲ ἰχθὺς, Δελφῖνάς τε, καὶ κύνας θαλαττίους· εἴποτε δὲ καὶ κῆτος· ὧν πολύ τι χρῆμα τρέφει αὐτοῦ ἡ πολύστονος Ἀμφιτρίτη. Οὐκοῦν οὐκ ἔσθ' ὃς ἂν τῶν ναυτῶν σεμνύνοιτο ταύτην ἀσινῶς τὸ σύνολον παραπεπλευκέναι· ἀνάγκη γὰρ τοσούτους τῆς παραπλεούσης ἂν ἀναρπασθῆναι νεὼς, ὅσαι αἱ τοῦ θηρὸς εἰσὶ κεφαλαί. Καὶ ταῦτα μὲν οὕτως ἔχει.

Ἡ δ' αὖ ἑτέρα ἐς τὸ ἀντιπέρας προσγειοτέρα πολλῷ ἐστι· καὶ οὐκ ἂν τόξου βολῆς ἐπέκεινα τὴν κορυφὴν ὑπερτείνοιτο· Ἔστι δ' οὖν ἐπ' αὐτῆς ἐρινεὸς εὐθαλὴς καὶ μέγας, ἐπὶ πολὺ τῆς θαλάσσης τοὺς ἑαυτοῦ καθυφεὶς ἀκρέμονας· ὑφ' ἣν ἡ Χάριϐδις κεῖται, τρὶς ἑκάστης ἡμέρας μέλαν ἀναῤῥοφῶσα ὕδωρ, καὶ πάλιν ἀναδιδοῦσα. Ταῦτ' οὖν φυλάξασθαι χρὴ, ὦ Φαίδιμε Ὀδυσσεῦ, μὴ ἐς τοῦτ' ἀφίκῃ, ὁπότε ἀναῤῥιϐδήσειεν· οὐδὲ γὰρ αὐτός σε Ποσειδῶν ἀναρπάσειε τοῦ κινδύνου· ἄμεινον οὖν πρὸς τῇ Σκύλλῃ μᾶλλον παρεγκλίναντα διαπλεῦσαι, ἢ ἑτέρωθεν παρὰ τῇ Χαρίϐδει· ἔλαττον γὰρ κακὸν ἓξ τῶν ἑταίρων αὐτοῦ, ἢ πάντας ἐκεῖ συναπόλυσθαι. Ταῦτα εἶπεν ἐκείνη.

Πυνθανομένου δὲ ἐμοῦ, καὶ τρόπον ζητοῦντος παρὰ τῆς θεοῦ, ὅτῳ μηχανησάμενος τὴν μὲν ὑπεκφύγοιμι, τὴν δὲ Σκύλλαν καὶ ἀμυναίμην, σχέτλιε, ἔφη ἐκείνη, κἀνταῦθα πολέμων αὖθις καὶ ἀγώνων λογισμοὺς ἀνελίττεις, καὶ ἀθα-

---

φέρει. 102. Διοϊστεύσειας] καὶ βαλὼν τόξῳ, ὑπερβάλοις ἂν αὐτήν. 103, Ἐρινεὸς] ἀγρία συκῆ. 104. Ἀναῤῥοιϐδεῖ.] ἀναῤῥοφᾷ. 105. Ἀνίησιν] ἀναπέμπει, εὐναῤῥιπτεῖ, 108. Πεπλημένος] προσπελάζων. 110, Ποθήμεναι] ποθῆσαι, στερηθῆναι. 113 Ὑπεκπροφύγοιμι] ἡ μὲν Ὑπὸ δηλούτω τὸ Κρύφα.

Ἡ δέ τοι οὐ θνητὴ, ἀλλ' ἀθάνατον κακόν ἐςιν
Δεινόν τ', ἀργαλέον τε, καὶ ἄγριον, οὐδὲ μαχητόν·
Οὐδέ τίς ἐςὶ ἀλκή· φυγέειν κάρτιςον ἀπ' αὐτῆς.
Ἢν γὰρ δηθύνησθα κορυσσόμενος παρὰ πέτρῃ,
Δείδω μή σ' ἐξαῦτις ἐφορμηθεῖσα, κίχησιν
Τόσσῃσιν κεφαλῇσι, τόσους δ' ἐκ φῶτας ἕληται.
Ἀλλὰ μάλα σφοδρῶς ἐλάαν, βωςρεῖν δὲ Κραταιΐν,
Μητέρα τῆς Σκύλλης, ἥ μιν τέκε πῆμα βροτοῖσιν·
Ἥ μιν ἔπειτ' ἀποπαύσει ἐς ὕςερον ὁρμηθῆναι.
Θρινακίην δ' ἐς νῆσον ἀφίξεαι· ἔνθα δὲ πολλαὶ
Βόσκοντ' Ἠελίοιο βόες καὶ ἴφια μῆλα,
Ἑπτὰ βοῶν ἀγέλαι, τόσα δ' οἰῶν πώεα καλὰ,
Πεντήκοντα δ' ἕκαςα· γόνος δ' οὐ γίγνεται αὐτῶν,
Οὐδέ ποτε φθινύθουσι· θεαὶ δ' ἐπιποιμένες εἰσὶν,
Νύμφαι ἐϋπλόκαμοι, Φαέθουσά τε, Λαμπετίη τε,
Ἃς τέκεν Ἠελίῳ Ὑπερίονι δῖα Νέαιρα.
Τὰς μὲν ἄρα θρέψασα, τεκοῦσά τε πότνια μήτηρ
Θρινακίην ἐς νῆσον ἀπῴκισε τηλόθι ναίειν,
Μῆλα φυλασσέμεναι πατρώϊα καὶ ἕλικας βοῦς.
Τὰς εἰ μέν κ' ἀσινέας ἐάας, νόςου τε μέδηαι,
Ἦ τ' ἂν ἔτ' εἰς Ἰθάκην, κακά περ πάσχοντες, ἵκοισθε·
Εἰ δέ κε σίνηαι, τότε τοι τεκμαίρομ' ὄλεθρον
Νηΐ τε καὶ ἑτάροις· αὐτὸς δ' εἴ πέρ κεν ἀλύξῃς,
Ὀψὲ κακῶς νεῖαι, ὀλέσας ἄπο πάντας ἑταίρους.
Ὣς ἔφατ'· αὐτίκα δὲ χρυσόθρονος ἤλυθεν Ἠώς.
Ἡ μὲν ἔπειτ' ἀνὰ νῆσον ἀπέςιχε δῖα θεάων.

ἡ δὲ Ἐκ, τὸ ἔξω· ἡ δὲ Πρὸ, τὸ πρὶν ἐκείνην αἰσθέσθαι· 120. Ἀλκὴ] ἀλέξησις καὶ βοήθεια, 121. Δηθύνησθα] διατρίψῃς. 124. Βωστρεῖν] μέγα βοᾷν. ἐπικαλεῖσθαι τὴν μητέρα αὐτῆς Κραταιΐν. ἣν καὶ Ἑκάτην καλοῦσι. 130. Πεντήκοντα δὲ ἕκαστα] ἕκαστον πῶϋ, ὅ ἐστι ποίμνιον, ἀνὰ πεντήκοντα ἆ

νάτοις οὐ θέλεις ὑπείκειν; εἰ οὐκ οἶσθα τὸ κακὸν τοῦτ' ἀθάνατον ὂν, ἀργαλέον, ἄγριον, καὶ ὅλως ἀκαταμάχητον; πρὸς ὃ οὐκ ἂν εἴη, ὅςτις ἂν ἰσχὺν ἀντιτάξειεν ἴσην· οὐδέγε σωθείη, ὅςτις ἂν μὴ φυγῇ διώκῃ τὸ σώζεσθαι· εἰ γὰρ πρὸς τῇ πέτρᾳ γένοιο παραπλέων, δέδοικα μὴ καιρὸν λαβοῦσα τὴν σὴν αὐτόθι διατριβὴν ἐν τοῖς ὅπλοις, τοσούτους ἀναρπάσῃ σοι τῶν ἑταίρων, ὅσαι ὑπάρχουσιν αὐτῇ κεφαλαί· Ταῦτ' ἄρα ταχύνειν σε δεῖ τὸν διέκπλουν, ὅσον ἂν οἷόν τε ᾖ, Κραταιὶν μεμνημένον ἐπικαλεῖσθαι, ἣ τὸ δεινὸν τοῦτο ἔτεκε τοῖς βροτοῖς· αὕτη γὰρ κωλύσειεν ἂν ἐκείνην τῆς ἐπιθέσεως· εἶεν ταῦτα. Ἐκ δὲ τούτου ἀφίξῃ εἰς Θρινακίαν τὴν νῆσον· ἐν ᾗ πολλαὶ βόες καὶ ὄϊς νέμονται τῷ Ἡλίῳ, ἑπτὰ μὲν βοῶν ἀγέλαι, τοσαίδε δὲ καὶ ποῖμναι προβάτων· ὧν ἑκάστη τάξις ἔχει ἀνὰ πεντήκοντα, οὔτε γεννώμενα ταῦτα, οὔτε μὴν φθίνοντα πώποτε. Νύμφαι δὲ ποιμένουσι ταῦτα, Φαέθουσά τε καὶ Λαμπετία· ἃς Νέαιρα τεκοῦσα Ἡλίῳ, καὶ ἀναθρέψασα, ἔπεμψεν ἐς τὴν νῆσον ταύτην τὰ πατρῷα ποίμνια φυλαξούσας· Εἴτις οὖν ὑμῖν πόθος ἐστὶ πατρίδος, ἀπέχεσθε ἰσχυρῶς τοῦ τὰς βοῦς ταύτας βλάπτειν, εἰ μέλει ὑμῖν εἰς Ἰθάκην ἐλθεῖν· ἄλλως γὰρ εἰ καὶ μικρὸν τούτων ἅψαισθε, οὐκέθ' ὁρῶ ὑποῦσαν ἡμῖν οὐδεμίαν ἐλπίδα σωθήσεσθαι· τοὐναντίον δὲ, τῇ τε νηῒ καὶ τοῖς ἑταίροις ἅπασιν ὄλεθρον ἐσόμενον φανερόν· αὐτὸς δ', εἴγ' ἀμηγέπως ἐκφύγοις ἐνταῦθα τὸν κίνδυνον, ὀψὲ πολλῷ ἥξεις εἰς φίλην πατρίδα, αὐτός τε πολλὰ παθὼν, καὶ τοὺς ἑταίρους ἅπαντας ἀπολέσας. Ἐκείνη μὲν ταῦτα ἔφη..

Ἐκ δὲ τούτου, τῆς χρυσοθρόνου Ἠοῦς ἤδη διαγελώσης ἐπὶ τοῦ ὁρίζοντος, ἡ μὲν θεὸς ἀνεχώρησεν οἴκαδε· ἐγὼ δ' ἐπα-

---

συμποσούμενα, συνάγονται τριακόσια πεντήκοντα· ἃς τὰς ἡμέρας τοῦ ἔτους

Αὐτὰρ ἐγὼν ἐπὶ νῆα κιὼν, ὤτρυνον ἑταίρους
Αὐτούς τ' ἀμβαίνειν ἀνά τε πρυμνήσια λῦσαι.
Οἱ δ' αἶψ' εἴσβαινον, καὶ ἐπὶ κληῖσι κάθιζον.
Ἑξῆς δ' ἑζόμενοι, πολιὴν ἅλα τύπτον ἐρετμοῖς.
Ἡμῖν δ' αὖ κατόπισθε νεὸς κυανοπρώροιο
Ἴκμενον οὖρον ἵει πλησίστιον, ἐσθλὸν ἑταῖρον,
Κίρκη ἐϋπλόκαμος, δεινὴ θεὸς, αὐδήεσσα.
Αὐτίκα δ' ὅπλα ἕκαστα πονησάμενοι κατὰ νῆα
Ἥμεθα· τὴν δ' ἄνεμός τε, κυβερνήτης τ' ἴθυνεν.
Δὴ τότ' ἐγὼν ἑτάροισι μετηύδων, ἀχνύμενος κῆρ·
Ὦ φίλοι· οὐ γὰρ χρὴ ἕνα ἴδμεναι, οὐδὲ δύ' οἴους
Θέσφαθ', ἅ μοι Κίρκη μυθήσατο, δῖα θεάων·
Ἀλλ' ἐρέω μὲν ἐγὼν, ἵνα εἰδότες, ἤ κε θάνωμεν,
Ἤ κεν ἀλευάμενοι θάνατον καὶ Κῆρα, φύγοιμεν.
Σειρήνων μὲν πρῶτον ἀνώγει θεσπεσιάων
Φθόγγον ἀλεύασθαι, καὶ λειμῶν' ἀνθεμόεντα·
Οἶον ἔμ' ἠνώγει ὄπ' ἀκουέμεν· ἀλλά με δεσμῷ
Δήσατ' ἐν ἀργαλέῳ, ὄφρ' ἔμπεδον αὐτόθι μίμνω.
Ὀρθὸν ἐν ἱστοπέδῃ, ἐκ δ' αὐτοῦ πείρατ' ἀνήφθω.
Αἰ δέ κε λίσσωμαι ὑμέας, λῦσαί τε κελεύω,
Ὑμεῖς δὲ πλεόνεσσι τότ' ἐν δεσμοῖσι πιέζειν.
Ἤτοι ἐγὼ τὰ ἕκαστα λέγων ἑτάροισι πίφαυσκον·
Τόφρα δὲ καρπαλίμως ἐξίκετο νηῦς εὐεργὴς
Νῆσον Σειρήνοιϊν· ἔπειγε γὰρ οὖρος ἀπήμων·
Αὐτίκ' ἔπειτ' ἄνεμος μὲν ἐπαύσατο ἠδὲ γαλήνη,
Ἔπλετο νηνεμίη· κοίμησε δὲ κύματα δαίμων,
Ἀνστάντες δ' ἕταροι, νεὸς ἱστία μηρύσαντο.
Καὶ τὰ μὲν ἐν νηῒ γλαφυρῇ θέσαν· οἱ δ' ἐπ' ἐρετμὰ
Ἑζόμενοι, λεύκαινον ὕδωρ ξεστῇς ἐλάτῃσιν.
Αὐτὰρ ἐγὼ κηροῖο μέγαν τροχὸν ὀξέϊ χαλκῷ
Τυτθὰ διατμήξας, χερσὶ στιβαρῇσι πιέζευν·
Αἶψα δ' ἰαίνετο κηρὸς, ἐπεὶ κέλετο μεγάλη ἲς,

νελθὼν εἰς τὴν ναῦν, ἐκέλευσα τοὺς ἑταίρους λύσαι τὰ πρυμνήσια ἐπιβάντας· τούτου δὲ εὐθὺς γενομένου, καθίσαντες ἑξῆς ἐν τοῖς ἐδωλίοις, ἤνυον εἰρεσίᾳ ἰόντες τοῦ πρόσω· ὡς δὲ προϊοῦσιν ὑμῖν οὔριον πνεῦμα ἀνῆκεν ὄπισθεν ἡ θεὸς, ἀποστάντες τῶν ἐρετμῶν, καὶ ἐν κόσμῳ θέμενοι ἕκαστα, ἐκαθήμεθα, τῆς νεὼς μόνῳ κυβερνημένης τῷ πνεύματι· Οὕτως οὖν ὑμῖν τῶν πραγμάτων ἐχόντων, ἄγετ᾽, ὦ φίλοι, ἔφην τοῖς ἑταίροις ἐγὼ, ὑμῖν εἴπω, ἃ τυγχάνω ἀκούσας σωτήρια παρὰ τῆς θεοῦ· δεῖ γὰρ πάντας ὑμᾶς εἰδέναι, καὶ ταῦτα νῦν γε μεταξὺ ζωῆς καὶ θανάτου χωροῦντας· ἡ γὰρ θεὸς πρῶτον τὴν τῶν Σειρήνων φωνὴν, καὶ ὃν ἐκεῖναι κατοικοῦσι λειμῶνα, κελεύει φυλάξασθαι· ἀλλ᾽ οὐ πάντας ὁμοίως· ἀλλ᾽ ἐμὲ συγχωρεῖ ἀκοῦσαι τοῦ μέλους, δεδεμένος ὑφ᾽ ὑμῶν πρότερον ἰσχυρῶς παρὰ τῇ ἱστοδόκῃ δεσμοῖς ἀλύτοις· κἂν ποθ᾽ ὑμῶν δεήσωμαι ἀφεθεῖναι, προσπεριθέντες ὑμᾶς τῶν δεσμῶν, φυλάττειν με ἀφύκτως.

Ταῦτα δέ μου προλέγοντος, ἀφίκετο ἡ ναῦς πρὸς τῇ νήσῳ, ὑπὸ σφοδροτέρου τοῦ πνεύματος φερομένη· κἂν τούτῳ γαλήνης ἐπιγιγνομένης, τά τε πνεύματα καὶ τὰ κύματα κατεστόρησεν αἴφνης· οἱ δὲ περιστείλαντες τὰ ἱστία, κατέθεντο κατὰ χώραν· καὶ λαβόμενοι τῶν κωπῶν, ἔτεινον σὺν προθυμίᾳ τοῦ πρόσω· ἐγὼ δὲ, χόνδρον κηροῦ λαβὼν διατεμὼν εἰς λεπτὰ, χερσί τε στιβαραῖς διαμαλάξας πρὸς

εἶναι εἰκάζουσι. 170. Πηρήσαντο] συνέστειλαν διὰ τῶν σχοινίων. 172 Ξεστῇς ἐλάτῃσι] ταῖς κώπαις· παρὰ τὸ ἐξ ἐλάτης τοῦ δένδρου εἶναι, εἴ μήτι παρὰ τὸ ἐλαύνειν τὸ ἐρέττειν· ὅθεν καὶ ἐλατὴρ ὁ ἐρέτης. 173. Τροχὸν ποσότης τροχοειδὴς παντὸς πράγματος, μετάλλου μάλιστα, τροχὸς λέγεται. 174. Πιέζευν] ἐπίεσα, ἐμάλαξα. 175. Ἰαίνετο] ἐθερμαίνετο ὑπείκων τῇ

Ηελίου τ' αὐγὴ Ὑπεριονίδαο ἄνακτος·
Ἑξείης δ' ἑτάροισιν ἐπ' οὔατα πᾶσιν ἄλειψα.
Οἱ δ' ἐν νηΐ μ' ἔδησαν ὁμοῦ χεῖράς τε, πόδας τε,
Ὀρθὸν ἐν ἱςοπέδῃ, ἐκ δ' αὐτοῦ πείρατ' ἀνῆπτον·
Αὐτοὶ δ' ἑζόμενοι, πολιὴν ἅλα τύπτον ἐρετμοῖς.
Ἀλλ' ὅτε τόσσον ἀπῆμεν, ὅσον τε γέγωνε βοήσας,
Ῥίμφα διώκοντες, τὰς δ' οὐ λάθεν ὠκύαλος νηῦς
Ἐγγύθεν ὀρνυμένη· λιγυρὴν δ' ἔντυνον ἀοιδήν·
Δεῦρ' ἄγ' ἰὼν, πολύαιν' Ὀδυσσεῦ, μέγα κῦδος Ἀχαιῶν,
Νῆα κατάςησον, ἵνα νωϊτέρην ὄπ' ἀκούσῃς.
Οὐ γάρ πώ τις τῇδε παρήλασε νηῒ μελαίνῃ,
Πρίν γ' ἡμέων μελίγηρυν ἀπὸ ςομάτων ὄπ' ἀκοῦσαι·
Ἀλλ' ὅγε τερψάμενος νεῖται, καὶ πλείονα εἰδώς.
Ἴδμεν γάρ τοι πάνθ', ὅσ' ἐνὶ Τροίῃ εὐρείῃ
Ἀργεῖοι, Τρῶές τε θεῶν ἰότητι μόγησαν·
Ἴδμεν δ', ὅσσα γένηται ἐπὶ χθονὶ πουλυβοτείρῃ.
Ὣς φάσαν, ἱεῖσαι ὄπα κάλλιμον· αὐτὰρ ἐμὸν κῆρ
Ἤθελ' ἀκουέμεναι, λῦσαί τ' ἐκέλευον ἑταίρους,
Ὀφρύσι νευςάζων· οἱ δὲ προπεσόντες ἔρεσσον.
Αὐτίκα δ' ἀνςάντες Περιμήδης Εὐρύλοχός τε,
Πλείοσί μ' ἐν δεσμοῖσι δέον, μᾶλλόν τε πιέζευν.
Αὐτὰρ ἐπειδὴ τάςγε παρήλασαν, οὐδ' ἔτ' ἔπειτα
Φθογγῆς Σειρήνων ἠκούομεν, οὐδέ τ' ἀοιδῆς,
Αἶψ' ἀπὸ κηρὸν ἕλοντο ἐμοὶ ἐρίηρες ἑταῖροι,
Ὅν σφιν ἐπ' ὠσὶν ἄλειψ', ἐμέ τ' ἐκ δεσμῶν ἀνέλυσαν.
Ἀλλ' ὅτε δὴ τὴν νῆσον ἐλείπομεν, αὐτίκα ἔπειτα
Καπνὸν καὶ μέγα κῦμα ἴδον, καὶ δοῦπον ἄκουσα·

δυνάμει τῶν χειρῶν. 183. Ἔντυνον] ἐνέτεινεν, ἔψαλον. 185. Νωϊτέραν] τὴν

τὴν τοῦ ἡλίου ἀλέαν, ἀπέδυσα τοῖς ἑταίροις τὰ ὦτα, ἐμφράξας ἐπιμελῶς· οἱ δὲ καὶ αὐτοὶ ἔδεσάν με ἐν μέρει ἀφύκτως χεῖρας τε καὶ πόδας ἀλύτοις δεσμοῖς ἀπὸ τῆς ἱςοδόκης· εἶθ' οὕτω καθίσαντες, ἤρεσσον.

Ὡς δὲ ἐγενόμεθα ἐγγυτέρω τῆς νήσου, ὅσον φωνὴν ἀφικνεῖσθαι, πολλῷ τῷ ῥοθίῳ χωροῦντες, οὐκ ἐλάθομεν ἐν τῷ παραμείβειν· ὡς γὰρ εἶδον ἡμᾶς παραλλάττοντας τὴν νῆσον, ἐπεβάλοντό με καλεῖν, Δεῦρ' ἄγε ἰὼν, πολύαινε Ὀδυσσεῦ, μέγα κῦδος Ἀχαιῶν· ἄγε ὁρμίζου τῇ νηῒ πρὸς ἡμᾶς, ὅπως ἂν καὶ αὐτὸς τῆς τῶν λόγων ἡμῶν ἡδονῆς ἀπολαύσειας· οὐ γὰρ ἔσθ' ὅςτις παρελάσας ἐντεῦθεν, τῆς τῶν ἡμετέρων λόγων ᾠδῆς παρῆλθεν ἀνήκουστος, πρὶν ἂν ἡσθεὶς τῷ μέλει, καὶ ἡδέως διατεθεὶς, καὶ ἄλλα μάθη πολλά· ἡμεῖς γὰρ τά τ' ἄλλα, ὅσα γε ἐπὶ γῆς διαπράττεται, ἴσμεν ἅπαντα, καὶ τὰ ἐν Τροίᾳ βουλῇ θεῶν συμβάντα τοῖς Ἕλλησιν. Ἐκεῖναι μὲν ταῦτα ὡς λιγυρᾷ καὶ ἐπαγωγῷ τῇ φωνῇ εἰρήκασι πρὸς ἐμέ.

Ἐγὼ δὲ κάτοχος ὅλως τῷ πάθει γενόμενος, ἐγλιχόμην ἀκούειν· καὶ ἐκέλευον τοῖς νεύμασιν ἰσχυρῶς τοὺς ἑταίρους με λῦσαι· τῶν δὲ οἱ μὲν ἀθρόοι ἐμπεσόντες τῷ ῥοθίῳ, παρήλλαττον τὴν νῆσον προθύμως. Εὐρύλοχος δὲ καὶ Περιμήδης, ἀναστάντες, περιέθηκάν μοι καὶ πλείω ἔτι δεσμά· καὶ προσωτέρω ἤδη γενόμενοι, ὅθεν οὐκέτ' οὔτε φωνῆς, οὔτ' ᾠδῆς ἐξῆν ἡμῖν ἀκούειν, αὐτοί τε πρῶτοι τὸν κηρὸν τῶν ὤτων παρείλοντο, κἀμὲ ἀκινδύνως τουγε λοιποῦ ἀπήλλαξαν τῶν δεσμῶν. Ὡς δὲ ἀπολιπόντες τὴν νῆσον, πέλαγος διεβάλομεν, αἴφνης ὁρῶ τὸ κῦμα μεγαλυνόμενον, καὶ καπνὸν σὺν δούπῳ μεγίστῳ πρόσω τῆς νεὼς ἀνιόντα ἐκεῖθεν· ὥςε καὶ τὰ πέριξ μύχιον ἐπεβόμβει, καὶ οὐκ εἴχομεν μαθεῖν τὸ γιγνόμενον

ἡμετέραν· κἀκ τούτου δὲ δῆλον, ὡς δύο Σειρῆνας ἐθέλει ὁ ποιητής· ἴδε

Τῶν δ' ἄρα δεισάντων ἐκ χειρῶν ἔπτατ' ἐρετμά·
Βόμβησαν δ' ἄρα πάντα κατὰ ῥόον· ἔσχετο δ' αὐτοῦ
Νηῦς, ἐπεὶ οὐκέτ' ἐρετμὰ προήκεα χερσὶν ἔπειγαν.
Αὐτὰρ ἐγὼ διὰ νηὸς ἰὼν, ὤτρυνον ἑταίρους
Μειλιχίοις ἐπέεσσι παρασταδὸν ἄνδρα ἕκαστον·
Ὦ φίλοι, οὐ γάρ πώ τι κακῶν ἀδαήμονές εἰμεν·
Οὐ μὲν δὴ τόγε μεῖζον ἔπι κακὸν, ἢ ὅτε Κύκλωψ
Εἴλει ἐνὶ σπῆϊ γλαφυρῷ κρατερῆφι βίηφιν·
Ἀλλὰ καὶ ἔνθεν ἐμῇ ἀρετῇ, βουλῇ τε, νόῳ τε,
Ἐκφύγομεν· καί που τῶνδε μνήσεσθαι ὀΐω.
Νῦν δ' ἄγεθ', ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες.
Ὑμεῖς μὲν κώπῃσιν ἁλὸς ῥηγμῖνα βαθεῖαν
Τύπτετε κληΐδεσσιν ἐφήμενοι, αἴ κέ ποθι Ζεὺς
Δώῃ τόνδε γ' ὄλεθρον ὑπεκφυγέειν καὶ ἀλύξαι.
Σοὶ δὲ, κυβερνῆθ', ὧδ' ἐπιτέλλομαι· ἀλλ' ἐνὶ θυμῷ
Βάλλευ, ἐπεὶ νηὸς γλαφυρῆς οἰήϊα νωμᾷς·
Τούτου μὲν καπνοῦ καὶ κύματος ἐκτὸς ἔεργε
Νῆα· σὺ δὲ σκοπέλου ἐπιμαίεο, μή σε λάθησιν
Κεῖσ' ἐξορμήσασα, καὶ ἐς κακὸν ἄμμε βάλησθα.
Ὣς ἐφάμην· οἱ δ' ὦκα ἐμοῖς ἐπέεσσι πίθοντο.
Σκύλλην δ' οὐκέτ' ἐμυθεόμην, ἄπρηκτον ἀνίην,
Μή πώς μοι δείσαντες ἀπολλήξειαν ἑταῖροι
Εἰρεσίης, ἐντὸς δὲ πυκάζοιεν σφέας αὐτούς.
Καὶ τότε δὴ Κίρκης μὲν ἐφημοσύνης ἀλεγεινῆς
Λανθανόμην, ἐπεὶ οὔτι μ' ἀνώγει θωρήσσεσθαι·
Αὐτὰρ ἐγὼ καταδὺς κλυτὰ τεύχεα καὶ δύο δοῦρε
Μάκρ' ἐν χερσὶν ἑλὼν, εἰς ἴκρια νηὸς ἔβαινον
Πρώρης· ἔνθεν γάρ μιν ἐδέγμην πρῶτα φανεῖσθαι

ἀνωτέρω. στίχ. 39. σχολ. — 205. Προήκεα] προτεταμένα. 218. Οἰήϊα

ὅ,τι εἴη· οἱ δὲ καὶ τοσούτῳ κατεσχέθησαν φόβῳ ἐπὶ τῷ παραδόξῳ, ὥστ' ἐξέπεσον αὐτοῖς τὰ ἐρετμὰ τῶν χειρῶν· καὶ ἡ ναῦς, παυθείσης ἤδη τῆς εἰρεσίας, ἠτρέμει ὅλως. Ταῦτα τοίνυν ὁρῶντί μοι ἐπῆλθεν ἐνθαῤῥύναι, ὅσον οἷόν τε, τοὺς ἑταίρους· καὶ δὴ παραμείβων ἑκάστους διὰ τῆς νεὼς, καὶ πρᾳοτέροις λόγοις χρησάμενος, ὦ φίλοι, ἔφην, ἴσθ' ὑμεῖς γε, ὡς οὐ νῦν πρῶτον πεῖραν κακῶν ἐσμὲν εἰληφότες· πολὺ γὰρ μεῖζον τὸ τοῦ Κύκλωπος πάθος· καὶ ὅμως τῇ ἐμῇ δυνάμει καὶ ἀγχινοίᾳ διαπεφεύγαμεν, εἰ μὴ ὑμεῖς γε παντάπασιν ἐπελάθεσθε, ὧν ἐκεῖ ἐσμὲν πεπονθότες· ἀλλ' ἄγετ' ἔτι καὶ νῦν τοῖς ἐμοῖς λόγοις πείθεσθε· δεῖ δὲ τοὺς μὲν ἄλλους ὑμῶν καθημένους ἐν τοῖς ἑδωλίοις ἐρέσσειν, εἴποθεν ὁ Ζεὺς σωτηρίαν παράσχοι· σὲ δὲ τὸν κυβερνήτην (καί μοι πρόσχες τὸν νοῦν, οἷς ἐρῶ· σὺ γὰρ τὸ πηδάλιον ἐμπεπίστευσαι.) τούτου μὲν τοῦ καπνοῦ καὶ τοῦ κύματος παρεξάγοντα, ἰθύνειν τὴν ναῦν δευρὶ ὡς ἐπὶ τὴν σκόπελον μὲν ταυτηνὶ, μικρὸν δὲ παρεγκλίνειν καὶ ταύτης, ἵνα μὴ εἰς χεῖρον κακὸν ἡμᾶς περιστήσῃς, προσαράξας πρὸς τῇ πέτρᾳ τὸ πλοῖον. Ταῦτα μὲν ἐγώ.

Οἱ δὲ ὀξέως τοῖς ἐμοῖς χρησάμενοι παραγγέλμασιν, ἤρεσσον· τέως γὰρ τὸ τῆς Σκύλλης ἔκειτο ἀπόῤῥητον ἐν ἐμοί· δέος γὰρ ὑπῆν μοι, μήτι πτήξαντες τὸ θηρίον, κατα δύσωντα εἰς τὴν ναῦν, χαίρειν τῷ ἐρέσσειν εἰπόντες· ἐγὼ δ' ἐν τούτῳ παραβάς τι τῶν τῆς Κίρκης παραγγελμάτων (καὶ γὰρ ἀπείρηκέ μοι ἐκείνη ὅλως ὁπλίσασθαι), καταδὺς εἰς τὴν ναῦν, τά θ' ὅπλα θέμενος, καὶ δύο τῶν δοράτων ἀναλαβὼν, ἀναβὰς πάλιν, παρεφύλαττον, εὖ μάλα διαβεβηκὼς ἐν τῇ πρῴρᾳ,

---

νωμᾷς] τοὺς οἴακας κινεῖς, ἰθύνεις. 219. Καπνοῦ] τὸν ἐκ τῆς Χαρύβδεως ἐννοεῖ. 225. Πυκάζοιεν] καλύπτοιεν, κρύπτοιεν. 226. Ἐφημοσύνης] τῆς

Σκύλλην πετραίην, ἥ μοι φέρε πῆμ' ἑτάροισιν.
Οὐδέ πῃ ἀθρῆσαι δυνάμην· ἔκαμον δέ μοι ὄσσε
Πάντῃ παπταίνοντι πρὸς ἠεροειδέα πέτρην.
Ἡμεῖς δὲ στεινωπὸν ἀνεπλέομεν γοόωντες·
Ἔνθεν μὲν γὰρ Σκύλλ', ἑτέρωθι δὲ δῖα Χάρυβδις
Δεινὸν ἀνεῤῥοίβδησε θαλάσσης ἁλμυρὸν ὕδωρ.
Ἤτοι ὅτ' ἐξεμέσειε, λέβης ὣς ἐν πυρὶ πολλῷ
Πᾶσ' ἀνεμορμύρεσκε κυκωμένη· ὑψόσε δ' ἄχνη
Ἄκροισι σκοπέλοισιν ἐπ' ἀμφοτέροισιν ἔπιπτεν.
Ἀλλ' ὅτ' ἀναβρόξειε θαλάσσης ἁλμυρὸν ὕδωρ,
Πᾶσ' ἔντοσθε φάνεσκε κυκωμένη· ἀμφὶ δὲ πέτρη
Δεινὸν ἐβεβρύχει· ὑπένερθε δὲ γαῖα φάνεσκεν
Ψάμμῳ κυανέῃ· τοὺς δὲ χλωρὸν δέος ᾕρει.
Ἡμεῖς μὲν πρὸς τὴνδ' ἴδομεν, δείσαντες ὄλεθρον.
Τόφρα δέ μοι Σκύλλη κοίλης ἐκ νηὸς ἑταίρους
Ἓξ ἕλεθ', οἳ χερσίν τε βίηφί τε φέρτατοι ἦσαν.
Σκεψάμενος δ' ἐς νῆα θοὴν ἅμα καὶ μεθ' ἑταίρους,
Ἤδη τῶν ἐνόησα πόδας καὶ χεῖρας ὕπερθεν,
Ὑψόσ' ἀειρομένων· ἐμὲ δὲ φθέγγοντο καλεῦντες
Ἐξονομακλήδην, τότε γ' ὕστατον ἀχνύμενοι κῆρ.
Ὡς δ' ὅτ' ἐπὶ προβόλῳ ἁλιεὺς περιμήκεϊ ῥάβδῳ
Ἰχθύσι τοῖς ὀλίγοισι δόλον κατὰ εἴδατα βάλλων
Ἐς πόντον προΐησι βοὸς κέρας ἀγραύλοιο,
Ἀσπαίροντα δ' ἔπειτα λαβὼν, ἔῤῥιψε θύραζε·
Ὣς οἵγ' ἀσπαίροντες, ἀείροντο προτὶ πέτρας·
Αὐτοῦ δ' εἰνὶ θύρῃσι κατήσθιε κεκλήγοντας,
Χεῖρας ἐμοὶ ὀρέγοντας ἐν αἰνῇ δηϊοτῆτι.

ἐντολῆς. ὡς εἴρηται αὐτῇ ἀνωτέρω: στίχ. 115. Καὶ ἑξῆς. 230. Ἐδέγμην προσεδόκουν. 228. Ἀνεμορμύρεσκε] ἀνεδίδου, ἀνέζει. 240, Ἀναβρόξειε]

ὅθεν ἐλπὶς ἦν φανήσεσθαι τὴν Σκύλλαν πρῶτον προκύπτουσαν· ἔκαμον δ' οὖν ἐνατενίζων ἀσκαρδαμυκτεὶ πρὸς τὴν σκόπελον ἄνω. Ὡς δὲ ἐντὸς ἐγενόμεθα τοῦ στενοῦ, οὐκέτ' εἴχομεν, ὅπως μὴ κοπτώμεθα γόοις· τὶ γὰρ ἂν καὶ φυλαξαίμεθα πρῶτον, ἔνθα μὲν τῆς Σκύλλης ἐπαπειλούσης, ἔνθα δὲ τῆς Χαρίβδεως οὕτως ἀναῤῥοφούσης τὸ ὕδωρ, ὥστε καὶ φρίκην ἡμῖν ἐμποιεῖν τὴν μεγίστην; ὁπότε γὰρ ἐξεμέσειεν αὕτη, ἀνεκυκᾶτο πᾶσα ἡ θάλασσα, ἀναβράζουσα, οἷον ὕδωρ ἐν λέβητι κατεπήξει κάτωθεν τοῦ πυρός· καὶ πολύ τι χρῆμ' ἀχλύος ἔςγε τὰς τῶν σκοπέλων κορυφὰς ἑωρᾶτο ἀνιὸν ἑκατέρωθεν· ὁπότε δ' αὖ πάλιν ἀναῤῥοφήσειεν, αἵ τε ἀκταὶ δεινὸν παρείχοντο δοῦπον, καὶ ἡ θάλασσα ἀποῤῥοφουμένη μέχρι τῆς ἀβύσσου, οὐδὲν ἀλλ' ἢ τοῦτ' ἦν, χέρσος ψάμμῳ μελαίνῃ κεκαλυμμένη. Ἐν τούτῳ τοίνυν ἐμείναμεν κεχηνότες, ὅλως συσχεθέντες τῷ δέει· κἀν τούτῳ ἡ Σκύλλα, καθιεῖσα τὰς κεφαλὰς ὅσον τάχος, ἓξ τῶν ἑταίρων ἀνήρπασε τοὺς ἀρίστους· κἀγὼ στρέψας εὐθὺς πρὸς τὸν θόρυβον, ὀψόμενος ὅ,τι εἴη, ὁρῶ τοὺς πόδας καὶ τὰς χεῖρας αὐτῶν αἰρομένων ὑψόσε, καὶ ὀνομαστὶ φωνούντων με τὸ ἔσχατον ἤδη· καθάπερ γὰρ ἁλιεὺς, ἐπὶ προβλῆτος καθήμενος πέτρας, δόλωμα περιθεὶς τῷ ἀγκίστρῳ, καὶ τὴν ὁρμιὰν καθεὶς εἰς τὴν θάλασσαν, παρεσπάσατο ἐκεῖθεν ἀσπαίροντα τὸν ἰχθὺν εἰς τὴν χέρσον· οὕτως ἑώρων ἐκείνους ἀσκαρίζοντας ἐν τῷ μετεώρῳ· καὶ τελευταῖον πρὸς αὐτῇ τῇ τοῦ ἄντρου εἰσόδῳ σπαραττομένους, καὶ κράζοντας, καί μοι χεῖρας ὀρέγοντας·

ἀναῤῥοφήσειε. 242. Ἐβεβρύχει] ἦχει. 244. Πρὸς τήνδε [δρομεν] ἀπεβλέπομεν πρὸς αὐτήν. 253. Βοὸς κέρας] αὐτὴν τὴν ὁρμιὰν λέγει· κέρας γάρ φησιν ἐμβάλλειν τοὺς ἁλιεῖς μεταξὺ ἀγκίστρου καὶ ὁρμιᾶς, ἵνα μὴ καταπιόντες οἱ ἰχθύες τὸ ἄγκιστρον, κόψωσι τὴν ὁρμιάν. 257. Δηϊοτῆτι] μάχῃ.

Οἴκτιστον δὴ κεῖνο ἐμοῖς ἴδιον ὀφθαλμοῖσιν
Πάντων, ὅσσ' ἐμόγησα, πόρους ἁλὸς ἐξερεείνων.
Αὐτὰρ ἐπεὶ πέτρας φύγομεν, δεινήν τε Χάρυβδιν,
Σκύλλην τ', αὐτίκ' ἔπειτα θεοῦ ἐς ἀμύμονα νῆσον
Ἱκόμεθ'· ἔνθα δ' ἔσαν καλαὶ βόες εὐρυμέτωποι,
Πολλὰ δὲ ἴφια μῆλ' Ὑπερίονος Ἠελίοιο.
Δὴ τότ' ἐγὼν ἔτι πόντῳ ἐὼν ἐν νηῒ μελαίνῃ,
Μυκηθμοῦ τ' ἤκουσα βοῶν αὐλιζομενάων,
Οἰῶν τε βληχήν· καί μοι ἔπος ἔμπεσε θυμῷ
Μάντιος ἀλαοῦ, Θηβαίου Τειρεσίαο,
Κίρκης τ' Αἰαίης, ἥ μοι μάλα πόλλ' ἐπέτελλεν
Νῆσον ἀλεύασθαι τερψιμβρότου Ἠελίοιο.
Δὴ τότ' ἐγὼν ἑτάροισι μετηύδων, ἀχνύμενος κῆρ·
Κέκλυτέ μευ μύθων, κακά περ πάσχοντες ἑταῖροι,
Ὄφρ' ὑμῖν εἴπω μαντήϊα Τειρεσίαο,
Κίρκης τ' Αἰαίης, ἥ μοι μάλα πόλλ' ἐπέτελλεν
Νῆσον ἀλεύασθαι τερψιμβρότου Ἠελίοιο·
Ἔνθα γὰρ αἰνότατον κακὸν ἔμμεναι ἄμμιν ἔφασκεν.
Ἀλλὰ παρὲξ τὴν νῆσον ἐλαύνετε νῆα μέλαιναν.
Ὣς ἐφάμην· τοῖσιν δὲ κατεκλάσθη φίλον ἦτορ.
Αὐτίκα δ' Εὐρύλοχος στυγερῷ μ' ἠμείβετο μύθῳ·
Σχέτλιος εἶς, Ὀδυσσεῦ· πέρι τοι μένος οὐδέ τοι γυῖα
Κάμνεις· ἦ ῥά νυ σοίγε σιδήρεα πάντα τέτυκται,
Ὅς ῥ' ἑτάρους καμάτῳ ἀδδηκότας ἠδὲ καὶ ὕπνῳ
Οὐκ ἐάας γαίης ἐπιβήμεναι· ἔνθα κεν αὖτε
Νήσῳ ἐν ἀμφιρύτῃ λαρὸν τετυκοίμεθα δόρπον·
Ἀλλ' αὔτως διὰ νύκτα θοὴν ἀλάλησθαι ἄνωγας,

σπαραγμῷ. 259. Πόρους] τὰ ῥεύματα τῆς θαλάσσης ἐξετάζων, καὶ διαπορευόμενος. 268. Ἀλαοῦ τοῦ τυφλοῦ. 269. Ἀλεύασθαι] φυλάξασθαι. — Τερ-

ἐκεῖνο δὲ τὸ πάθος οἴκτιστόν μοι συνέβη ἰδεῖν, ὧν ἑώρακά τε καὶ ἔπαθον, πολλῶν, ὦ θεοί! τοσαῦτα πελάγη διαβαλών.

Ἐπεὶ δὲ τήντε Σκύλλαν καὶ Χάριβδιν ποτὲ παρημείψαμεν, ἀφικόμεθα παρὰ τὴν τοῦ Ἡλίου νῆσον, ἔνθα αἱ εὐρυμέτωποι βόες καὶ ὄϊς τοῦ θεοῦ τούτου ἐνέμοντο, μυκηθμοῦ τε βοῶν καὶ βληχῆς προβάτων πόῤῥωθεν ἔτι ἀκούσας ἐγὼ, ἀνεμνήσθην παραχρῆμα, ὧν Τειρεσίας τε ὁ μάντης καὶ ἡ Αἰαία Κίρκη ἐκέλευσάν με τὴν τοῦ Ἡλίου νῆσον φυλάξασθαι· ὃς τέρπει τῷ φωτὶ τοὺς ἀνθρώπους· Οὕτως οὖν καίτοι ἐν μεγίστῃ ἔτυχον ὢν ἀθυμίᾳ, ἔγνων κοινῶσαι τὰ ἐντεταλμένα καὶ τοῖς ἑταίροις· καὶ δὴ συντείνατέ μοι, ἔφην, ὦ ἄνδρες, τὸ οὖς ἔτι καὶ νῦν, ἐν τῷ δεινοτάτῳ γενόμενοι· βούλομαι γὰρ νῦν εἰπεῖν πρὸς ὑμᾶς τὰ παρὰ Τειρεσίου τοῦ μάντεως καὶ τῆς Κίρκης κεχρηματισμένα· τὴν γὰρ τοῦ Ἡλίου νῆσον φυλάξασθαι δεῖ ἡμᾶς πάντα τρόπον, ὡς τοὔσχατον τῶν κακῶν ἡμῖν ὑποκρύπτουσαν· διὸ πειθόμενοι τῇ θεῷ, παρελαύνωμεν τὴν ναῦν μικρὸν προσωτέρω, συμφέρονθ' ἡμῖν αὐτοῖς ποιοῦντες. Ταῦτα μὲν ἐγώ.

Τῶν δὲ λίαν ἀθυμησάντων πρὸς τὰ εἰρημένα, ἀναστὰς Εὐρύλοχος σὺν ὀργῇ· ἐγὼ μὲν οὐκ οἶδα, ἔφη, ὅςτις ἄνθρωπος γέγονας σύγε, ὦ Ὀδυσσεῦ· σιδηρῷ γὰρ ἔοικας ὅλως, οὔτε τὴν ψυχὴν ἐν τοιαύταις καὶ τηλικαύταις συμφοραῖς καταπεπτωκώς· οὔτε τὸ σῶμα ἐν τοσούτοις πόνοις, οἷς τοσοῦτον κοπτόμεθα χρόνον, παντάπασι κεκμηκώς· ὅςγε καὶ νῦν οὐκ ἐᾷς τοὺς ἑταίρους, ἀπειρηκότας ὅλως πόνῳ καὶ ἀϋπνίᾳ, ἐς τὴν γῆν ἀποβῆναι· ὅπου αὐλισάμενοι, παρεσκευάσαιντ' ἂν καὶ τὰ ἐπιτήδεια· ἀλλ' ἐν τοιαύτῃ νυκτὶ παρακελεύῃ αὐτοῖς πα-

---

ψιμβρότου] τοῦ τοὺς βροτοὺς τῷ ἑαυτοῦ θάλπει καὶ φωτὶ ἐπιτέρποντος. 279. Περί τοι μένος] πολλή σοι ἐστὶ δύναμις. 281. Ἀδδηκότας] κεκμηκότας, 283. Λαρὸν] ἡδὺν 289. Δυσαέος] σφοδρῶς πνέοντος, 290. Διαῤῥαίουσι] φθεί

Νήσου ἀποπλαγχθέντας, ἐν ἠεροειδέϊ πόντῳ.
Ἐκ νυκτῶν δ' ἄνεμοι χαλεποὶ, δηλήματα νηῶν,
Γίγνονται· πῆ κέν τις ὑπεκφύγοι αἰπὺν ὄλεθρον,
Ἤν πως ἐξαπίνης ἔλθῃ ἀνέμοιο θύελλα,
Ἢ Νότου, ἢ Ζεφύροιο δυσαέος, οἵτε μάλιστα
Νῆα διαῤῥαίουσι θεῶν ἀέκητι ἀνάκτων;
Ἀλλ' ἤτοι νῦν μὲν πειθώμεθα νυκτὶ μελαίνῃ,
Δόρπον θ' ὁπλισόμεσθα, θοῇ παρὰ νηῒ μένοντες·
Ἠῶθεν δ' ἀναβάντες, ἐνήσομεν εὐρέϊ πόντῳ.

Ὣς ἔφατ' Εὐρύλοχος· ἐπὶ δ' ᾔνεον ἄλλοι ἑταῖροι.
Καὶ τότε δὴ γίγνωσκον, ὃ δὴ κακὰ μήδετο δαίμων·
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδων·
Εὐρύλοχ', ἦ μάλα δή με βιάζετε, μοῦνον ἐόντα·
Ἀλλ' ἄγε νῦν μοι πάντες ὀμόσσατε καρτερὸν ὅρκον,
Εἴ κέ τιν' ἠὲ βοῶν ἀγέλην, ἢ πῶϋ μέγ' οἰῶν
Εὕρωμεν μή πού τις, ἀτασθαλίῃσι κακῇσιν
Ἢ βοῦν, ἤ ἔτι μῆλον ἀποκτάνῃ· ἀλλὰ ἕκηλοι
Ἐσθίετε βρώμην, τὴν ἀθανάτη πόρε Κίρκη.

Ὣς ἐφάμην· οἱ δ' αὐτίκ' ἀπώμνυον, ὡς ἐκέλευον.
Αὐτὰρ ἐπεί ῥ' ὄμοσάν τε, τελεύτησάν τε τὸν ὅρκον,
Στήσαμεν ἐν λιμένι γλαφυρῷ εὐεργέα νῆα,
Ἄγχ' ὕδατος γλυκεροῖο· καὶ ἐξαπέβησαν ἑταῖροι
Νηὸς, ἔπειτα δὲ δόρπον ἐπισταμένως τετύκοντο.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
Μνησάμενοι δὴ ἔπειτα, φίλους ἔκλαιον ἑταίρους,
Οὓς ἔφαγε Σκύλλη, γλαφυρῆς ἐκ νηὸς ἑλοῦσα·
Κλαιόντεσσι δὲ τοῖσιν ἐπήλυθε νήδυμος ὕπνος.
Ἦμος δὲ τρίχα νυκτὸς ἔην, μετὰ δ' ἄστρα βεβήκει,
Ὦρσεν ἔπι ζαῆν ἄνεμον νεφεληγερέτα Ζεὺς
Λαίλαπι θεσπεσίῃ, σὺν δὲ νεφέεσσι κάλυψεν
Γαῖαν ὁμοῦ καὶ πόντον· ὀρώρει δ' οὐρανόθεν νύξ.

ραλλάξασι τὴν νῆσον, ἄλλως ἀποπλανᾶσθαι, καίπερ εἰδὼς τοὺς ἀνέμους, τοῦτον δὴ τὸν μέγιστον ὄλεθρον τῶν νεῶν, ἐν νυκτὶ μάλιστα χαλεποὺς διεγειρομένους· ἢν γὰρ ἐξαπίνης ἡμῖν ἀράσῃ, ἤτοι νότος, ἢ ζέφυρος, οἳ καὶ βίᾳ θεῶν λέγονται τὰς ναῦς διαφθείρειν, ποῖ δήποτε, καὶ πρὸς τίνας ἡμῖν ἔσται ἀποστροφή; οὐκοῦν, εἴξαντες πρὸς τὸ παρὸν τῷ καιρῷ, δειπνοποιώμεθ' αὐτοῦ ἀπὸ τῶν παρόντων· αὔριον δὲ ἅμ' ὑποφαινομένῃ ἡμέρᾳ, ἀναγώμεθα αὖθις.

Ταῦτα δὲ αὐτοῦ εἰπόντος, ἐπήνεσαν ἅπαντες· ἐγὼ δὲ ἐνεθυμήθην ἤδη, ὡς δαίμων τις αὖθις ἀλάστωρ ἄλλ' ἡμῖν νεώτερα βυσσοδομεύει δεινά· τέως δ' οὖν ἔδοξέ μοι ὅρκῳ αὐτοὺς κατασχεῖν, ἦ μὴν μηδὲν τῶν ἀπειρημένων τολμήσειν τῶν ἐν τῇ νήσῳ· καὶ δὴ Εὐρύλοχε, ἔφην, ἄγ' ὀμόσατε πάντες, ἦ μὴν μηδενὸς μήτε βοὸς, μήτε οἰὸς, εἴτινος ἀγέλῃ ἐντύχοιμεν αὐτοῦ, μήτε ἅψεσθαι, μήτε βλάψειν τούτων μηδὲν, ἀγαπήσαντες τοῖς ὑπὸ τοῦ θεοῦ ἡμῖν ἐν τῇ νηῒ ὑπηργμένοις. Ταῦτα μὲν ἐγὼ πρὸς αὐτούς.

Τοῖς δὲ ἥδιστος ὁ λόγος ἐγένετο· ὡς οὖν ὤμοσαν, ὁρμισάμενοι εἰς τὸν λιμένα τῆς νήσου, καὶ ἀποβάντες εἰς τὴν γῆν, ἐδειπνοποιήσαντο· ὡς δ' ἅλις αὐτοῖς εἶχε ταύτου, μνησθέντες τῶν ὑπὸ τῆς Σκύλλης καταβεβρωμένων, ὠδύροντο σφόδρα· κἀν τούτῳ ἐπῆλθεν αὐτοῖς ἔτι δεδακρυμένοις νήδυμος ὕπνος. Τρίτῃ δ' οὖν φυλακῇ τῆς νυκτὸς, τῶν ἀστέρων ἤδη παρακλινάντων, Ζεὺς ὁ νεφεληγερέτης, πνεῦμ' ἐπαφεὶς σφοδρὸν, τήν τε γῆν καὶ τὴν θάλατταν ἐκάλυψε νέφεσι, καὶ σκότος ἐπέκειτο οὐρανόθεν πυκνόν.

ρουσι. 263. Ἐνήσομεν] ἀφήσομεν, καθελκύσομεν. 312. Τρίχα] τὸ τρίτον μέρος τῆς νυκτός. 313. Ζαὴν] σφοδρῶς πνέοντα. 318. Χοροὶ] ἀντὶ χῶραι,

Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
Νῆα μὲν ὡρμίσαμεν, κοῖλον σπέος εἰσερύσαντες·
Ἔνθα δ' ἔσαν Νυμφέων καλοὶ χοροὶ ἠδὲ θόωκοι·
Καὶ τότ' ἐγὼν ἀγορὴν θέμενος μετὰ πᾶσιν ἔειπον.
Ὦ φίλοι, ἐν γὰρ νηῒ θοῇ βρῶσίς τε πόσις τε
Ἐστὶν, τῶν δὲ βοῶν ἀπεχώμεθα, μή τι πάθωμεν.
Δεινοῦ γὰρ θεοῦ αἵδε βόες καὶ ἴφια μῆλα,
Ἠελίου, ὃς πάντ' ἐφορᾷ καὶ πάντ' ἐπακούει·
Ὣς ἐφάμην· τοῖσιν δ' ἐπεπείθετο θυμὸς ἀγήνωρ.
Μῆνα δὲ πάντ' ἄλληκτος ἄη Νότος, οὐδέ τις ἄλλος
Γίγνετ' ἔπειτ' ἀνέμων, εἰ μὴ Εὖρός τε Νότος τε.
Οἱ δ' εἵως μὲν σῖτον ἔχον καὶ οἶνον ἐρυθρὸν,
Τόφρα βοῶν ἀπέχοντο, λιλαιόμενοι βιότοιο.
Ἀλλ' ὅτε δὴ νηὸς ἐξέφθιτο ἤϊα πάντα,
Καὶ δὴ ἄγρην ἐφέπεσκον ἀλητεύοντες ἀνάγκῃ,
Ἰχθῦς ὄρνιθάς τε, φίλας ὅ,τι χεῖρας ἵκοιτο,
Γναμπτοῖς ἀγκίστροισιν· ἔτειρε δὲ γαστέρα λιμός·
Δὴ τότ' ἐγὼν ἀνὰ νῆσον ἀπέστιχον, ὄφρα θεοῖσιν
Εὐξαίμην, εἴ τίς μοι ὁδὸν φήνειε νέεσθαι.
Ἀλλ' ὅτε δὴ διὰ νήσου ἰὼν ἤλυξα ἑταίρους,
Χεῖρας νιψάμενος, ὅθ' ἐπὶ σκέπας ἦν ἀνέμοιο,
Ἠρώμην πάντεσσι θεοῖς, οἳ Ὄλυμπον ἔχουσιν·
Οἱ δ' ἄρα μοι γλυκὺν ὕπνον ἐπὶ βλεφάροισιν ἔχευαν·
Εὐρύλοχος δ' ἑτάροισι κακῆς ἐξήρχετο βουλῆς·
Κέκλυτέ μευ μύθων, κακά περ πάσχοντες ἑταῖροι·
Πάντες μὲν στυγεροὶ θάνατοι δειλοῖσι βροτοῖσιν,
Λιμῷ δ' οἴκτιστον θανέειν καὶ πότμον ἐπισπεῖν.
Ἀλλ' ἄγετ', Ἠελίοιο βοῶν ἐλάσαντες ἀρίστας

τόποι, ὡς καὶ ἀνωτέρω στίχ. 4. δύναται δὲ ληφθῆναι καὶ οὕτως ἁπλῶς ὡς.

Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠὼς, τὴν μὲν ναῦν ἀνειλκύσαμεν εἰς ἄντρον τι αὐτοῦ, ἔνθ' αἱ Νύμφαι ἀγειρόμεναι συνήθως, ἐχόρευον· καὶ καθέδραι ἐνῆσαν αὐτοῦ τινές· ἐγὼ δὲ σύλλογον ποιησάμενος τῶν ἑταίρων, ὁρᾶτε, ἔφην, ὦ φίλοι, ὅπως, τῶν ἐπιτηδείων ἡμῖν ἱκανῶν ὄντων ἐν τῇ νηῒ, τῶν βοῶν τούτων καὶ τῶν προβάτων ἀκριβῶς ἀφεξόμεθα, μή τι πάθωμεν. Ἡλίου γὰρ ταῦτα τυγχάνουσιν ὄντα, θεοῦ δεινοῦ, πάντα ἐφορῶντος, καὶ πάντα ἀκούοντος.

Ταῦτα δὲ εἰπόντι ἐπείθοντο· ἀλλὰ μῆνα ὅλον αὐτοῦ ἡμῖν διαγενομένοις ὅ,τε νότος καὶ εὖρος οὐκ ἤθελον παραχωρῆσαι καὶ ἑτέρῳ τῶν ἀνέμων, κοπάσαντες· οἱ δὲ ἑταῖροι τέως μὲν τῶν βοῶν ἀπέσχοντο ἰσχυρῶς, ἕως οὗ ἐνῆν αὐτοῖς ἐν τῇ νηῒ τἀπιτήδεια· τούτων δὲ ἐπιλελοιπότων, ἀπὸ τῆς ἁλείας ἐποιοῦντο τὸν βίον, ἰχθῦς τε τοῖς ἀγκίστροις ἀγρεύοντες, καὶ ὄρνις θηρεύοντες, ὅ,τι προχωροίη, τῆς γαστρὸς κελευούσης. Ἐν δ' οὖν τούτοις ὄντων ἡμῖν τῶν πραγμάτων, ἐπῆλθέ μοι μεταστῆναί πη ἐν τῇ νήσῳ, εὐξόμενον τοῖς θεοῖς, εἴποθεν δείξειεν ἡμῖν ὁδὸν ἀποπλεῦσαι ἐκεῖθεν· Οὕτως οὖν ἐν σκέπῃ πη τῶν ἀνέμων γενόμενος, μηδενὸς ὁρῶντός με τῶν ἑταίρων, νιψάμενος αὐτοῦ, ηὐχόμην ἅπασι τοῖς θεοῖς τοῖς τὸν οὐρανὸν κατοικοῦσιν· ἀλλ' οὐκ ἔφθην τέλος τῇ εὐχῇ ἐπιθεῖναι, κἀκεῖνοι ἐπέχεαν τοῖς βλεφάροις μου νυσταγμὸν, καὶ τοῖς ὀφθαλμοῖς μου νήδυμον ὕπνον.

Εὐρύλοχος δ' ἐν τούτῳ, ἴστε, φησὶ πρὸς τοὺς ἄλλους, ὑμεῖς γ', ὦ ἑταῖροι, καὶ πάντας μὲν θανάτους ἀποτροπαίους, καὶ στυγηροὺς τοῖς βροτοῖς γιγνομένους· οἴκτιστον δὲ πάντων τὸν ἐκ τοῦ λιμοῦ· οὐκοῦν ἄγετε τουτωνὶ τῶν βοῶν τὰς ἀρί-

---

καὶ παρέφρασταί μοι. 325. Ἄη] ἔπνει· κατὰ τὸ ἴστην, ἴστης, ἴστη. 329 Ἤια] τὰ ἐφόδια. 330. Ἐφέπεσκον] ἐποιοῦντο. 333. Ἀπέστιχον] ἀπεχώρησα μικρόν. 335. Ἤλυξα] ἐξέκλινα. 347. Θείομεν] ἀναθήσομεν, 351. Στρεύγεσθαι·

Ῥέξομεν ἀθανάτοισι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν.
Εἰ δέ κεν εἰς Ἰθάκην ἀφικοίμεθα, πατρίδα γαῖαν,
Αἶψά κεν Ἠελίῳ Ὑπερίονι πίονα νηὸν
Τεύξομεν, ἐν δέ κε θεῖμεν ἀγάλματα πολλὰ καὶ ἐσθλά:
Εἰ δὲ χολωσάμενός τι βοῶν ὀρθοκραιράων,
Νῆ' ἐθέλῃ ὀλέσαι, ἐπὶ δὲ ἕσπωνται θεοὶ ἄλλοι,
Βούλομ' ἅπαξ πρὸς κῦμα χανὼν ἀπὸ θυμὸν ὀλέσαι,
Ἢ δηθὰ στρεύγεσθαι, ἐὼν ἐν νήσῳ ἐρήμῃ.
Ὣς ἔφατ' Εὐρύλοχος· ἐπὶ δ' ᾔνεον ἄλλοι ἑταῖροι.
Αὐτίκα δ' Ἠελίοιο βοῶν ἐλάσαντες ἀρίστας
Ἐγγύθεν· οὐ γὰρ τῆλε νεὸς κυανοπρῴροιο
Βοσκέσκονθ' ἕλικες καλαὶ βόες, εὐρυμέτωποι·
Τὰς δὲ περιστήσαντο, καὶ εὐχετόωντο θεοῖσιν,
Φύλλα δρεψάμενοι τέρενα δρυὸς ὑψικόμοιο·
Οὐ γὰρ ἔχον κρῖ λευκὸν ἐϋσσέλμου ἐπὶ νηός·
Αὐτὰρ ἐπεί ῥ' εὔξαντο, καὶ ἔσφαξαν, καὶ ἔδειραν
Μηρούς τ' ἐξέταμον, κατά τε κνίσῃ ἐκάλυψαν,
Δίπτυχα ποιήσαντες, ἐπ' αὐτῶν δ' ὠμοθέτησαν·
Οὐδ' εἶχον μέθυ λεῖψαι ἐπ' αἰθομένοις ἱεροῖσιν,
Ἀλλ' ὕδατι σπένδοντες ἐπώπτων ἔγκατα πάντα.
Αὐτὰρ ἐπεὶ κατὰ μῆρ' ἐκάη, καὶ σπλάγχν' ἐπάσαντο,
Μίστυλλόν τ' ἄρα τἆλλα, καὶ ἀμφ' ὀβελοῖσιν ἔπειραν·
Καὶ τότε μοι βλεφάρων ἐξέσσυτο νήδυμος ὕπνος·
Βῆν δ' ἰέναι ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης.
Ἀλλ' ὅτε δὴ σχεδὸν ἦα κιὼν νεὸς ἀμφιελίσσης,
Καὶ τότε με κνίσης ἀμφήλυθεν ἡδὺς ἀϋτμή·
Οἰμώξας δὲ θεοῖσι μετ' ἀθανάτοισι γεγώνευν·
Ζεῦ πάτερ, ἠδ' ἄλλοι μάκαρες θεοὶ αἰὲν ἐόντες,
Ἦ με μάλ' εἰς ἄτην κοιμήσατε νηλέϊ ὕπνῳ,
Οἱ δ' ἕταροι μέγα ἔργον ἐμητίσαντο μένοντες.

ςας ἐλάσαντες, θύωμεν θεοῖς οὐρανίοις· εἶτ' ἐπειδὰν τάχις ἐς φίλην ἀφικώμεθα γαῖαν, ναόν τε μέγαν ἐγεροῦμεν Ἡλίῳ, καὶ τῶν ἀγαλμάτων πολλὰ καὶ καλὰ αὐτῷ ἀναθήσομεν· εἰ δὲ ὀργισθεὶς ὁ θεὸς ἐπὶ τούτοις ἐθελήσειε, νευσάντων τοῦτο καὶ τῶν ἄλλων θεῶν, διαφθεῖραι τὴν ναῦν, ἔμοιγ' ἄμεινον ἂν εἴη ἐν τοῖς κύμασιν αὐτοῦ καταστρέψαι, ἢ ἐν νήσῳ ἐρήμῳ κατὰ μικρὸν οἰκτρῶς ὑποῤῥεῖν τῷ λιμῷ.

Ταῦτα δὲ εἰπόντος αὐτοῦ, ἐπῄνεσαν καὶ οἱ ἄλλοι· καὶ δὴ περιελάσαντες τῶν βοῶν τὰς ἀρίστας, περιέστησαν εὐχόμενοι τοῖς θεοῖς· κριθῆς δ' αὐτοῖς μὴ παρούσης ἀπάρξασθαι, φύλλοις χρησάμενοι δρυὸς πρὸς τοῦτο, εὐξάμενοι ἔσφαξαν· καὶ σφάξαντες, ἔδειραν· καὶ δείραντες, διέτεμον τοὺς μηρούς· καὶ τεμόντες, περιεκάλυψαν κνίσσῃ διπλῇ. εἶτα κᾀκ τῶν ἄλλων ἐξῆς ἐπιθέντες μερίδας, ὤπτων· κᾀπειδὴ αὐτοῖς οἶνος οὐκέτ' ἦν ἐπιχεῖν ὀπτομένοις, ὕδατι ἔσπενδον ἀπὸ τῶν παρόντων. Κατακαέντων τοίνυν τῶν μηρῶν, καὶ τῶν σπλάγχνων βρωθέντων, διατεμόντες τἄλλα, καὶ τοῖς ὀβελοῖς περιπείραντες, ὤπτων· κᾀν τούτῳ κατέλιπέ με ἀποπτὰς ὁ νήδυμος ὕπνος. Ἀναστὰς οὖν ἐβάδιζον ἐπανιὼν πρὸς τοὺς ἄλλους· ὡς δὲ μικρὸν ἐγγυτέρω γενόμενος, ᾐσθόμην κνίσσης, ὑποδύσης μοι τὴν ὄσφρησιν φανερῶς, ἀνῴμοξα, ὑποπτεύσας τὴν τοῦ πράγματος ἀτοπίαν· καὶ δὴ ἀνασχὼν τὰς χεῖρας, Ζεῦ πάτερ, ἔφην, καὶ οἱ ἄλλοι μάκαρες θεοὶ, τί ποτε παθόντες, εἰς ὕπνον ἐτρέψατέ με, κακῶσαί με θέλοντες; οἱ γὰρ ἑταῖροι μείναντες αὐτοῦ, μέγα τι καὶ δεινόν μοι δοκοῦσι τετολμηκέναι.

στράγεσθαι, στραγγίζεσθαι, κατὰ στράγγα διεῤῥεῖν, φθείρεσθαι κατ' ὀλίγον 366. Ἐξέσσυτο] ἐξωρμήθη, ἀπῆλθε. 370. Γεγώνευν] ἐγεγόνουν ἐβόων. 375.

Ὠκέα δ' Ἠελίῳ Ὑπερίονι ἄγγελος ἦλθεν
Λαμπετίη τανύπεπλος, ὅ οἱ βόας ἔκταμεν ἡμεῖς.
Αὐτίκα δ' ἀθανάτοισι μετηύδα, χωόμενος κῆρ·
Ζεῦ πάτερ, ἠδ' ἄλλοι μάκαρες θεοὶ αἰὲν ἐόντες,
Τῖσαι δὴ ἑτάρους Λαερτιάδεω Ὀδυσῆος,
Οἵ μευ βοῦς ἔκτειναν ὑπέρβιον· ᾗσιν ἔγωγε
Χαίρεσκον μὲν ἰὼν εἰς οὐρανὸν ἀςερόεντα,
Ἠδ' ὁπότ' ἂψ ἐπὶ γαῖαν ἀπ' οὐρανόθεν προτραποίμην.
Εἰ δέ μοι οὐ τίσουσι βοῶν ἐπιεικέ' ἀμοιβὴν,
Δύσομαι εἰς Ἀΐδαο καὶ ἐν νεκύεσσι φαείνω.
Τὸν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
Ἠέλι', ἤτοι μὲν σὺ μετ' ἀθανάτοισι φάεινε
Καὶ θνητοῖσι βροτοῖσιν ἐπὶ ζείδωρον ἄρουραν·
Τῶν δέ κ' ἐγὼ τάχα νῆα θοὴν ἀργῆτι κεραυνῷ
Τυτθὰ βαλὼν, κεάσαιμι μέσῳ ἐνὶ οἴνοπι πόντῳ.
Ταῦτα δ' ἐγὼν ἤκουσα Καλυψοῦς ἠϋκόμοιο·
Ἡ δὲ ἔφη Ἑρμείαο διακτόρου αὐτὴ ἀκοῦσαι.
Αὐτὰρ ἐπεί ῥ' ἐπὶ νῆα κατήλυθον ἠδὲ θάλασσαν,
Νείκεον ἄλλοθεν ἄλλον ἐπιςαδὸν, οὐδέ τι μῆχος
Εὑρέμεναι δυνάμεσθα· βόες δ' ἀπετέθνασαν ἤδη.
Τοῖσιν δ' αὐτίκ' ἔπειτα θεοὶ τέρατα προὔφαινον.
Εἷρπον μὲν ῥινοὶ, κρέα δ' ἀμφ' ὀβελοῖς ἐμεμύκει,
Ὀπταλέα τε καὶ ὠμά· βοῶν δ' ὡς γίγνεται φωνή.
Ἑξῆμαρ μὲν ἔπειτα ἐμοὶ ἐρίηρες ἑταῖροι
Δαίνυντ', Ἠελίοιο βοῶν ἐλάσαντες ἀρίστας·
Ἀλλ' ὅτε δὴ ἕβδομον ἦμαρ ἐπὶ Ζεὺς θῆκε Κρονίων,
Καὶ τότ' ἔπειτ' ἄνεμος μὲν ἐπαύσατο λαίλαπι θύων·
Ἡμεῖς δ' αἶψ' ἀναβάντες ἀνήκαμεν εὐρέϊ πόντῳ,
Ἱςὸν ςησάμενοι, ἀνά θ' ἱςία λεύκ' ἐρύσαντες.

Ἐν δὲ τούτῳ εὐθὺς ἡ τανύπεπλος Λαμπετία ἀπήγγειλε σπεύσασα τῷ Ἡλίῳ τὴν ἀνόσιον βουκτασίαν· ὁ δὲ παρελθὼν σὺν ὀργῇ ἐν μέσοις τοῖς θεοῖς, Ζεῦ πάτερ, ἔφη, καὶ πάντες οἱ μάκαρες, τίσατέ μοι τοὺς τοῦ Ὀδυσσέως ἑταίρους, τοὺς τὰς ἐμὰς ὑπ' ἀλαζονείας βοῦς ἀνελόντας· ἃς ἐγὼ τὸν οὐρανὸν τουτονὶ ἀνιὼν, καὶ πρὸς τὴν γῆν αὖθις ἐξῆς ἐπινεύων, ἔχαιρον ὁρῶν· εἰ δὲ μὴ, καταδύσομαι αὐτίκα εἰς Ἅδου, τὸ φῶς μετακομισόμενος τοῖς ἐκεῖ.

Ζεὺς δὲ πρὸς ταῦτα. Ἥλιε, σὺ μὲν φαῖνε πᾶσιν ἀθανάτοις τε καὶ θνητοῖς ὁμοίως, ἐν τάξει καὶ κόσμῳ ἀεὶ τὴν σαυτοῦ πορείαν ποιούμενος· ὅσον δὲ τῶν ἀλαζόνων ἐκείνων ἕνεκα μὴ ταράττου· αὐτίκα γὰρ ἔγωγε διαλύσω αὐτοῖς τὴν ναῦν, τὸν κεραυνὸν ἐμβαλὼν, ἐν μέσῳ τῷ πόντῳ. Ταῦτα γὰρ αὐτῆς Καλυψοῦς ἔγωγ' ἀκήκοα ὕςερον· ἡ δὲ παρ' αὐτοῦ τοῦ Ἑρμοῦ ἔφη μεμαθηκέναι.

Ἐγὼ δ' ἅμ' ἐπανελθὼν εἰς τὴν ναῦν, ἐπετίμων αὐτοῖς τὰ εἰκότα, ἑνὶ ἑκάστῳ παριὼν ὅ,τι ἐδυνάμην· ἀλλὰ τίνα θεραπείαν ἦν ἂν προσαγαγεῖν τοῖς γεγενημένοις, τῶν βοῶν ἐσφαγμένων; αὐτίκα γὰρ σημεῖα τῆς τῶν θεῶν ὀργῆς προὔφαίνοντο ἡμῖν χαλεπὰ, δέρματά τε ἕρποντα αὐτομάτως, καὶ κρέα μυκώμενα ἐν τοῖς ὀβελοῖς, τά τε ἤδη ὀπτώμενα ἐπὶ τοῦ πυρὸς, καὶ τὰ μέλλονθ' ὁμοίως· ἡμεῖς δ' οὐδὲν, ἢ τῶν βοῶν αὐτῶν ἐδοκοῦμεν ἀκούειν.

Ἓξ τοίνυν ἡμέρας ἑξῆς ἐκ τούτων ἐτρέφοντο οἱ ἑταῖροι· ὡς δὲ ἡ ἑβδόμη ἐγένετο, ἐπαύσατο τὸ πνεῦμα ἐπιμαινόμενον· καὶ ἡμεῖς στήσαντες τὸν ἱστὸν παραχρῆμα, καὶ τὰ ἱστία

Ὅ δ'] ὅ,τι 388. Κεάσαιμι] διεσκεδάσαιμι. 389. Ἤκουσα Καλυψοῦς] ὡς ἀπολογία ταῦτα, ἵνα μήτις εἴπῃ, ποῦ συ ταῦτα ἤκουσας τοῦ Διὸς διαλεγομένου; 392. Ἐπισταδὴν] κατ' ἐνώπιον ἢ μᾶλλον ἑξῆς. 400. Θύων] σφοδρῶς

Ἀλλ' ὅτε δὴ τὴν νῆσον ἐλείπομεν, οὐδέ τις ἄλλη
Φαίνετο γαιάων, ἀλλ' οὐρανὸς, ἠδὲ θάλασσα,
Δὴ τότε κυανέην νεφέλην ἔστησε Κρονίων
Νηὸς ὕπερ γλαφυρῆς· ἤχλυσε δὲ πόντος ὑπ' αὐτῆς.
Ἡ δ' ἔθει οὐ μάλα πολλὸν ἐπὶ χρόνον· αἶψα γὰρ ἦλθεν
Κεκληγὼς Ζέφυρος, μεγάλῃ σὺν λαίλαπι θύων·
Ἱστοῦ δὲ προτόνους ἔρρηξ' ἀνέμοιο θύελλα
Ἀμφοτέρους· ἱστὸς δ' ὀπίσω πέσεν, ὅπλα τε πάντα
Εἰς ἄντλον κατέχυνθ'· ὁ δ' ἄρα πρύμνῃ ἐνὶ νηῒ
Πλῆξε κυβερνήτεω κεφαλὴν, σὺν δ' ὀστέ' ἄραξεν
Πάντ' ἄμυδις κεφαλῆς· ὁ δ' ἄρ' ἀρνευτῆρι ἐοικὼς,
Κάππεσ' ἀπ' ἰκριόφιν, λίπε δ' ὀστέα θυμὸς ἀγήνωρ·
Ζεὺς δ' ἄμυδις βρόντησε καὶ ἔμβαλε νηῒ κεραυνόν·
Ἡ δ' ἐλελίχθη πᾶσα, Διὸς πληγεῖσα κεραυνῷ,
Ἐν δὲ θεείου πλῆτο· πέσον δ' ἐκ νηὸς ἑταῖροι.
Οἱ δὲ κορώνῃσιν ἴκελοι περὶ νῆα μέλαιναν
Κύμασιν ἐμφορέοντο· θεὸς δ' ἀποαίνυτο νόστον.
Αὐτὰρ ἐγὼ διὰ νηὸς ἐφοίτων, ὄφρ' ἀπὸ τοίχους
Λῦσε κλύδων τρόπιος· τὴν δὲ ψιλὴν φέρε κῦμα.
Ἐκ δέ οἱ ἱστὸν ἄραξε ποτὶ τρόπιν· αὐτὰρ ἐπ' αὐτῷ
Ἐπίτονος βέβλητο, βοὸς ῥινοῖο τετευχώς.
Τῷ ῥ' ἄμφω συνέεργον ὁμοῦ τρόπιν ἠδὲ καὶ ἱστόν·
Ἑζόμενος δ', ἐπὶ τοῖς φερόμην ὀλοοῖς ἀνέμοισιν.
Ἔνθ' ἤτοι Ζέφυρος μὲν ἐπαύσατο λαίλαπι θύων·
Ἦλθε δ' ἐπὶ Νότος ὦκα, φέρων ἐμῷ ἄλγεα θυμῷ,
Ὄφρ' ἔτι τὴν ὀλοὴν ἀναμετρήσαιμι Χάρυβδιν.

πνέων, μαινόμενος. 411. Εἰς ἄντλον] μέρος τῆς νεὼς ὁ ἄντλος, ἔνθα συνάγεται τὸ ὕδωρ· 413. Ἀρνευτῆρι] κυβιστῆρι, ὀρχηστῇ. 414. Ἀπ' ἰκριόφιν] ἀπὸ τῶν ἰκρίων, σανιδωμάτων. 416. Ἐλελίχθη] ἐξετινάχθη. 417. Πλῆτο]

ἀναπετάσαντες, ἀνηγόμεθα· ὡς δὲ τὴν γῆν ἀποκρύψαντες, πέλαγος διεβάλλομεν, ὁρῶμεν νεφέλην ὑπὲρ κεφαλῆς συνεστηκυῖαν ὑπὸ τοῦ Διὸς, θᾶττον ἢ λόγος πᾶσαν τὴν θάλασσαν ἐπισκιάσασαν· καὶ ἡμεῖς μικρὸν μὲν ἐπλέομεν ἔτι χρόνον· αἴφνης δὲ ζέφυρος ἐπιπεσὼν σὺν λαίλαπι τῷ ἱστίῳ, τούς τε προτόνους ἀμφοτέρους διέῤῥηξε, καὶ τὰ ἱστία εἰς τὸν ἄντλον ᾤχετο καταχθέντα· ὁ δὲ ἱστὸς ἐς τὴν πρύμνην καταπεσὼν, κατέαξε τὸ κρανίον τοῦ κυβερνήτου, καὶ ὁ ἐγκέφαλος ἐκθλιβεὶς, ἄλλος ἄλλοσε ἐσκεδάσθη· ὁ δὲ ἀνακυβιστήσας, ἐξέπεσεν εὐθὺς εἰς τὸ πέλαγος ἐπὶ κεφαλήν· κἀν τούτῳ βροντήσας ὁ Ζεὺς, ἐνέβαλε κεραυνὸν τῇ νηΐ· ἡ δὲ ἐμπλησθεῖσα θείου πυρώδους, τοσοῦτον διεκλονήθη, ὥσθ' οἱ ἑταῖροι, εὐθὺς ἐξέπεσον ἐς τὸ πέλαγος ἐκσφενδονηθέντες· ἐφέροντο δὲ ἐν τοῖς κύμασιν, ὥσπερ αἱ κορῶναι, ἀναβῆναι πάλιν πειρώμενοι· ἀλλ' ὁ θεὸς ἀπέγνω ὅλως αὐτῶν τὸ ζῆν· ἐγὼ δ' ἐν τούτῳ διεφοίτων ἐπὶ τοῦ καταστρώματος πανταχῆ, εἴποθεν δυναίμην σωτηρίαν ἰδεῖν· κἀν τούτῳ λαίλαψ ἐμπεσὼν ἰσχυρότερος, διέλυσεν ὅλως τὴν ναῦν· ἔμεινε δ' ἡ τρόπις πλέουσα μόνη· κἀπειδὴ συνέβη συναράξαι αὐτῇ καὶ τὸν ἱστὸν, φερόμενον ὑπὸ τῶν κυμάτων, περὶ ὃν ἱμάς τις ἐκ δέρματος περιείλικτο, τοῦτον λαβὼν σὺν ὀξύτητι, ὅσον οἷόν τε ἦν, συνήρμοσα ἄμφω τόν θ' ἱστὸν καὶ τὴν τρόπιν· ἐφ' ὧν ἐφερόμην ὑπὸ τῶν κυμάτων· κἀν τούτῳ αἴφνης ἐπαύσατο ὁ ζέφυρος πνέων.

Ἀλλ' εὐθὺς ἀντιπνεύσας ὁ νότος διάδοχος, πολλά μοι δεινὰ καὶ χαλεπὰ προὐμαντεύετο· εἴγ' ἔδει ἀναμετρῆσαι αὖθις τὴν Χάρυβδιν· φερόμενος τοίνυν οὕτω παννύχιος, ἅμ' ἡλίῳ

ἐπληρώθη κεραυνικοῦ πυρὸς, ἢ ὀσμῆς θείου. 420. Ὄφρα] ἕως οὗ ὁ κλύδων ἔλυσε τοὺς τοίχους ἀπὸ τῆς τρόπιδος· 423. Ἐπίτονος] ὁ ἱμὰς, δι' οὗ τείνονται τὰ ἱστία, ὁ ἐκ δέρματος βοὸς κατασκευασθείς· 424. Συνέεργον] συνῆψα,

Παννύχιος φερόμην· ἅμα δ' ἠελίῳ ἀνιόντι
Ἦλθον ἐπὶ Σκύλλης σκόπελον δεινήν τε Χάρυβδιν.
Ἡ μὲν ἀνεῤῥοίβδησε θαλάσσης ἁλμυρὸν ὕδωρ·
Αὐτὰρ ἐγὼ ποτὶ μακρὸν ἐρινεὸν ὑψόσ' ἀερθεὶς,
Τῷ προσφὺς ἐχόμην ὡς νυκτερίς· οὐδέ πῃ εἶχον
Οὔτε ϛηρίξαι ποσὶν ἔμπεδον, οὔτ' ἐπιβῆναι.
Ῥίζαι γὰρ ἑκὰς εἶχον, ἀπήωροι δ' ἔσαν ὄζοι,
Μακροί τε μεγάλοι τε, κατεσκίαον δὲ Χάρυβδιν.
Νωλεμέως δ' ἐχόμην, ὄφρ' ἐξεμέσειεν ὀπίσσω
Ἱϛὸν καὶ τρόπιν αὖτις· ἐελδομένῳ δέ μοι ἦλθον
Ὄψ'· ἦμος δ' ἐπὶ δόρπον ἀνὴρ ἀγορῆθεν ἀνέϛη,
Κρίνων νείκεα πολλὰ δικαζομένων αἰζηῶν,
Τῆμος δὴ τάγε δοῦρα Χαρύβδιος ἐξεφαάνθη.
Ἧκα δ' ἐγὼ καθύπερθε πόδας καὶ χεῖρε φέρεσθαι,
Μέσσῳ δ' ἐνδούπησα παρὲξ περιμήκεα δοῦρα,
Ἑζόμενος δ' ἐπὶ τοῖσι διήρεσα χερσὶν ἐμῆσιν.
Σκύλλην δ' οὐκέτ' ἔασε πατὴρ ἀνδρῶν τε θεῶν τε
Εἰσιδέειν· οὐ γάρ κεν ὑπέκφυγον αἰπὺν ὄλεθρον.
Ἔνθεν δ' ἐννῆμαρ φερόμην· δεκάτῃ δέ με νυκτὶ
Νῆσον ἐς Ὠγυγίην πέλασαν θεοί· ἔνθα Καλυψὼ
Ναίει ἐϋπλόκαμος, δεινὴ θεὸς, αὐδήεσσα,
Ἥ μ' ἐφίλει τ', ἐκόμει τε· τί τοι τάδε μυθολογεύω;
Ἤδη γάρ τοι χθιζὸς ἐμυθεόμην ἐνὶ οἴκῳ
Σοί τε καὶ ἰφθίμῃ ἀλόχῳ· ἐχθρὸν δέ μοί ἐστιν
Αὖτις ἀριζήλως εἰρημένα μυθολογεύειν.

συνέδησα. 429. Ἀναμετρήσαιμι] διέλθοιμι καταμάθοιμι. 435. Ἀπήωροι]

ἀνίσχοντι, ἀφικόμην αὐτόσε, καθ' ὃν χρόνον μάλιστα αὕτη ἀνεῤῥόφα τὴν θάλασσαν· Ἐν δ' οὖν τῷ ἀπορωτάτῳ γενόμενος, ἵνα μὴ συγκατασπασθήσωμαι εἰς τὴν ἄβυσσον, δραξάμενος ἄνωθεν τοῦ ἐρινεοῦ, εἰχόμην ἀπρὶξ μετέωρος ἀπ' αὐτοῦ, ὥσπερ νυκτερὶς, οὔτε στῆναι, οὐθ' ὅπως ἐπιβῆναι πη ἔχων· αἱ γὰρ ῥίζαι τοῦ φυτοῦ πόῤῥω ἦσαν, ὡς εἴρηται, ἐπὶ τῆς σκοπέλου· οἱ δ' ἀκρέμονες ἐπιμήκεις γε ὄντες, καὶ ἐπὶ πολὺ καθήκοντες εἰς τὴν θάλασσαν, τὴν Χάριβδιν ἐπεσκίαζον· ἀπὸ τούτων δὴ ἀπηωρημένος, εἰχόμην διακαρτερῶν μέχρις ἂν τὸ τέρας ἐκεῖνο ἐξεμέσῃ πάλιν τήν τε τρόπιν καὶ τὸν ἱσόν· καί με οὐκ ἐψεύσατο ἡ ἐλπίς· ἐν ὅσῳ γὰρ ἀνὴρ δικαστὴς, δικάσας τὰ περὶ τὰς δίκας ἐν τῇ ἀγορᾷ, ἐπανήκει οἴκαδε δειπνοποιησόμενος, εἶδον τὰ ναυάγια ἐκβραζόμενα ἀπὸ τῆς ἀβύσσου· κἀγὼ ἀπολυθεὶς ἀπὸ τοῦ ἐρινεοῦ εὐθὺς, κατέπεσον ἐπὶ τούτων σὺν οὐκ ὀλίγῳ δούπῳ· ἐφ' ὧν καθεσθεὶς, ἤρεσσον ταῖς χερσὶν, ὅπως εἶχον ἀπὸ τῶν παρόντων· τὴν δ' οὖν Σκύλλαν οὐ παρημειψάμην, τοῦ Διὸς οὐκ ἐάσαντος τοῦτο· οὐ γὰρ ἂν ὑπεξέφυγον τὸ ἀπολωλέναι. Ἐντεῦθεν οὖν ἐννῆμαρ ὅλον φερόμενον ἐν τοῖς κύμασιν, τῇ δεκάτῃ προσεπέλασάν με οἱ θεοὶ εἰς τὴν Ὠγυγίαν· ἔνθα ἡ εὐπλόκαμος κατοικεῖ Καλυψώ· ἣ ἐφίλησέ με μάλιστα, καὶ τἄλλα πολλήν μου ἦν ἐπιμέλειαν ποιουμένη· ἀλλὰ τί με δεῖ πάντα λέγειν; χθὲς γὰρ ταῦτά μου ἀκηκόατε πάντα· δὶς δ' ἐπαναλαβεῖν τὰ αὐτὰ πρὸς τῷ ματαίῳ καὶ ἀπειρόκαλον ἔμοιγε.

μεμακρυσμένοι. ἀπηωρημένοι. 429. Ὄψ'] ὀψέποτε 443. Παρὲξ] παρ' αὐτὰ τὰ ξύλα. 444. Διήρεσα] ὥσπερ κώπαις ταῖς χερσὶν ἐχρησάμην. 450. Ἐκόμει] ἐθεράπευε.

ΥΠΟΘΕΣΙΣ

Οἱ ἀμφὶ τὸν Ἀλκίνοον κηληθέντες τῇ τῶν συμβάντων τῷ Ὀδυσσεῖ διηγήσει, προστιθέασιν αὐτῷ καὶ ἕτερα δῶρα· γενομένης δ' αὐτῷ καὶ τῆς καθ' ὁδὸν προμηθείας, ἀσπασάμενος πάντας, ἀνάγεται· καὶ τραπόμενον εἰς ὕπνον βαθὺν ἐκτιθέασιν αὐτὸν οἱ ναῦται μετὰ τῶν δώρων ἔθ' ὑπνώττοντα εἰς τὴν γῆν τῶν Ἰθακησίων· καὶ τὴν μὲν ναῦν μεταβάλλει Ποσειδῶν ἐν τῷ ἐπιστρέφειν εἰς λίθον πρὸς αὐτῷ τῷ αἰγιαλῷ· πρὸς ὃ ἐκπλαγέντων

ΟΔΥΣΣΕΙΑΣ Ν.

Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ·
Κηληθμῷ δ' ἔσχοντο κατὰ μέγαρα σκιόεντα·
Τὸν δ' αὖτ' Ἀλκίνοος ἀπαμείβετο, φώνησέν τε.
Ὦ Ὀδυσσεῦ, ἐπεὶ ἵκευ ἐμὸν ποτὶ χαλκοβατὲς δῶ,
Ὑψερεφές, τῷ σ' οὔτι παλιμπλαγχθέντα γ' ὀΐω
Ἂψ ἀπονοστήσειν, εἰ καὶ μάλα πολλὰ πέπονθας·
Ὑμέων δ' ἀνδρὶ ἑκάστῳ ἐφιέμενος, τάδε εἴρω,
Ὅσσοι ἐνὶ μεγάροισι γερούσιον αἴθοπα οἶνον

2 Κηληθμῷ] ἡδονῇ ἐκ λόγων προερχομένῃ. 5. Παλιμπλαγχθέντα] εἰς τὰ

ΤΟΥ Ν.

ἀπάντων, Ἀλκίνοος κατά τινα ἀρχαῖον χρησμὸν συμβουλεύει αὐτοῖς μῆνιν Ποσειδῶνος ἐξιλεώσασθαι, δυωκαίδεκα ταύρους θύσαντας τῶν ἀρίστων· τῷ δὲ Ὀδυσσεῖ διϋπνισθέντι, καὶ τὴν χώραν ἀγνοοῦντι ὅλως, ἥτις εἴη, παραινέσασα ἡ Ἀθηνᾶ, τάτ' ἄλλα ἐξηγεῖται αὐτῷ, καὶ περὶ τῆς μνηστηροκτονίας σύμβουλος γίγνεται· καὶ δὴ διδάξασα αὐτὸν ἀποκρύψαι τὰ χρήματα ἔντινι σπηλαίῳ, μεταμορφεῖ αὐτὸν εἰς γέροντα.

ΟΔΥΣΣΕΙΑΣ Ν.

Ο μὲν ταῦτα εἶπεν διεξιών· οἱ δὲ διὰ πάσης σιγῆς ἐγένοντο, τῇ τῶν λόγων χάριτι τοῖς ὠσὶ κατακηληθέντες· Τέως δ' οὖν Ἀλκίνοος λύσας τὴν σιωπὴν, ἔφη· ἐπειδὴ, ὦ Ὀδυσσεῦ, ἐς τὸν ἐμὸν τοῦτον οἶκον ἅπαξ ἀπεσώθης, οὐκέτι, οἶμαι, τοῖς αὐτοῖς, οἷσπερ πρότερον, περιπεσῇ χαλεποῖς· ὑμῶν δ' ἑκάστῳ, ὅσοι συναγειρόμενοι ἀεὶ ἐνταυθοῖ, ἐσθίετε καὶ πίνετε

αὐτὰ κακὰ ἐπανελθεῖν. 7. Ἐφιέμενος] κελεύων, παραγγέλλων· ὡς καὶ Ἰλ. Ψ. στίχ. 82. Ἐφήσομαι· 8. Γερούσιον] ὂν κατὰ γέρας καὶ τιμὴν ἐξ ὑπεροχῆς.

Αἰεὶ πίνετ' ἐμοῖσιν, ἀκουάζεσθε δ' ἀοιδοῦ·
Εἵματα μὲν δὴ ξείνῳ εὐξέστῃ ἐνὶ χηλῷ
Κεῖται καὶ χρυσὸς πολυδαίδαλος, ἄλλα τε πάντα
Δῶρ', ὅσα Φαιήκων βουληφόροι ἐνθάδ' ἔνεικαν·
Ἀλλ' ἄγε οἱ δῶμεν τρίποδα μέγαν ἠδὲ λέβητα
Ἀνδρακὰς· ἡμεῖς δ' αὖτε ἀγειρόμενοι κατὰ δῆμον,
Τισόμεθ'· ἀργαλέον γὰρ ἕνα προικὸς χαρίσασθαι.
Ὣς ἔφατ' Ἀλκίνοος· τοῖσιν δ' ἐπιήνδανε μῦθος.
Οἱ μὲν κακκείοντες ἔβαν οἶκόνδε ἕκαστος·
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
Νῆ' ἄρ' ἐπεσσεύοντο, φέρον δ' εὐήνορα χαλκόν.
Καὶ τὰ μὲν εὖ κατέθηχ' ἱερὸν μένος Ἀλκινόοιο,
Αὐτὸς ἰὼν διὰ νηὸς ὑπὸ ζυγά, μή τιν ἑταίρων
Βλάπτοι ἐλαυνόντων, ὁπότε σπερχοίατ' ἐρετμοῖς.
Οἱ δ' εἰς Ἀλκινόοιο κίον καὶ δαῖτ' ἀλέγυνον.
Τοῖσι δὲ βοῦν ἱέρευσ' ἱερὸν μένος Ἀλκινόοιο
Ζηνὶ κελαινεφέϊ Κρονίδῃ, ὃς πᾶσιν ἀνάσσει.
Μηρὰ δὲ κείαντες, δαίνυντ' ἐρικυδέα δαῖτα,
Τερπόμενοι. μετὰ δέ σφιν ἐμέλπετο θεῖος ἀοιδὸς,
Δημόδοκος, λαοῖσι τετιμένος· αὐτὰρ Ὀδυσσεὺς
Πολλὰ πρὸς ἠέλιον κεφαλὴν τρέπε παμφανόωντα,
Δῦναι ἐπειγόμενος· δὴ γὰρ μενέαινε νέεσθαι.
Ὡς δ' ὅτ' ἀνὴρ δόρποιο λιλαίεται, ᾧτε πανῆμαρ
Νειὸν ἀν' ἕλκητον βόε οἴνοπε πηκνὸν ἄροτρον.
Ἀσπασίως δ' ἄρα τῷ κατέδυ φάος ἠελίοιο
Δόρπον ἐποίχεσθαι, βλάβεται δέ τε γούνατ' ἰόντα·
Ὣς Ὀδυσῆ' ἀσπατὸν ἔδυ φάος ἠελίοιο.
Αἶψα δὲ Φαιήκεσσι φιληρέτμοισι μετηύδα,
Ἀλκινόῳ δὲ μάλιστα πιφαυσκόμενος, φάτο μῦθον·
Ἀλκίνοε κρεῖον πάντων ἀριδείκετε λαῶν,

οἶνον γερούσιον, καὶ τῇ ᾠδῇ κηλεῖσθε, ἐκεῖνο βούλομαι εἰπεῖν· ὡς ἡ μὲν ἐσθὴς τῷ ξένῳ τουτωΐ, ὅ,τε χρυσὸς, καὶ τἆλλα, ὅσα ὑμεῖς οἱ τῶν Φαιάκων βουληφόροι αὐτῷ ἐδωρήσασθε, ταῦτα ἐγκατατέθεινται πάντα κιβωτίῳ καλῶς· νῦν δὲ δῶμεν αὐτῷ ὡς εἰκὸς, τρίποδα ἔτι μέγαν, καὶ λέβατα κατὰ ἄνδρα· ἔπειτα ταξάμενοι ταῦτ' ἐν τῷ δήμῳ, ἀποληψόμεθα. χαλεπὸν γὰρ ἕνα μόνον τοσαῦτα χαρίσασθαι.

Ταῦτα δ' αὐτοῦ εἰπόντος, ἐπῄνεσαν ἅπαντες· καὶ δὴ τότ' ἀναστάντες, ἀπῄεσαν ἕκαστος οἴκαδε καθευδήσοντες· ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠὼς, κατῄεσαν οἱ αὐτοὶ εἰς τὴν ναῦν, τὰ δῶρα κομίζοντες ἕκαστος· ἃ Ἀλκίνοος αὐτὸς λαβὼν, κατέθηκεν ἀναβὰς ὑπὸ τοῖς τῶν ἐρετῶν ἐδωλίοις, πάντα κατὰ κόσμον μάλιστα διαιτήσας, ἵνα μήτις τῶν ἀμφὶ τὴν εἰρεσίαν ὑποπιέζοιτο. Τούτων οὖν σχόντ ων οὕτω καλῶς, ἀνελθόντες εἰς τὰ βασίλεια, εὐτρέπιζον τὰ πρὸς εὐωχίαν, βοῦν θύσαντος Ἀλκινόου Διὶ βασιλεύοντι θνητῶν τε καὶ ἀθανάτων· Καύσαντες τοίνυν τὰ μηρία ἐπὶ τοῦ βωμοῦ, εὐωχοῦντο, Δημοδόκου τέρποντος αὐτοὺς τῇ μολπῇ. ὁ δὲ Ὀδυσσεὺς μεταξὺ οὐκ ἐπαύετο τρεπόμενος πρὸς τὸν ἥλιον, εἰ καταδύοι· ἐτήκετο γὰρ τῷ πόθῳ τῶν οἴκοι, καθάπερ καὶ ἀνὴρ γεωργὸς δι' ἡμέρας πονῶν, ἥδιστ' ἂν ἴδοι δυόμενον ἥλιον, ἵνα χαίρειν εἰπὼν τῷ πόνῳ, ἅψηται τροφῆς, ἐλθὼν ἀπὸ τοῦ ἀγροῦ· διὸ φραφεὶς πρὸς τοὺς Φαίακας ἔφη ταῦτα.

Ἀλκίνοε κύδιστε πάντων, καὶ ὑμεῖς γε οἱ βουληφόροι,

ἀξιοῦτε πίνειν. 14. Ἀνδρακὰς] κατ' ἄνδρα, εἷς ἕκαστος ἡμῶν. 15. Κατὰ δῆμον] ταξάμενοι ταῦτα ἐν τῷ κοινῷ. ἀποληψόμεθα· χαλεπὸν γὰρ τοσαῦτα ἕνα χαρίσασθαι προῖκα· ἡ γὰρ γενικὴ προικὸς ἀντὶ αἰτιατικῆς. 19· Ἐπεσσεύοντο] μετεκίνουν. — Εὐήνορα] τὸν ἀνδρείους τοὺς χρωμένους ποιοῦντα 29. Πολλὰ] συνεχῶς. 32. Νείατον] γῆν γεωργημένην. — Ἀνέλκητον] ἕλκωσι — Οἴνοπε] τὸ τοῦ οἴνου ἔχοντες χρῶμα. — Πηκτὸν] τὸ μὴ ἔχον τὴν γύην αὐτοφυῆ· 34 Ἐποίχεσθαι τοῦ ἐλθεῖν ἕνεκα εἰς τὸν δόρπον, κεκμηκότι

Πέμπετέ με σπείσαντες ἀπήμονα, χαίρετε δ' αὐτοί·
Ἤδη γὰρ τετέλεσται, ἅ μοι φίλος ἤθελε θυμὸς,,
Πομπὴ καὶ φίλα δῶρα, τά μοι θεοὶ οὐρανίωνες
Ὄλβια ποιήσειαν· ἀμύμονα δ' οἴκοι ἄκοιτιν
Νοστήσας, εὕροιμι σὺν ἀρτεμέεσσι φίλοισιν·
Ὑμεῖς δ' αὖθι μένοντες εὐφραίνοιτε γυναῖκας
Κουριδίας καὶ τέκνα· θεοὶ δ' ἀρετὴν ὀπάσειαν
Παντοίην. καὶ μήτι κακὸν μεταδήμιον εἴη·
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπήνεον, ἠδ' ἐκέλευον
Πεμπέμεναι τὸν ξεῖνον, ἐπεὶ κατὰ μοῖραν ἔειπεν·
Καὶ τότε κήρυκα προσέφη μένος Ἀλκινόοιο.
Ποντόνοε, κρητῆρα κερασσάμενος μέθυ, νεῖμον
Πᾶσιν ἀνὰ μέγαρον, ὄφρ' εὐξάμενοι Διὶ πατρὶ
Τὸν ξεῖνον πέμπωμεν ἑὴν ἐς πατρίδα γαῖαν,
Ὣς φάτο· Ποντόνοος δὲ μελίφρονα οἶνον ἐκίρνα,
Νώμησεν δ' ἄρα πᾶσιν ἐπισταδόν· οἱ δὲ θεοῖσιν
Ἔσπεισαν μακάρεσσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
Αὐτόθεν ἐξ ἑδρέων. ἀνὰ δ' ἵστατο δῖος Ὀδυσσεὺς,
Ἀρήτῃ δ' ἐν χερσὶ τίθει δέπας ἀμφικύπελλον·
Καί μιν φωνήσας, ἔπεα πτερόεντα προσηύδα·
Χαῖρέ μοι, ὦ βασίλεια, διαμπερὲς, εἰσόκε γῆρας
Ἔλθῃ καὶ θάνατος, τάτ' ἐπ' ἀνθρώποισι πέλονται.
Αὐτὰρ ἐγὼ νέομαι· σὺ δὲ τέρπεο τῷδ' ἐνὶ οἴκῳ
Παισί τε καὶ λαοῖσι καὶ Ἀλκινόῳ βασιλῆϊ.
Ὣς εἰπὼν, ὑπὲρ οὐδὸν ἐβήσετο δῖος Ὀδυσσεύς.
Τῷδ' ἅμα κήρυκα προΐει μένος Ἀλκινόοιο
Ἡγεῖσθαι ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης·
Ἀρήτη δ' ἄρα οἱ δμωὰς ἅμ' ἔπεμπε γυναῖκας·
Τὴν μὲν φᾶρος ἔχουσαν ἐϋπλυνὲς ἠδὲ χιτῶνα,

ἤδη τοῖς γόνασι. 43, Ἀρτεμέεσσι] ὑγιέσι, πιστοῖς. 54, Ἐπισταδὸν] ἐξῆς.

σπείσαντες ἤδη τοῖς θεοῖς, ἵν' ἀσινὴς ἐς φίλην πατρίδα γαῖαν ἀφίξωμαι, πέμπετέ με· ὑμεῖς δὲ χαίρετέ μοι, ὦ ἄνδρες, χαίρετε ἅπαντες· ἤδη γάρ μοι τετέλεσται κατὰ βούλησιν πάνθ', ἥ τε πομπὴ καὶ τὰ δῶρα, ἅμοι οἱ ἐν οὐρανῷ θεοὶ ὄλβια θεῖεν· εὕροιμι δὲ καὶ τὰ οἴκοι τήν τε γυναῖκα καὶ τοὺς φίλους καλῶς ἔχοντας· ὑμεῖς δ' αὖ μένοντες, εὐφραίνοιτε τῇ ἑαυτῶν παρουσίᾳ γυναῖκάς τε τὰς ἑαυτῶν ἕκαστοι καὶ παῖδας, τὰ φίλτατα· οἷς οἱ θεοὶ δοῖεν πᾶσαν ἀρετὴν καὶ εὐδαιμονίαν, πᾶν κακὸν ἀπ' αὐτὸν ἀποτρέποντες.

Ταῦτα δ' αὐτοῦ εἰπόντος, ἐπήνεσαν ἅπαντες, καὶ ἐκέλευον θᾶσσον πέμπειν τὸν ξένον, δίκαια ἀξιοῦντα. Ἐκ δὴ τούτου Ἀλκίνοος εὐθὺς, μεταπεμψάμενος τὸν κήρυκα, Προτόνοε, ἔφη, πληρώσας ἤδη κρατῆρα οἴνου, ἔγχει πᾶσιν ἑξῆς, ὅπως εὐξάμενοι τῷ Διῒ, πέμπωμεν τὸν ξένον, ὡς εἰκὸς, εἰς φίλην πατρίδα γαῖαν.

Ταῦτα δ' αὐτοῦ εἰπόντος, Προτόννους πληρώσας εὐθὺς τὸν κρατῆρα, ἐκίρνα πᾶσιν ἑξῆς· οἱ δὲ, ἔσπεισαν λιβόντες θεοῖς ἀθανάτοις τοῖς τὸν οὐρανὸν κατοικοῦσι, καθήμενοι· Ὀδυσσεὺς δὲ μόνος ἀναστὰς, προσήνεγκε τῇ Ἀρήτῃ τὸ ἔκπωμα, λέγων τάδε. Χαῖρέ μοι, ὦ βασίλισσα, ἐς γῆρας βαθὺ καὶ λιπαρὸν προϊοῦσα, μέχρις ἂν τῷ χρεὼν λειτουργήσῃς, ὃ πᾶσιν ἀνθρώποις ἄφικτον γίγνεται· ἐγὼ μὲν ἀπέρχομαι ἤδη· σὺ δέ μοι χαῖρε μένουσα οἴκοι, ἐν παισί τε καὶ λαοῖς καὶ Ἀλκινόῳ τῷ βασιλεύοντι εὐφραινομένη καὶ τιμωμένη. Ὁ μὲν ταῦτα εἰπὼν, ἐξῆλθεν.

Ἀλκίνοος δὲ ἐκέλευσε τινὰ τῶν κηρύκων ἡγήσασθαι αὐτῷ πρὸς τὴν ναῦν· καὶ ἡ Ἀρήτη συμπέπομφε τρεῖς θεραπαινίδας, τὴν μὲν φᾶρος καθαρὸν αὐτῷ φέρουσαν καὶ χιτῶνα· τὴν δὲ,

Τὴν δ' ἑτέρην χηλὸν πυκινὴν ἅμ' ἔπεμπε κομίζειν·
Ἡ δ' ἄλλη σῖτόν τ' ἔφερεν καὶ οἶνον ἐρυθρόν.
Αὐτὰρ ἐπεί ῥ' ἐπὶ νῆα κατήλυθον ἠδὲ θάλασσαν,
Αἶψα τάγ' ἐν νηῒ γλαφυρῇ πομπῆες ἀγαυοὶ
Δεξάμενοι κατέθεντο, πόσιν καὶ βρῶσιν ἅπασαν·
Κὰδ δ' ἄρ' Ὀδυσσῆϊ στόρεσαν ῥῆγός τε λίνον τε
Νηὸς ἐπ' ἰκριόφιν γλαφυρῆς, ἵνα νήγρετον εὕδοι,
Πρύμνης· ἂν δὲ καὶ αὐτὸς ἐβήσετο καὶ κατέλεκτο
Σιγῇ· τοὶ δὲ κάθιζον ἐπὶ κληῗσιν ἕκαστοι
Κόσμῳ, πεῖσμα δ' ἔλυσαν ἀπὸ τρητοῖο λίθοιο.
Ἔνθ' οἱ ἀνακλιθέντες, ἀνεῤῥίπτουν ἅλα πηδῷ·
Καὶ τῷ νήδυμος ὕπνος ἐπὶ βλεφάροισιν ἔπιπτεν,
Νήγρετος, ἥδιστος, θανάτῳ ἄγχιστα ἐοικώς.
Ἡ δ', ὥστ' ἐν πεδίῳ τετράοροι ἄρσενες ἵπποι,
Πάντες ἅμ' ὁρμηθέντες ὑπὸ πληγῇσιν ἱμάσθλης,
Ὑψόσ' ἀειρόμενοι, ῥίμφα πρήσσουσι κέλευθον·
Ὣς ἄρα τῆς πρύμνη μὲν ἀείρετο, κῦμα δ' ὄπισθεν
Πορφύρεον μέγα θῦε πολυφλοίσβοιο θαλάσσης.
Ἡ δὲ μάλ' ἀσφαλέως θέεν ἔμπεδον· οὐδέ κεν ἴρηξ
Κίρκος ὁμαρτήσειεν, ἐλαφρότατος πετεηνῶν·
Ὣς ἡ ῥίμφα θέουσα θαλάσσης κύματ' ἔταμνεν,
Ἄνδρα φέρουσα, θεοῖς ἐναλίγκια μήδε' ἔχοντα·
Ὃς πρὶν μὲν μάλα πολλὰ πάθ' ἄλγεα ὃν κατὰ θυμὸν,
Ἀνδρῶν τε πτολέμους ἀλεγεινά τε κύματα πείρων,
Δὴ τότε γ' ἀτρέμας εὗδε, λελασμένος ὅσσ' ἐπεπόνθει.
Εὖτ' ἀστὴρ ὑπερέσχε φαάντατος, ὅστε μάλιστα
Ἔρχεται ἀγγέλων φάος Ἠοῦς ἠριγενείης·
Τῆμος δὴ νήσῳ προσεπίλνατο ποντοπόρος νηῦς.
Φόρκυνος δέ τίς ἐστι λιμὴν, ἁλίοιο γέροντος,
Ἐν δήμῳ Ἰθάκης· δύο δὲ προβλῆτες ἐν αὐτῷ

τὸ κιβώτιον, ἐν ᾧ ἦν τὰ δῶρα· τὴν δὲ τρίτην, σῖτά τε καὶ ποτὰ οἱ κομίζουσαν· ὡς δὲ κατῄεσαν εἰς τὸν αἰγιαλὸν, λαβόντες οἱ πομποὶ τἀπιτήδεια, κατέθεντο εἰς τὴν ναῦν· Ὀδυσσεῖ δὲ στρώσαντες τάπητα ἐν τῇ πρύμνῃ, ἐπέβαλον αὐτῷ καὶ κάλυμμα λινόν· ὅπου κατακλιθεὶς ἡσυχῇ, ἔμελλεν ὡς βαθὺν καθευδήσειν· οἱ δὲ καὶ αὐτοὶ ἐκαθέσθησαν ἑξῆς, ὡ εἰκὸς, ἐν τοῖς ἐδωλίοις.

Ὡς δὲ ἀνήγοντο ἐς τὸ πέλαγος, τῷ μὲν Ὀδυσσεῖ εὐθὺς ἐπῆλθε νήδυμος ὕπνος, θανάτῳ μονονουχὶ ἐοικώς· ἡ δὲ ναῦς ἔθει, ἀμυθήτῳ πλέουσα τάχει· καθάπερ γὰρ τέθριππον ἀφεθὲν ὑπὸ μάστιγι, μονονουχὶ ἱπταμένων τῶν ἵππων, τάχιστα διῆλθε τὸ στάδιον· οὕτω καὶ αὐτὴ ἀνέχουσα τὸ κατὰ τὴν πρύμναν, τοῦ κύματος ἀεὶ ἐκ τῆς ῥήξεως διαρρεῖν δοκοῦντος ὀπίσω, τοσούτῳ διέθει τάχει, ὥστ' οὐδ' ἱέραξ ὁ τάχιστος τῶν πτηνῶν ἠκολούθησεν ἂν ἐπιπτάς· οὕτω διεπεραίου ἄνδρα ἄριστον, καὶ ὅμοια φρονοῦντα θεοῖς· ὃς πολλὰ μὲν παθὼν ἐν πολέμοις, πολλῶν δὲ πειραθεὶς ἐν θαλάσσῃ· νῦν δὲ καθεύδων ἡδέως, πάντων ἦν ἐπιλελησμένος ἐκείνων.

Ἐκ δὲ τούτων, τοῦ ἑωσφόρου ἐπιτείλαντος, ὃς κάλλιςος ἐν οὐρανῷ ἵςαται ἀςὴρ, ὁ τὸ φῶς τὸ τῆς Ἠοῦς ἡμῖν προαγγέλων, τότε δὴ καὶ ἡ ναῦς προσεπέλασε τῇ Ἰθάκῃ παρὰ τὸν λιμένα· ὃς Φόρκυνος τοῦ θαλαττίου γέροντος λέγεται εἶναι· δύο γὰρ

---

78. Πηδῷ] πηδὸς τὸ εὐρύτερον μέρος τῆς κώπης. 80. Νήγρετος] βαθὺς, ὥστε μὴ δύνασθαι ἐγερθῆναι τὸν καθεύδοντα, 81. Τετράοροι] συνεζευγμένοι 85. Θῦε] ἐμαίνετο τῇ πνοῇ. 91. Πείρων] περῶν. 93. Εὖτε] ὅτε. 95. Προσεπίλνατο] προσεπέλαζε. 96. Φόρκυν δαίμων τῆς θαλάσσης, πρὸς τῷ Ἀρυμνίῳ ποτὲ διατρίβων (ὄρος δὲ τοῦτ' Ἀρκαδίας, οἰκῶν τὴν Φόρκυνος ἀπ' αὐτοῦ καλουμένην Βῆσσαν· ἐκ δὲ τούτου ἦλθεν εἰς Κεφαλληνίαν, ἔνθα ᾤκησε. προσορμίσας δὲ εἰς τὸν τῆς Ἰθάκης λιμένα, ἠξίωσεν αὐτὸν ὀνομάζεσθαι

Ἀκταὶ ἀπορρῶγες, λιμένος ποτιπεπτηυῖαι·
Αἵτ' ἀνέμων σκεπόωσι δυσαήων μέγα κῦμα
Ἔκτοθεν· ἔντοσθεν δέ τ' ἄνευ δεσμοῖο μένουσιν
Νῆες ἐΰσσελμοι, ὅτ' ἂν ὅρμου μέτρον ἵκωνται.
Αὐτὰρ ἐπὶ κρατὸς λιμένος τανύφυλλος ἐλαίη·
Ἀγχόθι δ' αὐτῆς ἄντρον ἐπήρατον, ἠεροειδὲς,
Ἱρὸν Νυμφάων, αἳ Νηϊάδες καλέονται.
Ἐν δὲ κρητῆρές τε καὶ ἀμφιφορῆες ἔασιν
Λάϊνοι· ἔνθα δ' ἔπειτα τιθαιβώσσουσι μέλισσαι.
Ἐν δ' ἱστοὶ λίθεοι περιμήκεες, ἔνθα τε Νύμφαι
Φάρε' ὑφαίνουσιν ἁλιπόρφυρα, θαῦμα ἰδέσθαι·
Ἐν δ' ὕδατ' ἀενάοντα. δύω δέ τέ οἱ θύραι εἰσίν·
Αἱ μὲν πρὸς Βορέαο, καταιβαταὶ ἀνθρώποισιν,
Αἱ δ' αὖ πρὸς Νότου εἰσὶ, θεώτεραι· οὐδέ τι κείνῃ
Ἄνδρες ἐσέρχονται, ἀλλ' ἀθανάτων ὁδός ἐστιν.
Ἔνθ' οἵγ' εἰσέλασαν, πρὶν εἰδότες· ἡ μὲν ἔπειτα
Ἠπείρῳ ἐπέκελσεν, ὅσον τ' ἐπὶ ἥμισυ πάσης,
Σπερχομένη· τοίων γὰρ ἐπείγετο χέρσ' ἐρετάων.
Οἱ δ' ἐκ νηὸς βάντες ἐϋζύγου ἤπειρόν δε
Πρῶτον Ὀδυσσῆα γλαφυρῆς ἐκ νηὸς ἄειραν
Αὐτῷ σύν τε λίνῳ καὶ ῥήγεϊ σιγαλόεντι·
Κὰδ δ' ἄρ' ἐπὶ ψαμάθῳ ἔθεσαν δεδμημένον ὕπνῳ,
Ἐκ δὲ κτήματ' ἄειραν, ἅ οἱ Φαίηκες ἀγαυοὶ
Ὤπασαν οἴκαδ' ἰόντι διὰ μεγάθυμον Ἀθήνην.
Καὶ τὰ μὲν οὖν παρὰ πυθμέν' ἐλαίης ἀθρόα θῆκαν
Ἐκτὸς ὁδοῦ, μή πού τις ὁδιτάων ἀνθρώπων
Πρὶν γ' Ὀδυσῆ' ἔγρεσθαι ἐπελθὼν, δηλήσαιτο·
Αὐτοὶ δ' αὖτ' οἴκονδε πάλιν κίον. Οὐδ' Ἐνοσίχθων

Φόρκυνος. 98. Ποτιπεπτηυῖαι] προσπεπτωκυῖαι, ἔσω νενευκυῖαι. 101. Μέτ-

προβλῆτες ἀπότομοι, ἑκατέρωθεν πρὸς ἀλλήλας ἐπινενευκυῖαι, ὡς ἀπὸ τόξων ἐπὶ τὸ αὐτὸ ἐπισυνηγμέναι, ἀπὸ τοῦ ἴσου ἀπωθοῦνται τὰ προσαράσσοντα τῶν κυμάτων, ὥσπερεὶ προμαχόμεναι τῶν νεῶν· αἱ δὲ ἐντὸς ἄνευ πρυμνησίων ἐν τῷ ἀσφαλεῖ ἐφορμίζουσι· κατὰ δὲ τὴν κορυφὴν αὖθις τοῦ λιμένος, ἐλαία εὔσκιος ἦν, καὶ παρ' αὐτῇ σπήλαιον καλὸν καὶ βαθὺ, τῶν Νυμφῶν ταῖς Ναΐσιν ἀφωσιωμένον· ἔνθα κρατῆρές τε καὶ ἀμφορεῖς εἰσὶ λίθινοι, ἐν οἷς τὸ μέλι αἱ μέλισσαι ἀποτίθενται· ὁμοίως δὲ καὶ ἱστὸν ἐπιμήκεις ἐκ λίθου, ἐν οἷς αἱ Νύμφαι ὑφαίνουσι πορφυρᾶ, θαῦμα ὅλως ἰδεῖν· ὕδατά τε ἀέναα πάντοθεν περιῤῥέοντα· ἔστι δὲ καὶ ἡ εἴσοδος διττὴ εἰς αὐτὸν, ἡ μὲν πρὸς βοῤῥᾶν, τοῖς ἀνθρώποις· ἡ δὲ πρὸς νότον, θεοῖς μᾶλλον εἰσιτητή.

Εἰς τοῦτον τοίνυν εἰσήλασαν, ὃν καὶ πρὶν εἰδότες ἐτύγχανον· ἡ δὲ ναῦς, ὡς ἐκ πολλοῦ τοῦ ῥοθίου, προσοκείλασα εἰς τὴν χέρσον, τὸ ἥμισυ ἔξω τῆς θαλάσσης ἐγένετο. Ἐνταῦθα τοίνυν ἀποβάντες, πρῶτον μὲν ἐξεκόμισαν αὐτὸν Ὀδυσσέα, οὕτως ὡς εἶχεν, ἐν τῷ ῥήγει καὶ λινῷ ἀνελόντες· κἀπὶ τῆς ψάμμου καθῆκαν, τὸν βαθὺν ἔτι ἐφυπνώττονθ' ὁμοίως· ἔπειτα ἐξενεγκόντες καὶ τὰ χρήματα, ἃ οἱ μεγαλόδωροι τῶν Φαιάκων φιλοτιμησάμενοι, προσήνεγκαν αὐτῷ, Ἀθηνᾶς τῆς μεγαθύμου τοῦτ' αὐτοῖς ἐμπνευσάσης, κατέθεσαν μικρὸν ἄπο τῆς ὁδοῦ ὑπὸ τὴν ἐλαίαν· ἵνα μή τις παριὼν τυχὸν, ἀφέληται τούτων τι, πρὶν ἢ Ὀδυσσέα διϋπνισθῆναι· αὐτοὶ δ' ἐπιβάντες, ἀνήχθησαν πάλιν. Τέως δ' οὖν οὐκ ἔλαθον Ποσειδῶνα ταῦθ' οὕτω γεγενημένα· οὐδ' ἐπελάθετο ὅλως,

---

ρον] εἰς τὸν ὅρον, ἔνθα δεῖ. λιμὴν γὰρ τὸ ὅλον· ὅρμος δὲ, ἔνθα τὸ ἀσφαλέστατον τοῦ λιμένος. 103. Ἐπήρατον] ἀπέραστον, καὶ εὔσκιον. 106. Τιθαιβώσσουσι] ἀποτίθενται τὸ μέλι, νεοτροφοῦσι. 107. Ἱστοὶ] μηχανή,

Λήθετ' ἀπειλάων, τὰς ἀντιθέῳ Ὀδυσσῆϊ
Πρῶτον ἐπηπείλησε, Διὸς δ' ἐξείρετο βουλήν·
Ζεῦ πάτερ, οὐκέτ' ἔγωγε μετ' ἀθανάτοισι θεοῖσιν
Τιμήεις ἔσομαι, ὅτε με βροτοὶ οὔτι τίουσιν,
Φαίηκες, τοίπερ τοι ἐμῆς ἐξ εἰσι γενέθλης.
Καὶ γὰρ νῦν Ὀδυσῆ' ἐφάμην, κακὰ πολλὰ παθόντα,
Οἴκαδ' ἐλεύσεσθαι. νόστον δὲ οἱ οὔποτ' ἀπηύρων
Πάγχυ, ἐπεὶ σὺ πρῶτον ὑπέσχεο καὶ κατένευσας.
Οἱ δ' εὕδοντ' ἐν νηῒ θοῇ ἐπὶ πόντον ἄγοντες
Κάτθεσαν εἰν Ἰθάκῃ, ἔδοσαν δέ οἱ ἄσπετα δῶρα,
Χαλκόν τε, χρυσόν τε ἅλις, ἐσθῆτά θ' ὑφαντὴν,
Πόλλ', ὅσ' ἂν οὐδέποτε Τροίης ἐξήρατ' Ὀδυσσεὺς,
Εἴπερ ἀπήμων ἦλθεν, λαχὼν ἀπὸ ληΐδος αἶσαν·
Τὸν δ' ἀπαμειβόμενος, προσέφη νεφεληγερέτα Ζεύς.
Ὢ πόποι, Ἐννοσίγαι' εὐρυσθενὲς, οἷον ἔειπες·
Οὔτι σ' ἀτιμάζουσι θεοί· χαλεπὸν δέ κεν εἴη,
Πρεσβύτατον καὶ ἄριστον ἀτιμίῃσιν ἰάλλειν.
Ἀνδρῶν δ' εἴπερ τίς σε βίῃ καὶ κάρτεϊ εἴκων,
Οὔτι τίει, σοὶ δ' ἐστὶν καὶ ἐξοπίσω τίσις αἰεί.
Ἔρξον, ὅπως ἐθέλεις, καί τοι φίλον ἔπλετο θυμῷ·
Τὸν δ' ἠμείβετ' ἔπειτα Ποσειδάων ἐνοσίχθων·
Αἶψά κ' ἐγὼν ἔρξαιμι, Κελαινεφὲς, ὡς ἀγορεύεις·
Ἀλλὰ σὸν αἰεὶ θυμὸν ὀπίζομαι, ἠδ' ἀλεείνω.
Νῦν αὖ Φαιήκων ἐθέλω περικαλλέα νῆα,
Ἐκ πομπῆς ἀνιοῦσαν, ἐν ἠεροειδέϊ πόντῳ
Ῥαῖσαι· ἵν' ἤδη σχῶνται, ἀπολλήξωσι δὲ πομπῆς
Ἀνθρώπων. μέγα δέ σφιν ὄρος πόλει ἀμφικαλύψαι.
Τὸν δ' ἀπαμειβόμενος, προσέφη νεφεληγερέτα Ζεύς·

δ' ἧς ὑφαίνουσιν. 130. Ἔξεισι] κατάγονται· ὁ γὰρ Φαίαξ ὁ πρόγονος αὐτῶν.

ἃ ἦν προηπειληκὼς Ὀδυσσεῖ· διὸ προσιὼν τῷ Διῒ, ἀπόπειραν αὐτοῦ ἐποιεῖτο.

Ζεῦ πάτερ, εἰπὼν, οὐκέτ' ἔγωγ' ἐν ἀθανάτοις τιμώμενος ἔσομαι, ὅτε καὶ οἱ βροτοὶ αὐτοὶ μικρά μου φροντίζουσι, καὶ ταῦθ' οἱ ἐκ τῆς ἐμῆς σπορᾶς καταγόμενοι, οἷοί εἰσιν οἱ Φαίακες μάλιστα· ἐμοὶ γὰρ ἡ νόστος τῷ Ὀδυσσεῖ οὐ πάμπαν ἀπείρητο, εἴγε σὺ τοῦτ' αὐτῷ προὐπινεύσας ὑπέσχου· ἠβουλόμην δὲ μόνον πολλὰ προπαθόντα ἔτι, οὕτως οἴκαδ' ἐλθεῖν· οἱ δὲ, ἄπλητα δῶρ' αὐτῷ χορηγήσαντες, χρυσόν τε, χαλκόν τε, ἐσθῆτά τε φαεινὴν, καὶ ἄλλα μυρία, ὅσα γε οὐδ' ἐκ Τροίας, εἰ ἀσινὴς ἐπανῆκεν, ἐκομίσατ' ἂν ἀπὸ τῶν λαφύρων, οὕτω περαιώσαντες αὐτὸν, κατέθηκαν ἐν Ἰθάκῃ, κατειργασμένον ὅλως τῷ ὕπνῳ.

Ζεὺς δὲ πρὸς ταῦτα· τί τοῦτ', ὦ Πόσειδον; τίνα τοῦτον εἴρηκας λόγον; πῶς ἂν ἄτιμος εἴης αὐτὸς ἐν θεοῖς, θεὸς ὢν τῶν ἀρχαιοτάτων τε καὶ ἀρίστων; εἰ δέ τις τῶν θνητῶν τῇ οἰκείᾳ πεποιθὼς δυνάμει, ἐξύβρισε, τί μὴ ἐπεξέρχῃ αὐτῷ, δίκην ἐπιθεὶς, ἣν ἄν βούλῃ;

Ποσειδῶν δὲ πρὸς ταῦτα. Ταῦτα μὲν, ὦ Ζεῦ, ἐποίησα ἂν προθύμως, ἀπώκνουν δὲ πρὸς τὴν σὴν ὀργὴν ὁπωσδήποτε· νῦν δ' ἐπεὶ καί σοι τοῦτο ἔδοξεν, ἐκεῖνο βουλοίμην τοὺς Φαίακας δράσαι, ἐπειδὰν ἴδω τὴν ναῦν ἐπανήκουσαν ἀπὸ τῆς πομπῆς, αὐτήν τε ταύτην ἐν τῷ πλοΐ διαφθεῖραι, καὶ ὄρος μέγ' ἐπικρεμάσαι ἐπικυλινδήσας, δόκησιν ἀεὶ παρεχόμενον αὐτοῖς ἐπιπεσεῖσθαι, ἵνα μάθωσι μηκέτι πομπῆς ἄνευ ἐμοῦ ἀξιοῦν τοὺς καταγομένους.

Ζεὺς δὲ πρὸς ταῦτα· ἐμοὶ δ', ὦ τὰν, ἄμεινον δοκεῖ ἔχειν

Ποσειδῶνος καὶ Κυρκύρας τῆς Ἀσωποῦ ἐγένετο. 142. Ἰάλλειν, περιβάλλειν 148. Ὀπίζομαι] αἰδοῦμαι, καὶ φυλάττομαι. 151. Ῥαῖσαι] διαφθεῖραι. 152.

Ὦ πέπον, ὡς μὲν ἐμῷ θυμῷ δοκεῖ εἶναι ἄριστα,
Ὁππότε κεν δὴ πάντες ἐλαυνομένην προΐδωνται
Λαοὶ ἀπὸ πτόλιος, θεῖναι λίθον ἐγγύθι γαίης,
Νηῒ θοῇ ἴκελον· ἵνα θαυμάζωσιν ἅπαντες
Ἄνθρωποι. μέγα δέ σφιν ὄρος πόλει ἀμφικαλύψαι.
Αὐτὰρ ἐπεὶ τόγ' ἄκουσε Ποσειδάων ἐνοσίχθων,
Βῆ ῥ' ἴμεν ἐς Σχερίην, ὅθι Φαίηκες γεγάασιν.
Ἔνθ' ἔμεν'· ἡ δὲ μάλα σχεδὸν ἤλυθε ποντοπόρος νηῦς,
Ῥίμφα διωκομένη· τῆς δὲ σχεδὸν ἦλθ' Ἐνοσίχθων,
Ὅς μιν λᾶαν ἔθηκε, καὶ ἐῤῥίζωσεν ἔνερθεν.
Χειρὶ καταπρηνεῖ ἐλάσας· ὁ δὲ νόσφι βεβήκει.
Οἱ δὲ πρὸς ἀλλήλους ἔπεα πτερόεντ' ἀγόρευον
Φαίηκες δολιχήρετμοι, ναυσίκλυτοι ἄνδρες·
Ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον.
Ὤμοι, τίς δὴ νῆα θοὴν ἐπέδησ' ἐνὶ πόντῳ,
Οἴκαδ' ἐλαυνομένην; καὶ δὴ προὐφαίνετο πᾶσα.
Ὣς ἄρα τις εἴπεσκε. τὰ δ' οὐκ ἴσαν, ὡς ἐτέτυκτο·
Τοῖσιν δ' Ἀλκίνοος ἀγορήσατο καὶ μετέειπεν·
Ὢ πόποι, ἦ μάλα δή με παλαίφατα θέσφαθ' ἱκάνει
Πατρὸς ἐμοῦ, ὃς ἔφασκε Ποσειδάων' ἀγάσασθαι
Ἡμῖν, οὕνεκα πομποὶ ἀπήμονές εἰμεν ἁπάντων.
Φῆ ποτὲ Φαιήκων ἀνδρῶν περικαλλέα νῆα,
Ἐκ πομπῆς ἀνιοῦσαν, ἐν ἠεροειδέϊ πόντῳ
Ῥαισέμεναι, μέγα δ' ἧμιν ὄρος πόλει ἀμφικαλύψειν,
Ὣς ἀγόρευ' ὁ γέρων· τάδε δὴ νῦν πάντα τελεῖται·
Ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες·
Πομπῆς μὲν παύσασθε βροτῶν, ὅτε κέν τις ἵκηται
Ἡμέτερον προτὶ ἄστυ· Ποσειδάωνι δὲ ταύρους
Δώδεκα κεκριμένους ἱερεύσομεν, αἴ κ' ἐλεήσῃ,
Μηδ' ἡμῖν περίμηκες ὄρος πόλει ἀμφικαλύψῃ·

ὧδε· ἐπειδὰν οἱ ἀπὸ τῆς πόλεως πόῤῥωθεν ἐπισκοπῶσι τὴν ναῦν προσπλέουσαν πρὸς αὐτοὺς, αἴφνης μεταβαλεῖν αὐτὴν εἰς λίθον, ἤδη πρὸς τῇ γῇ γενομένην· καὶ ὄρος μέγα ἐπὶ τὴν αὐτῶν ἀναμοχλεῦσαι πόλιν, ὥστ' ἐξίστασθαι πάντας.

Τούτων δ' οὕτως ἐγνωσμένων, παρεγένετο Ποσειδῶν εὐθὺς εἰς Σχερίαν τὴν νῆσον, ταύτην αὐτὴν τὴν τῶν Φαιάκων πατρίδα· καὶ ἰδὼν τὴν ναῦν πολλῇ προσπλέουσαν ταχυτῆτι, προσιὼν αὐτῇ, καὶ τὴν χεῖρα ἐπιβαλὼν, μετέβαλεν αὐτὴν παραχρῆμα εἰς λίθον, ὑποῤῥιζώσας, ὥστε ἀτρεμεῖν ὅλως ἀμετάβατον ἐν τοῖς ὕδασιν· εἶθ' οὕτως ᾤχετο ἀπιών. Οἱ δὲ ἀπὸ τῆς πόλεως ὁρῶντες τὸ παράδοξον, ἐξεπλάγησαν, τί τοῦτο, λέγοντες πρὸς ἀλλήλους, ἡμῖν συμβέβηκε παρ' ἐλπίδα; τίς ἡμῖν ἐπέδησεν οὕτω τὴν ναῦν ἐν τοῖς ὕδασιν; ἤδε γὰρ ἀσινὴς δοκεῖ εἶναι.

Οὕτω δὲ διαπορουμένων αὐτῶν, παρελθὼν Ἀλκίνοος, ἔφη, χρησμὸν ἀρχαῖον, ὦ ἄνδρες, δοκῶ μοι τοῦθ' ὁρᾷν πληρούμενον ἤδη· ὃν τυγχάνω ἀκηκοὼς παρὰ τοῦ πατρός· ἔσται γὰρ, ἔφη ἐκεῖνος, ὅτε χολώσεται ἡμῖν Ποσειδῶν, ἐφ' οἷς τοὺς ὡς ἡμᾶς καταγομένους ἀσφαλῶς ἀποπέμπομεν· ναῦτε γὰρ τῶν Φαιάκων τυχυναυτοῦσαν, ἀπὸ πομπῆς ἐπανήκουσαν ἐν μέσῳ τῷ πόντῳ διαφθερεῖν, καὶ ὄρος προσεπικαλινδήσειν ἡμῖν τῇ πόλει· ταῦθ', ὅ,τε γέρων ἔφη γενήσεσθαι, καὶ ἡμεῖς ὁρῶμεν τὰ γεγενημένα ἤδη αὐτοῖς ὀφθαλμοῖς. Ἄγετε τοίνυν πείθεσθέ μου τοῖς λόγοις. παυσάμενοι τοῦ γε λοιποῦ τῆς πομπῆς, δυωκαίδεκα ταύρους τοὺς ἀρίστους ἀπὸ πάντων ἑλόμενοι, θύωμεν Ποσειδῶνι, εἴπως γενόμενος ἵλεως, φείσαιτο ἡμῶν τῆς τοῦ ὄρους γε ἀπειλῆς.

Ὄρος πόλει] ἀναλλαγὴ πτώσεων, ἀντὶ τοῦ ὄρει πόλιν. 170. Οὐκ ἴσαν] οὐκ ᾔδεσαν. 173. Ἀγάσασθαι] ὀργισθῆναι ἄγαν. 208. Καλλείψω] καταλείψω

Ὡς ἔφαθ'. οἱ δ' ἔδδεισαν, ἑτοιμάσσαντο δὲ ταύρους·
Ὣς οἱ μέν ῥ' εὔχοντο Ποσειδάωνι ἄνακτι
Δήμου Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες,
Ἑσταότες περὶ βωμόν. Ὁ δ' ἔγρετο δῖος Ὀδυσσεύς,
Εὕδων ἐν γαίῃ πατρωΐῃ, οὐδέ μιν ἔγνω,
Ἤδη δὴν ἀπεών· περὶ γὰρ θεὸς ἠέρα χεῦεν
Παλλὰς Ἀθηναίη, κούρη Διός· ὄφρα μιν αὐτὸν
Ἄγνωστον τεύξειεν, ἕκαστά τε μυθήσαιτο,
Μή μιν πρὶν ἄλοχος γνοίη, ἀστοί τε φίλοι τε,
Πρὶν πᾶσαν μνηστῆρας ὑπερβασίην ἀποτῖσαι.
Τοὔνεκ' ἄρ' ἀλλοειδέα φαινέσκετο πάντα ἄνακτι,
Ἀτραπιτοί τε διηνεκέες, λιμένες τε πάνορμοι,
Πέτραι τ' ἠλίβατοι καὶ δένδρεα τηλεθόωντα·
Στῆ δ' ἄρ' ἀναΐξας, καί ῥ' εἴσιδε πατρίδα γαῖαν·
Ὤμωξέν τ' ἄρ' ἔπειτα, καὶ ὢ πεπλήγετο μηρὼ
Χερσὶ καταπρηνέσσ'· ὀλοφυρόμενος δ', ἔπος ηὔδα.
Ὤ μοι ἐγώ, τέων αὖτε βροτῶν ἐς γαῖαν ἱκάνω;
Ἤ ῥ' οἵγ' ὑβρισαί τε καὶ ἄγριοι, οὐδὲ δίκαιοι,
Ἠὲ φιλόξεινοι, καί σφιν νόος ἐστὶ θεουδής;
Πῆ δὴ χρήματα πολλὰ φέρω τάδε; πῆ τε καὶ αὐτὸς
Πλάζομαι; αἴθ' ὄφελον μεῖναι παρὰ Φαιήκεσσιν
Αὐτοῦ· ἐγὼ δέ κεν ἄλλον ὑπερμενέων βασιλήων
Ἐξικόμην, ὅς κέν μ' ἐφίλει καὶ ἔπεμπε νέεσθαι.
Νῦν δ' οὔτ' ἄρ πη θέσθαι ἐπίσταμαι, οὐδὲ μὲν αὐτοῦ
Καλλείψω, μήπως μοι ἕλωρ ἄλλοισι γένηται.
Ὢ πόποι, οὐκ ἄρα πάντα νοήμονες οὐδὲ δίκαιοι
Ἦσαν Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες,
Οἵ μ' εἰς ἄλλην γαῖαν ἀπήγαγον, ἦ τέ μ' ἔφαντο
Ἄξειν εἰς Ἰθάκην εὐδείελον, οὐδ' ἐτέλεσσαν.
Ζεὺς σφείας τίσαιθ' ἱκετήσιος, ὅστε καὶ ἄλλους

Ταῦτα δ᾽ αὐτοῦ εἰπόντος, δείσαντες οἱ βουληφόροι καὶ ἡγεμόνες τῶν Φαιάκων ἐπὶ τούτοις, παρεσκευάζοντο τὰ πρὸς τὴν θυσίαν· Ἑστῶτες τοίνυν περὶ τὸν βωμὸν, ηὔχοντο Ποσειδῶνι βασιλεῖ. Ἐν δὲ τούτῳ διϋπνίζεται καὶ ὁ Ὀδυσσεὺς ἐν Ἰθάκῃ· καὶ περιβλέψας, γινώσκει οὐδὲν οὐδαμοῦ τῷ ἐκ πολλοῦ ἀποδεδημηκέναι ἐκεῖθεν, οὐδ᾽ ἥτις εἴη ἡ γῆ, ἐν ᾗ ἤδη ἦν· ἡ γὰρ Ἀθηνᾶ, ἵνα μὴ γένηται γνωστὸς ὁτῳδήποτε, μὴ γυναικὶ, μὴ φίλοις, μὴ πολίταις, μηδενὶ μηδαμῶς πρὶν ἢ πάντα παρ᾽ αὐτῆς διδαχθῆναι, ὅπως δίκην δεῖ λαβεῖν παρὰ τῶν μνηστήρων, νέφει περιέβαλε πυκνῷ· κἀκ τούτου πάντ᾽ αὐτῷ ἀλλοῖα ἐφαίνετο, ἀτραποί τε μακραὶ, λιμένες εὔδιοι, πέτραι τε ἠλίβατοι, δένδρα τε περιθάλλοντα, καὶ ἄλλα μυρία· Ἀναστὰς τοίνυν καὶ περιβλέψας ἀνῴμωξε, καὶ πλήξας τοὺς μηροὺς ἀμφοτέραις σὺν ὀλοφυρμῷ, οἴμοι, ἔφη, τῷ δυστήνῳ! ποῖ δήποτ᾽ αὖθις τυγχάνω ἀποπλανηθείς; ἆρα τίνες κατοικοῦσι τὴν χώραν τήνδε; πότερον ὑβρισταί τινες, καὶ ἄγριοι ἄνθρωποι, ἢ φιλάνθρωποι καὶ φιλόξενοι; ποῖ δὲ καὶ τὰ χρήματα ταυτὶ φέρων, καταθῶμαι ὡς ἐν ἀσφαλεῖ; ποῖ δὲ καὶ αὐτὸς πλανώμενος τράπωμαι; εἴθε μοι ἦν παραμεῖναι τοῖς Φαίαξιν· εἴθε μοι ὡς ἄλλον τινὰ τῶν βασιλέων γενέσθαι, ὃς δεξάμενός με ἐπιτηδείως, ἔπεμψεν ἂν ἐς φίλην πατρίδα γαῖαν· νῦν δ᾽ οὐδ᾽ ὅπῃ μεταστήσας, καταθῶμαι ταῦτ᾽, ἐπίσταμαι· εἰ γὰρ αὐτοῦ καταλίποιμι, ἕρμαιον ἔσται τῷ πρώτως παριόντι ἐντεῦθεν· οὐκ ἄρ᾽ εὐνοϊκὰ, οὐδ᾽ ἁπλᾶ ἦν τὰ παρὰ τῶν Φαιάκων μοι ὑπηργμένα· ἐπαγγειλάμενοι γὰρ πέμψειν με οἴκαδε, οἱ δὲ εἰς τήνδε ἐξαγαγόντες τὴν ἐσχατιὰν, κατέλιπον ἔρημον· ἀλλὰ Ζεὺς ὁ ἱκέ-

— Ἕλωρ] ἕρμαιον. 222. Ἐπιβώτορι] ποιμένι. 223. Παναπάλῳ τρυφερῷ

Ἀνθρώπους ἐφορᾷ καὶ τίνυται, ὅστις ἁμάρτῃ.
Ἀλλ' ἄγε δὴ τὰ χρήματ' ἀριθμήσω καὶ ἴδομαι,
Μήτι μοι οἴχωνται κοίλης ἐπὶ νηὸς ἄγοντες.
Ὣς εἰπὼν, τρίποδας περικαλλέας ἠδὲ λέβητας
Ἠρίθμει καὶ χρυσὸν, ὑφαντά τε εἵματα καλά.
Τῶν μὲν ἄρ' οὔτι πόθει· ὁ δ' ὀδύρετο πατρίδα γαῖαν,
Ἑρπύζων παρὰ θῖνα πολυφλοίσβοιο θαλάσσης,
Πόλλ' ὀλοφυρόμενος· σχεδόθεν δέ οἱ ἦλθεν Ἀθήνη,
Ἀνδρὶ δέμας εἰκυῖα νέῳ ἐπιβώτορι μήλων,
Παναπάλῳ, οἷοί τε ἀνάκτων παῖδες ἔασιν,
Δίπτυχον ἀμφ' ὤμοισιν ἔχουσ' εὐεργέα λώπην·
Ποσσὶ δ' ὑπὸ λιπαροῖσι πέδιλ' ἔχε, χερσὶ δ' ἄκοντα.
Τὴν δ' Ὀδυσσεὺς γήθησεν ἰδὼν, καὶ ἐναντίος ἦλθεν,
Καί μιν φωνήσας, ἔπεα πτερόεντα προσηύδα·
Ὦ φίλ', ἐπεί σε πρῶτα κιχάνω τῷδ' ἐνὶ χώρῳ.
Χαῖρέ τε, καὶ μή μοί τι κακῷ νόῳ ἀντιβολήσαις,
Ἀλλὰ σάω μὲν ταῦτα, σάω δ' ἐμέ· σοὶ γὰρ ἔγωγε
Εὔχομαι, ὥςε θεῷ, καί σευ φίλα γούναθ' ἱκάνω·
Καί μοι τοῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' εὖ εἰδῶ·
Τίς γῆ, τίς δῆμος, τίνες ἀνέρες ἐγγεγάασιν;
Ἤ πού τις νήσων εὐδείελος, ἠέ τις ἀκτὴ
Κεῖθ' ἁλὶ κεκλιμένη ἐριβώλακος ἠπείροιο;
Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
Νήπιος εἶς, ὦ ξεῖν', ἢ τηλόθεν εἰλήλουθας,
Εἰ δὴ τήνδε τε γαῖαν ἀνείρεαι· οὐδέ τι λίην
Οὕτω νώνυμός ἐςιν· ἴσασι δέ μιν μάλα πολλοὶ,
Ἠμὲν ὅσοι ναίουσι πρὸς Ἠῶ τ', Ἠέλιόν τε,
Ἠδ' ὅσσοι μετόπισθε ποτὶ ζόφον ἠερόεντα.
Ἤτοι μὲν τρηχεῖα καὶ οὐχ ἱππήλατός ἐςιν,
Οὐδὲ λίην λυπρὴ, ἀτὰρ οὐδ' εὐρεῖα τέτυκται.
Ἐν μὲν γάρ οἱ σῖτος ἀθέσφατος, ἐν δέ τε οἶνος
Γίγνεται· αἰεὶ δ' ὄμβρος ἔχει τεθαλυῖά τ' ἐέρση·

σιος, ὃς πάντ' ἐφορῶν, πικρῶς τοῖς ἁμαρτάνουσιν ἐπεξέρχεται, αὐτοὺς ἀπολέσειεν· ἀλλ' ἄγε νῦν αὐτὸς ἀπαριθμῶ νῦν τὰ χρήματα, εἴτι τούτων ἐκεῖνοί μοι ἀφελόμενοι ἀπὸ τῆς νεώς, ᾤχοντο ἀπιόντες.

Ταῦτα δ' εἰπὼν καθ' αὑτὸν, διεσκέπτετο ἕκαστα ἑξῆς τρίποδάς τε περικαλεῖς καὶ λέβητας, χρυσόν τε καὶ ἐσθῆτα πολλὴν ὑφαντήν· εὗρε δὲ οὐδὲν ἐλλιπές· τῷ δὲ τῆς πατρίδος τηκόμενος πόθῳ, ἐβάδιζε παρὰ τὴν ἀκτὴν ὀδυρόμενος· κἀν τούτῳ ἐπεφάνη προσιοῦσα ἡ Ἀθηνᾶ, ἀνδρί ποιμενικῷ ἐοικυῖα νέῳ καὶ ἁπαλῷ, οἷοι μάλιστ' εἰσὶν οἱ παῖδες τῶν βασιλέων, χλαῖναν ἐπ' ὤμων φέρουσα ἐπτυγμένην, πέδιλά τε καλὰ ὑποδεδημένην, καὶ δόρυ μακρὸν ἐν χειρί.

Ταύτην τοίνυν ἰδὼν Ὀδυσσεὺς, ἥσθη· καὶ στραφεὶς πρὸς αὐτὴν, χαῖρε, ἔφη, ὦ φίλε· σοὶ γὰρ ἐν τῇδε τῇ χώρᾳ ἐνέτυχον πρώτῳ· δέομαί σου τοίνυν, τῶν σῶν ἁπτόμενος γούνων, ὥσπερ θεοῦ, σῶσον μὲν ταῦτ' ἐμοὶ, σῶσον δὲ κἀμὲ αὐτὸν σὺν αὐτοῖς· καί μοι λέγε, τίς ἡ γῆ ἥδε, τί δὲ καὶ γένος τὸ ἐν αὐτῇ; πότερον νῆσός ἐστιν, ἢ ακτὴ ἠπείρου τινὸς τυγχάνει γε οὖσα;

Ἀθηνᾶ δὲ πρὸς ταῦτα, νήπιός μοι δοκεῖς εἶναι, ξένε· ἢ πόῤῥωθέν ποθεν τυγχάνεις ἐληλυθὼς, ἐπεί μου περὶ τῆσδε τῆς γῆς πυνθάνῃ· ἧς πολύς ἐστι λόγος παρὰ πᾶσιν ἀνθρώποις πρός τε ἀνίσχοντα πρός τε δυόμενον ἥλιον· τραχεῖα μὲν γάρ ἐστιν ἀληθῶς, κοὐχ' ἱππάσιμος, οὐδὲ πολλὴ, ἀλλ' οὐχ' ὁμοίως ἐστὶ καὶ λεπτόγειως· σῖτόν τε γὰρ καὶ οἶνον ἄφθονα φέρει, ὄμβρου συνεχοῦς καὶ δρόσου αὐτὴν ἀεὶ ἀρδευόντων· τρέφει δὲ μάλιστα

μειρακίσκῳ, παρὰ τὸ πᾶν καὶ ἁπαλόν. 224. Δίπτυχον] διπλῆν· λώπην δὲ περιβολήν, ἱμάτιον· ἐξ οὗ τὸ λωποδύτης. 245. Ἐέρση] δρόσος ἢ τὰ φυτὰ

Αἰγίβοτος δ' ἀγαθὴ καὶ βούβοτος· ἔςι μὲν ὕλη
Παντοίη, ἐν δ' ἀρδμοὶ ἐπηετανοὶ παρέασιν.
Τῷ τοι, ξεῖν', Ἰθάκης γε καὶ ἐς Τροίην ὄνομ' ἵκει,
Τήνπερ τηλοῦ φασὶν Ἀχαιΐδος ἔμμεναι αἴης.
Ὣς φάτο· γήθησεν δὲ πολύτλας δῖος Ὀδυσσεὺς,
Χαίρων ᾗ γαίῃ πατρωΐῃ, ὥς οἱ ἔειπεν
Παλλὰς Ἀθηναίη, κούρη Διὸς αἰγιόχοιο·
Καί μιν φωνήσας, ἔπεα πτερόεντα προσηύδα·
Οὐδ' ὅγ' ἀληθέα εἶπε, πάλιν δ' ὅγε λάζετο μῦθον,
Αἰεὶ ἐνὶ ςήθεσσι νόον πολυκερδέα νωμῶν·
Πυνθανόμην Ἰθάκης γε καὶ ἐν Κρήτῃ εὐρείῃ,
Τηλοῦ ὑπὲρ πόντου· νῦν δ' εἰλήλουθα καὶ αὐτὸς
Χρήμασι σὺν τοῖσδεσσι· λιπὼν δ' ἔτι παισὶ τοσαῦτα
Φεύγω, ἐπεὶ φίλον υἷα κατέκτανον Ἰδομενῆος,
Ὀρσίλοχον πόδας ὠκὺν, ὃς ἐν Κρήτῃ εὐρείῃ,
Ἀνέρας ἀλφηςὰς νίκα ταχέεσσι πόδεσσιν·
Οὕνεκά με ςερέσαι τῆς ληΐδος ἤθελε πάσης
Τρωϊάδος, τῆς εἵνεκ' ἐγὼ πάθον ἄλγεα θυμῷ,
Ἀνδρῶν τε πτολέμους, ἀλεγεινά τε κύματα πείρων·
Οὕνεκ' ἄρ' οὐχ ᾧ πατρὶ χαριζόμενος, θεράπευον
Δήμῳ ἔνι Τρώων, ἀλλ' ἄλλων ἦρχον ἑταίρων.
Τὸν μὲν ἐγὼ κατιόντα βάλον χαλκήρεϊ δουρὶ
Ἀγρόθεν, ἐγγὺς ὁδοῖο λοχησάμενος σὺν ἑταίρῳ·
Νὺξ δὲ μάλα δνοφερὴ κατέχ' οὐρανὸν, οὐδέ τις ἡμέας
Ἀνθρώπων ἐνόησε· λάθον δέ ἑ θυμὸν ἀπούρας.
Αὐτὰρ ἐπειδὴ τόνγε κατέκτανον ὀξέϊ χαλκῷ,
Αὐτίκ' ἐγὼν ἐπὶ νῆα κιὼν Φοίνικας ἀγαυοὺς,
Ἐλλισάμην καί σφιν μενοεικέα ληΐδα δῶκα·
Τούς μ' ἐκέλευσα Πύλονδε καταςῆσαι καὶ ἐφέσσαι
Ἢ εἰς Ἤλιδα δῖαν, ὅθι κρατέουσιν Ἐπειοί.
Ἀλλ' ἤτοι σφέας κεῖθεν ἀπώσατο ἲς ἀνέμοιο,
Πόλλ' ἀεκαζομένους· οὐδ' ἤθελον ἐξαπατῆσαι.

αἶγάς τε καὶ βοῦς ἀγαθὰς ἐν δρυμῶσιν ὕλης παντοίας, καὶ πηγαῖς ἀενάοις· διὸ Ἰθάκης τοὔνομα καὶ ἔστ' ἐπ' αὐτὴν ἀφῖκται τὴν Τροίαν, καίτοι ὡς πορρωτάτω φασὶν εἶναι τῆς Ἀχαΐδος.

Τοῦτο δ' ἀκούσας ὁ πολύτλας Ὀδυσσεὺς, ἥσθη λίαν, ὅτι εὑρέθη ἐν τῇ ἑαυτοῦ πατρίδι, ὡς ἦν εἰκάσας, ἐξ ὧν εἶπεν αὐτῷ ἡ θεός· καὶ δὴ πολλὰ ἀνακυκλῶν κατὰ νοῦν, ἀπεκρίνατο πρὸς αὐτὴν, ὡδέπως τἀληθὲς μεταπλάσας. Ἐγὼ μὲν, ἔφη, καὶ ἐν Κρήτῃ πολλὰ ἀκήκοα περὶ τῆς Ἰθάκης, καὶ νῦν αὐτοῖς ὁρῶ ὀφθαλμοῖς, φυγὰς ἐκεῖθεν σὺν τοῖσδε γεγενημένος, ἕτερα τοσαῦτα καταλιπὼν τοῖς παισίν. Ὀρσίλοχον γὰρ τὸν Ἰδομενέως, ἄνδρα ποδώκην, πάντας Κρῆτας νικῶντα δρόμῳ, ἀνεῖλον, ἐφ' οἷς ἐπεβάλετό με ἀφελέσθαι τὴν λείαν τὴν ἀπὸ τῆς Τροίας· ὑπὲρ ἧς ἔγωγε, πολλὰ μὲν προμαχόμενος, πολλὰ δὲ καὶ κατὰ θάλασσαν χειμαζόμενος, τυγχάνω γε πεπονθώς· ἀπέχθημαι γὰρ αὐτῷ, ὅτι μὴ ἐθεράπευον τὸν αὐτοῦ πατέρα ἐν Τροίᾳ, αὐτὸς τῶν ἐμαυτοῦ ἑταίρων ἄρχειν ἀξιῶν· ἐνεδρεύσας γὰρ αὐτῷ σὺν ἑταίρῳ τῳ ὑπὸ νυκτὶ βαθείᾳ κατιόντι ἀπὸ τοῦ ἀγροῦ, διήλασα τῷ δορί· εἶδε δὲ οὐδεὶς τὸ γενόμενον· ἐκ δὴ τούτου νεὼς τυχὼν Φοινίκων ἑτοίμης ἀνάγεσθαι, συνεξέπλευσα λεληθότως, μοῖραν τῆς λείας τῆσδε συνθέμενος αὐτοῖς ἀποδοῦναι, ἐφ' ᾧ με εἰς Πύλον, ἢ εἰς Ἦλιν, ἔνθ' Ἐπειῶν ἐστι κράτος, καταστήσουσιν σῶν· ἀλλὰ τὸ πνεῦμα ἐναντίον ἐπιγενόμενον, ἐξέωσεν αὐτοὺς πλανᾶσθαι καὶ ἄκοντας (οὐ γάρ τις ἀπάτη ἐδόκει εἶναι), ἔνθ' αὐτοῖς βουλομένοις οὐχ ἦν·

ποιοῦσα θάλλειν· 246. Βούβοτος] ἡ βουσὶ βοσκομένη. 247. Ἀρδμοί] ποτισμοί, παρὰ τὸ ἄρδειν. — Ἐπηετανοί] συνεχεῖς πάρεισιν. 254. Πλάζετο] ἀπεπλάνα τὸν λόγον ἄλλῃ. 255. Νωμῶν] περιστρέφων. 261. Ἀλφηστὰς] ἐφευρετικούς. 270. Λάθον] ἔλαθον ἀφελὼν αὐτὸν τὴν ψυχήν· ὅ ἐστι, μηδενὸς

Κεῖθεν δὲ πλαγχθέντες, ἱκάνομεν ἐνθάδε νυκτός·
Σπουδῇ δ' ἐς λιμένα προερέσσαμεν, οὐδέ τις ἡμῖν
Δόρπου μνῆστις ἔην, μάλα περ χατέουσιν, ἑλέσθαι.
Ἀλλ' αὔτως ἀποβάντες, ἐκείμεθα νηὸς ἅπαντες·
Ἔνθ' ἐμὲ μὲν γλυκὺς ὕπνος ἐπήλυθα κεκμηῶτα·
Οἱ δὲ χρήματ' ἐμὰ γλαφυρῆς ἐκ νηὸς ἑλόντες,
Κάτθεσαν, ἔνθα περ αὐτὸς ἐπὶ ψαμάθοισιν ἐκείμην.
Οἱ δ' ἐς Σιδονίην εὐναιομένην ἀναβάντες,
Ὤχοντ'· αὐτὰρ ἐγὼ λιπόμην ἀκαχήμενος ἦτορ.
Ὣς φάτο· μείδησεν δὲ θεὰ γλαυκῶπις Ἀθήνη,
Χειρί τέ μιν κατέρεξε· δέμας δ' ἤϊκτο γυναικὶ
Καλῇ τε, μεγάλῃ τε, καὶ ἀγλαὰ ἔργ' εἰδυίῃ·
Καί μιν φωνήσασ', ἔπεα πτερόεντα προσηύδα·
Κερδαλέος κ' εἴη καὶ ἐπίκλοπος, ὅς σε παρέλθοι
Ἐν πάντεσσι δόλοισι, καὶ εἰ θεὸς ἀντιάσειεν.
Σχέτλιε, ποικιλομῆτα, δόλων ἆτ', οὐκ ἄρ' ἔμελλες
Οὐδ' ἐν σῇ περ ἐὼν γαίῃ, λήξειν ἀπατάων,
Μύθων τε κλοπίων, οἵ τοι πεδόθεν φίλοι εἰσίν;
Ἀλλ' ἄγε, μηκέτι ταῦτα λεγώμεθα, εἰδότες ἄμφω
Κέρδε'· ἐπεὶ σὺ μέν ἐσσι βροτῶν ὄχ' ἄριστος ἁπάντων
Βουλῇ καὶ μύθοισιν, ἐγὼ δ' ἐν πᾶσι θεοῖσιν
Μήτι τε κλέομαι καὶ κέρδεσιν· οὐδὲ σύγ' ἔγνως
Παλλάδ' Ἀθηναίην, κούρην Διός, ἥτε τοι αἰεὶ
Ἐν πάντεσσι πόνοισι παρίσταμαι, ἠδὲ φυλάσσω,
Καὶ δέ σε Φαιήκεσσι φίλον πάντεσσιν ἔθηκα.
Νῦν αὖ δεῦρ' ἱκόμην, ἵνα τοι σὺν μῆτιν ὑφήνω,
Χρήματά τε κρύψω, ὅσα τοι Φαίηκες ἀγαυοὶ
Ὤπασαν, οἴκαδ' ἰόντι, ἐμῇ βουλῇ τε, νόῳ τε,
Εἴπω θ', ὅσσα τοι αἶσα δόμοις ἔνι ποιητοῖσιν

με ἰδόντος τοῦτο πράξαντα διὰ σκότος. 291] παρέλθοι. ὑπερβαίη, νικά-

τοιούτῳ δὲ χειμῶνι χρησάμενοι, ἄσμενοι ὑπὸ νύκτα ἐς τόνδε τὸν λιμένα κατήχθημεν, σιτήσεως πάμπαν ἐπιλελησμένοι, καίπερ δι' ἡμέρας ἄσιτοι ὄντες· ἀποβάντες δὲ, ἐκείμεθα, ὡς ἑκάστῳ προὐχώρει, ἐπὶ τῆςδε τῆς ἀκτῆς· κἀγὼ μὲν, κεκμηκὼς ὅλως πόνῳ, ὕπνου με καταλαβόντος, ἐκοιμώμην ὧδί· οἱ δὲ, ἐξελόντες μοι ἐν τούτῳ τὰ κτήματα, καὶ καταθέντες πάνθ' ἑξῆς παρ' ἐμοὶ ἐν τῇ ψάμμῳ, ᾤχοντο ἀναχθέντες, καταλιπόντες ἐμὲ λυπούμενον ὧδε.

Ταῦτα δ' αὐτοῦ εἰπόντος, εὐθὺς ἡ θεὸς, εἰς γυναῖκα ἤδη μεγάλην τε καὶ καλὴν, καὶ πολλῶν εἰδήμονα ἔργων μεταμορφωθεῖσα, καὶ τῇ χειρὶ αὐτὸν καταψήσασα κούφως, πανοῦργός τις, ἔφη, καὶ πάνυ πολύπλοκος ἂν εἴη, εἴτις σε νικῴη ἐν φενακισμοῖς καὶ σοφίσμασι, κἂν θεὸς τύχῃ ὤν· Σχέτλιε, ποικιλώτατε ἐν φρονήμασιν, ἀνεξάντλητε ἐν δόλοις, οὔτε νῦν ἐν τῇ οἰκείᾳ ἔμελλες ἀποσχήσεσθαι τοῦ ἐξαπατᾷν καὶ παράγειν, ἅσοι ἐξ ἁπαλῶν ὀνύχων ὑπάρχουσι φύσει· ἀλλ' ἤδη, καίτοι πολλὰ εἰδότες ἀμφότεροι, ἀλλ' οὖν παυώμεθα διατρίβειν ἐν τούτοις· σύ τε γὰρ ἀνθρώπων ἁπάντων μηχανικώτατος, κἀγὼ ἐν μεγίστῳ ἀξιώματι εἰμὶ ἐν θεοῖς φρονήσει προὔχουσα πάντων· ἀλλὰ σύγ' οὔπω ἔοικας γινώσκειν Ἀθηνᾶν τὴν τοῦ Διὸς θυγατέρα· ἥ σε ἐν παντὶ κινδύνῳ καὶ πόνῳ παρισταμένη, φυλάσσω, φίλον σε Φαίαξί τε πᾶσι ποιήσασα, καὶ νῦν προσελθοῦσα, σέ τε τὰ εἰκότα διδάξω, καὶ τὰ χρήματα ταῦτα, ἅσοι ἐξ ἐμῆς βουλῆς δεδώρηται παρὰ τῶν Φαιάκων, διασώσω σοι ἐς τὸ ἀσφαλές· ἐρῶ γὰρ,

---

σειε. 292. Ἀντιάσειε] ἐντύχοι σοι. 293. Δόλων ἆτε] ἀκόρεστε δόλων. — Ἔμελλες] ἐβούλου. 295. Κλοπίων] παραλογιστικῶν. — Πεδόθεν] ἐξ αὐτοῦ τοῦ πέδου, ἐν ᾧ ἐγεννήθης· ἢ ἀντὶ τοῦ παιδόθεν, διὰ τὸ μέτρον. 297. Κέρδεα. δόλους· 299. Μήτι τε κλέομαι] βουλῇ τε κλείζομαι καὶ δόλοις προὔχειν.

Κήδε' ἀνασχέσθαι· σὺ δὲ τετλάμεναι καὶ ἀνάγκῃ,
Μηδέ τῳ ἐκφάσθαι, μήτ' ἀνδρῶν μήτε γυναικῶν,
Πάντων, οὕνεκ' ἄρ' ἦλθες ἀλώμενος· ἀλλὰ σιωπῇ
Πάσχειν ἄλγεα πολλὰ, βίας ὑποδέγμενος ἀνδρῶν.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς.
Ἀργαλέον σε, θεὰ, γνῶναι βροτῷ ἀντιάσαντι,
Καὶ μάλ' ἐπιςαμένῳ· σὲ γὰρ αὐτὴν παντὶ ἐΐσκεις.
Τοῦτο δ' ἐγὼν εὖ οἶδ', ὅτι μοι πάρος ἠπίη ἦσθα,
Εἷως ἐν Τροίῃ πολεμίζομεν υἷες Ἀχαιῶν·
Αὐτὰρ ἐπεὶ Πριάμοιο πόλιν διεπέρσαμεν αἰπὴν,
Βῆμεν δ' ἐν νήεσσι, θεὸς δ' ἐκέδασσεν Ἀχαιοὺς,
Οὐ σέγ' ἔπειτα ἴδον, κούρη Διὸς, οὐδ' ἐνόησα
Νηὸς ἐμῆς ἐπιβᾶσαν, ὅπως τί μοι ἄλγος ἀλάλκοις.
Ἀλλ' αἰεὶ φρεσὶν ᾗσιν ἔχων δεδαϊγμένον ἦτορ
Ἠλώμην, εἷως με θεοὶ κακότητος ἔλυσαν·
Πρίν γ' ὅτ' Φαιήκων ἀνδρῶν ἐν πίονι δήμῳ
Θάρσυνάς τ' ἐπέεσσι, καὶ ἐς πόλιν ἤγαγες αὐτή.
Νῦν δέ σε πρὸς πατρὸς γουνάζομαι· οὐ γὰρ ὀΐω
Ἥκειν εἰς Ἰθάκην εὐδείελον, ἀλλά τιν' ἄλλην
Γαῖαν ἀναςρέφομαι· σὲ δὲ κερτομέουσαν ὀΐω
Ταῦτα ἀγορευέμεναι, ἵν' ἐμὰς φρένας ἠπεροπεύσῃς,
Εἰπέ μοι, εἰ ἐτεόν γε φίλην ἐς πατρίδ' ἱκάνω.
Τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη·
Αἰεί τοι τοιοῦτον ἐνὶ ςήθεσσι νόημα·
Τῷ σε καὶ οὐ δύναμαι προλιπεῖν δύστηνον ἐόντα,
Οὕνεκ' ἐπητής ἐσσι καὶ ἀγχίνοος καὶ ἐχέφρων.

---

320. Δεδαϊγμένον] κεκαυμένον ἢ κεκομμένον. 321. Ἠλώμην] ἐπλανώμην] 323. Θάρσυνας] ἴδε ἀνωτέρω ἐν τῷ Η. στίχ. 27. καὶ ἑξῆς. 326. Κερτομέουσαν] εἰρωνευομένην. 327. Ἠπεροπεύσῃς] παραγάγῃς. 328. Ἐτεὸν] ἀλη-

ἅσοι εἵμαρται οἴκοι ἔτι παθεῖν· σὲ δὲ χρὴ πάντα φέρειν ἀνάγκῃ, πρὸς μηδένα μήτ' ἀνδρῶν, μήτε γυναικῶν τὴν σαυτοῦ ἐκφήναντα ἔλευσιν· ἀλλ' ἀνέχεσθαι σιωπῇ, ὑβριζόμενόν τε, καὶ προπηλακιζόμενον ὑπὸ τῶν ἐχθρῶν. Ταῦτα μὲν ἐκείνη.

Ὀδυσσεὺς δὲ πρὸς ταῦτα· χαλεπὸν, ὦ θεὰ, καὶ εἰ σοφός τις τύχοι ὢν, γνῶναί σε ἐντυχόντα, οὕτω παντοίως μεταβαλλομένην τὸ εἶδος· ἐγὼ δ' ἐκεῖνο ἓν μόνον οἶδα, καὶ σαφῶς ἐξεπίσταμαι, ὅτι πρώην ἤπιος ἦσθα, καὶ εὔνους ἀεί μοι παρισταμένη ἐν Τροίᾳ· μετὰ δὲ τὴν τῆς πόλεως ἅλωσιν, ἐμβάντων ἡμῶν ἐς τὰς ναῦς, ἐπειδὴ διεσκέδασε τοὺς Ἕλληνας ὁ θεὸς ἐν τῷ πλεῖν ἄλλους ἄλλῃ, οὐκέτι σε εἶδον, κόρη Διὸς, οὐδ' ᾐσθόμην σέ πῃ τῆς ἐμῆς ἐπιβᾶσαν νεὼς, ἵνα πολλῶν καὶ μεγάλων μοι συμβεβηκότων δεινῶν, ἀπαλλάξειας· ἀλλ' αὐτὸς ἐπ' ἐμαυτῷ καταλελειμμένος, καὶ λύπῃ γενόμενος ὑποβρύχιος, διεχειμαζόμην ἐν ἀπλέτῳ τῇ πλάνῃ, ἕως ὅτου οἱ θεοὶ ἀπαλλάξαντες τούτων, διέσωσάν με εἰς Φαίακας· ἔνθα πάλιν ἑώρακά σε θαῤῥύνουσαν καὶ εἰσηγουμένην πρὸς τὴν πόλιν τὴν τούτων· νῦν δ' οὖν τῶν σῶν γονάτων ἁπτόμενος, ἱκετεύω πρὸς τοῦ σοῦ πατρὸς, εἰπέ μοι, εἰ ἀληθῶς ἐν Ἰθάκῃ εἰμί· ἐνδοιάζειν γάρ μοι ἐπέρχεται περὶ τούτου, καί σε οἶμαι νῦν ὑποκορίζεσθαι σπουδῇ πρὸς ἐμὲ, τῆς ἐμῆς γνώμης ἀποπειρωμένη. Ταῦτα μὲν καὶ οὗτος.

Ἀθηνᾶ δὲ πρὸς ταῦτα. Οἶδά σε, Ὀδυσσεῦ, ἀεὶ πρὸς πάντα ἐκ φύσεως γιγνόμενον ὕποπτον, πᾶν δεινὸν ἔτι πόῤῥωθεν προορώμενον· ταῦτ' ἄρ' οὐκ ἂν δυναίμην σε καταλιπεῖν, καὶ ταῦτα νῦν γ' ἐν τοσούτοις γεγενημένον κακοῖς, τοιοῦτον λόγιον ὄντα, ἀγχίνουν τε, καὶ φρόνιμον μάλιστα· ἕτερος γάρ τις,

---

Στίχ. 330. Τοιοῦτον νόημα] προσεκτικὸν, μὴ δυνάμενον ἐξαπατᾶσθαι· διὸ

Ἀσπασίως γάρ κ' ἄλλος ἀνὴρ ἀλαλήμενος ἐλθὼν,
Ἵατ' ἐνὶ μεγάροις ἰδέειν παῖδάς τ', ἄλοχόν τε·
Σοὶ δ' οὔπω φίλον ἐςὶ δαήμεναι, οὐδὲ πυθέσθαι,
Πρίν γ' ἔτι σῆς ἀλόχου πειρήσεαι, ἥτε τοι αὔτως
Ἧςαι ἐνὶ μεγάροισιν· ὀϊζυραὶ δέ οἱ αἰεὶ
Φθίνουσιν νύκτες τε καὶ ἤματα δακρυχεούσῃ.
Αὐτὰρ ἐγὼ τὸ μὲν οὔποτ' ἀπίςεον, ἀλλ' ἐνὶ θυμῷ
Ἤδε', ὃ νοςήσεις, ὀλέσας ἄπο πάντας ἑταίρους.
Ἀλλά τοι οὐκ ἐθέλησα Ποσειδάωνι μάχεσθαι,
Πατροκασιγνήτῳ, ὅς τοι κότον ἔνθετο θυμῷ,
Χωόμενος, ὅτι υἱὸν φίλον ἐξαλάωσας.
Ἀλλ' ἄγε τοι δείξω Ἰθάκης ἕδος, ὄφρα πεποίθῃς.
Φόρκυνος μὲν ὅδ' ἐςὶ λιμὴν, ἁλίοιο γέροντος·
Ἥδε δ' ἐπὶ κρατὸς λιμένος τανύφυλλος ἐλαίη·
Ἀγχόθι δ' αὐτῆς ἄντρον ἐπήρατον, ἠεροειδὲς,
Ἱρὸν Νυμφάων, αἳ Νηϊάδες καλέονται·
Τοῦτο δέ τοι σπέος ἐςὶ κατηρεφὲς, ἔνθα σὺ πολλὰς
Ἔρδεσκες Νύμφῃσι τεληέσσας ἑκατόμβας·
Τοῦτο δὲ Νήριτόν ἐςιν, ὄρος καταειμένον ὕλῃ.
Ὣς εἰποῦσα θεὰ σκέδασ' ἠέρα· εἴσατο δὲ χθών·
Γήθησέν τ' ἄρ' ἔπειτα πολύτλας δῖος Ὀδυσσεὺς,
Χαίρων ᾗ γαίῃ· κύσε δὲ ζείδωρον ἄρουραν.
Αὐτίκα δὲ Νύμφῃς ἠρήσατο χεῖρας ἀνασχών·
Νύμφαι Νηϊάδες, κοῦραι Διὸς, οὔποτ' ἔγωγε
Ὄψεσθ' ὔμμ' ἐφάμην· νῦν δ' εὐχωλῇς ἀγανῇσιν
Χαίρετ'· ἀτὰρ καὶ δῶρα διδώσομεν, ὡς τὸ πάρος περ,

καὶ τ λ. 332. Ἐπητὴς] λόγιος, παρὰ τὸ ἔπος, φρόνιμος. 334. Ἵεται] ἐφίεται 335. Οὔπω φίλον] οὐ καλὸν, ὠφέλιμον μαθεῖν. 340. Ὅ] ὅτι. 350. Ἔρδεσκες] ἐποίεις, ἔθυες τελείας ἑκατόμβας. 351. Καταειμένον] κατακεκαλυμμένον,

ἥδις ἐλθὼν ἀπὸ πλάνης, ἀφίκοιτο οἴκαδε, γυναῖκας καὶ παῖδας ὀψόμενος· σοὶ δ' εἰκότως οὐ δοκεῖ καλῶς τοῦτο ἔχειν, πρὶν ἢ τῆς γυναικὸς λαβεῖν πεῖραν, εἰ ἔτι σοι μένοι πιστή· ἀλλ' ἴσθι αὐτὴν οἴκοι ἡσυχάζουσαν, οἵαν κατέλιπες ἀποπλεύσας, νυκτός τε καὶ ἡμέρας τοῖς δάκρυσι τηκομένην· τὸ δ' ἐμὸν, ὅτι μή σοι κατὰ θάλατταν ἐπεκούρησα, οὐκ ἀπόγνωσις τοῦτο ἦν, ὡς ἂν εἴποις αὐτὸς, τῆς σῆς σωτηρίας· ᾔδειν γὰρ σὲ ἀπολέσαντα πάντας τοὺς ἑταίρους, ἀφιξόμενόν ποθ' ὕστερον οἴκαδε σῶν· ἀλλ' οὐκ ἠξίωσα Ποσειδῶνι πρεσβυτάτῳ θεῷ, καὶ μάλιστα πατραδέλφῳ, σοί τε χολωσαμένῳ, ἀνθ' ὧν τὸν παῖδα οἱ ἐξωμμάτωσας, ἀντία βαίνειν· νῦν δ' ἄγε δείξω σοι γνωρίσματ' ἄττα τῆς φίλης πατρίδος· ἴδε λιμὴν οὑτοσὶν ὁ τοῦ Φόρκυνος· ἐλαία δὲ ἥδε ἐπὶ τῆς κεφαλῆς τοῦ λιμένος· παρὰ δὲ αὐτῇ τὸ ἄντρον ἐκεῖνο ὡς καλὸν καὶ βαθύ, εὐρύ τε καὶ κατάστεγον ἄνωθεν, ἱερὸν Νυμφῶν ταῖς Ναΐσιν, ἔνθα πολλαὶ πολλάκις τέθυνται ἑκατόμβαι· δευρὶ δ' αὖ ὄρος σοι τὸ Νήριτον τοῦτ' ἐστὶ, πολλῇ κατάσκιον ὕλῃ. Ταῦτα δ' εἰποῦσα, διεσκέδασεν αὐτῷ τὴν ἐπιπροσθοῦσαν ἀχλὺν πανταχόθεν.

Ὀδυσσεὺς δ' ἐκ τούτων, οἵαν ἡδονὴν ἤσθη, περισκεψάμενος, καὶ συμβαλὼν τὰ σημεῖα, τοῦτ' οὐκ ἔστιν δηλῶσαι λόγῳ· κύψας δὲ, ἠσπάσαθ' ἡδέως τὸ ἔδαφος· ἔπειτ' ἀνασχὼν τὰς χεῖρας, ηὔξατο ταῖς Ναΐσι, Νύμφαι, εἰπὼν, ἔγωγε μὲν οὐκέθ' ὑμᾶς ἤλπιζον ὄψεσθαι· νῦν δὲ χαίρετέ μοι, μόναις εὐχαῖς ἀγαπῶσαι· εἰ δέ γε ποτὲ Ἀθηνᾶ, ἡ θυγάτηρ αὕτη Διὸς, ἡ λαφυραγωγικὴ, ἐμοί τ' αὐτῷ τὸ ζῆν πα-

---

παρὰ τὸ ἕω, ἕννυμι τὸ ἐνδύω, ἕσωμαι, ὅθεν εἵματα, τὰ ἱμάτια. 352. Εἴσατο] ἐφάνη, 354. Κύσε] ἔκυσεν, ἠσπάσατο. 357. ἀγαναῖς] ταῖς δυνα-

Αἴ κεν ἐᾷ πρόφρων με Διὸς θυγάτηρ ἀγελείη
Αὐτόν τε ζώειν, καί μοι φίλον υἱὸν ἀέξῃ.
Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
Θάρσει, μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων.
Ἀλλὰ χρήματα μὲν μυχῷ ἄντρου θεσπεσίοιο
Θείομεν αὐτίκα νῦν, ἵνα περ τάδε τοι σόα μίμνῃ·
Αὐτοὶ δὲ φραζώμεθ', ὅπως ὄχ' ἄριστα γένηται.
Ὣς εἰποῦσα θεὰ δῦνε σπέος ἠεροειδὲς,
Μαιομένη κευθμῶνας ἀνὰ σπέος· αὐτὰρ Ὀδυσσεὺς
Ἆσσον πάντ' ἐφόρει, χρυσὸν, καὶ ἀτειρέα χαλκὸν,
Εἵματά τ' εὐποίητα, τά οἱ Φαίηκες ἔδωκαν.
Καὶ τὰ μὲν εὖ κατέθηκε· λίθον δὲ ἐπέθηκε θύρῃσιν
Παλλὰς Ἀθηναίη, κούρη Διὸς αἰγιόχοιο.
Τὼ δὲ καθεζομένω ἱερῆς παρὰ πυθμέν' ἐλαίης,
Φραζέσθην μνηστῆρσιν ὑπερφιάλοισιν ὄλεθρον.
Τοῖσι δὲ μύθων ἦρχε θεὰ γλαυκῶπις Ἀθήνη·
Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Φράζευ, ὅπως μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφήσεις,
Οἳ δή τοι τρίετες μέγαρον κάτα κοιρανέουσιν,
Μνώμενοι ἀντιθέην ἄλοχον, καὶ ἕδνα διδόντες·
Ἡ δὲ σὸν αἰεὶ νόστον ὀδυρομένη κατὰ θυμὸν,
Πάντας μέν ῥ' ἔλπει καὶ ὑπίσχεται ἀνδρὶ ἑκάστῳ,
Ἀγγελίας προϊεῖσα· νόος δέ οἱ ἄλλα μενοινᾷ.
Τὴν δ' ἀπαμειβόμενος, προσέφη πολύμητις Ὀδυσσεύς.
Ὢ πόποι, ἦ μάλα δὴ Ἀγαμέμνονος Ἀτρείδαο
Φθίσεσθαι κακὸν οἶτον ἐνὶ μεγάροισιν ἔμελλον,
Εἰ μή μοι σὺ ἕκαστα, θεὰ, κατὰ μοῖραν ἔειπες.
Ἀλλ' ἄγε, μῆτιν ὕφηνον, ὅπως ἀποτίσομαι αὐτούς·
Πὰρ δέ μοι αὐτὴ στῆθι, μένος πολυθαρσὲς ἐνεῖσα,
Οἷον, ὅτε Τροίης λύομεν λιπαρὰ κρήδεμνα.

ρατείνειε, καὶ τὸν φίλτατόν μοι παῖδα αὐξηθῆναι ποιήσειε, τηνικαῦτα ἄλλ' ἄλλοθεν ὑμῖν παρ' ἡμῶν ἔσται δῶρα.

Ἀθηνᾶ δὲ πρὸς ταῦτα. Θάρσει, Ὀδυσσεῦ, μηδέν σοι τούτων μελέτω· ἀλλ' ἄγε νῦν αὐτίκα μάλ' εἰσφορήσαντες τὰ χρήματα κατὰ τὸ μυχαίτατον τοῦ σπηλαίου, ὅπως σοι κέοιτο αὐτοῦ πρὸς ἀσφάλειαν, ἡμεῖς βουλευώμεθα τἀπὶ τούτοις, ὅπως ἄριστα πάντα ἔσται.

Τούτων δ' οὕτως εἰρημένων, ἡ μὲν θεὸς εἰσέδυ εἰς τὸ ἄντρον εὐθὺς, κευθμῶνας ἀναζητήσουσα· ὁ δὲ εἰσκομίσας χρυσόν τε, χαλκόν τε, καὶ ἐσθῆτα καλὴν, ἣν οἱ Φαίακες αὐτῷ ἐδεδώκεσαν, κατέθηκεν ἀθρόα αὐτοῦ ἐν τῷ ἀσφαλεῖ· ἡ δὲ θεὸς, λίθον ἐπικυλίσασα παμμεγέθη, ἐπέθηκε τῇ εἰσόδῳ· εἶθ' οὕτω καθεσθέντες ἄμφω παρὰ τῇ ἐλαίᾳ, ἐβουλεύοντο περὶ μνηστηροκτονίας· ἦρξε δὲ ἡ θεὸς λόγου τοιοῦδε. Ὥρα σοι τοίνυν, ὦ Ὀδυσσεῦ, βουλεύεσθαι, ὅπως ἄριστά σοι τὰ κατὰ τοὺς μνηστῆρας ἀγωνισθήσεται· δεῖ γὰρ δὴ δίκην αὐτοὺς δοῦναι, τρίτον ἔτος τουτὶ τὸν σὸν καταναλίσκοντας οἶκον, τὴν σὴν γυναῖκα μνηστευομένους, καὶ ἕδνα ἐπ' αὐτῇ οὐκ ὀλίγα διδόντας· ἡ δὲ τῷ σῷ τηκομένη πόθῳ, ὑπισχνεῖται μὲν ἐκείνοις ἑκάστοις τῷ λόγῳ· πρὸς ἕτερα δὲ ἀποβλέπει τῇ γνώμῃ.

Ὀδυσσεὺς δὲ πρὸς ταῦτα· ὢ πόποι! ἦπου γ' ὅμοια ἔπαθον Ἀγαμέμνονι, οἴκαδε ἐλθὼν, εἰ μὴ σύ γ', ὦ θεὸς, προεξηγήσω μοι ἕκαστα, ὅπως ἔχει· ἀλλ' ἄγε νῦν εἰπέ μοι, ὅπως ἄριστα μηχανησάμενος, δίκην λήψομαι παρ' αὐτῶν· στῆναι δέ σε δεῖ ἀεὶ παρ' ἐμοὶ, οἷον ἐν Τροίᾳ, ὁπότε αὐτῇ καθῃρεῖτο

μέναις ὑμᾶς προσάγεσθαι. 359· Ἀγελείη] ἡ ἄγουσα λείας. 362. μελόντων] μελέτωσαν. 364. Θείομεν] θῶμεν. — Σόα] σῶα. 388. Λιπαρὰ κρήδεμνα]

Αἴ κέ μοι ὣς μεμαυῖα παρασταίης, Γλαυκῶπι·
Καί κε τριηκοσίοισιν ἐγὼν ἄνδρεσσι μαχοίμην,
Σὺν σοὶ, πότνια θεὰ, ὅτε μοι πρόφρασσ' ἐπαρήγοις.
Τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη·
Καί λίην τοι ἔγωγε παρέσσομαι, οὐδέ με λήσεις,
Ὁππότε κεν δὴ ταῦτα πενώμεθα· καί τιν' οἴω
Αἵματί τ', ἐγκεφάλῳ τε παλαξέμεν ἄσπετον οὖδας
Ἀνδρῶν μνηστήρων, οἵ τοι βίοτον κατέδουσιν.
Ἀλλ' ἄγε σ' ἄγνωστον τεύξω πάντεσσι βροτοῖσιν·
Κάρψω μὲν χρόα καλὸν ἐνὶ γναμπτοῖσι μέλεσσιν,
Ξανθάς τε ἐκ κεφαλῆς ὀλέσω τρίχας, ἀμφὶ δὲ λαῖφος
Ἕσσω, ὅ κε στυγέησιν ἰδὼν ἄνθρωπος ἔχοντα·
Κνυζώσω δέ τοι ὄσσε, πάρος περικαλλέ' ἐόντε·
Ὡς ἂν ἀεικέλιος πᾶσι μνηστῆρσι φανείης
Σῇ τ' ἀλόχῳ καὶ παιδὶ, τὸν ἐν μεγάροισιν ἔλειπες.
Αὐτὸς δὲ πρώτιστα συβώτην εἰσαφικέσθαι,
Ὅς τοι ὑῶν ἐπίουρος, ὁμῶς δέ τοι ἤπια οἶδεν
Παῖδά τε σὸν φιλέει καὶ ἐχέφρονα Πηνελόπειαν.
Δήεις τόνγε σύεσσι παρήμενον· αἱ δὲ νέμονται
Πὰρ Κόρακος πέτρῃ ἐπί τε κρήνῃ Ἀρεθούσῃ,
Ἔσθουσαι βάλανον μενοεικέα, καὶ μέλαν ὕδωρ
Πίνουσαι, τάθ' ὕεσσι τρέφει τεθαλυῖαν ἀλοιφήν·
Ἔνθα μένειν καὶ πάντα παρήμενος ἐξερέεσθαι,
Ὄφρ' ἂν ἐγὼν ἔλθω Σπάρτην ἐς καλλιγύναικα,
Τηλέμαχον καλέουσα, τεὸν φίλον υἱὸν, Ὀδυσσεῦ·
Ὅς τοι ἐς εὐρύχορον Λακεδαίμονα πὰρ Μενέλαον
Ὤχετο πευσόμενος μετὰ σὸν κλέος, ἤν που ἔτ' εἴης.

τὰ λαμπρὰ τείχη, ἐκ μεταφορᾶς. 391. Πρόφρασσα] προθυμουμένη. 395.

τὰ τείχη· οὕτω γὰρ κἂν τριακοσίοις ἀνδράσιν ἔγωγε μαχεσαίμην, σοῦ μοι συναντιλαμβανούσης προθύμως.

Ἀθηνᾶ δὲ πρὸς ταῦτα· οὐκ ἂν, οὐδ' εἴτι καὶ γένοιτο, ἀποσταίην σου ἔγωγε, Ὀδυσσεῦ· πῶς γὰρ παρήκοός σου γενοίμην ἐν τοιούτῳ ἀγῶνι; αὐτίκα τοίνυν ὄψει τοὔδαφος παντὸς τοῦ δώματος εἴσω τοῖς τ' ἐγκεφάλοις καὶ αἵμασι τῶν μνηστήρων καταῤῥεόμενον· ἀλλ' ἄγε πρῶτον ἄγνωστόν σε πᾶσιν ἀνθρώποις ποιῶ, τό τ' εἶδος τῶν μελῶν ῥυσσώσασα τὸ καλὸν, καὶ τὰς τρίχας τὰς ξανθὰς τῆς κεφαλῆς ἀφανίσασα· τριβώνιόν τε μάλα φλαῦρον καὶ πιναρὸν, ὃ ἰδών τις ἀποτροπιάσαιτ' ἂν, ἀμφιέσασα· καὶ τοὺς ὀφθαλμοὺς τουτουσὶ τοὺς περικαλλεῖς τῇ πρὸς ἑαυτοὺς κακώσασα συνολκῇ, ὡς ἂν αἰσχρὸς καὶ ἀποστρεπτέος, οὐχ ὅπως τοῖς μνηστῆρσιν, ἀλλὰ δὴ καὶ αὐτοῖς τοῖς φιλτάτοις, Πηνελόπῃ καὶ Τηλεμάχῳ, ὃν κατέλιπες ἀποπλεύσας, τοιοῦτος καὶ τούτοις φανείης. Τέως δ' οὖν δεῖσε πρὸ πάντων ἐλθεῖν ἐς τὸν ἀγρὸν παρὰ τὸν συβώτην· ὃς φύλαξ μὲν τῶν χοίρων ἐστὶ τῶν σῶν· εὐνοεῖ δέ σοι μάλιστα, τήν τε Πηνελόπην καὶ τὸν παῖδα φιλῶν· εὑρήσεις δ' αὐτὸν ἐπισκοποῦντα τοὺς σῦς πρὸς τῇ τοῦ Κόρακος πέτρᾳ καὶ τῇ Ἀρεθούσῃ βαλάνους ἐσθίοντας, καὶ ὕδωρ πίνοντας, ἐξ ὧν λιπαροὶ καὶ εὐτραφεῖς καθιστῶνται· εὑρὼν δὲ μένε παρ' αὐτῷ, διαπυνθανόμενος ἕκαστα, μέχρις ἂν ἴδῃς με ἐπανελθόντα ἀπὸ τῆς Σπάρτης· βούλομαι γὰρ ἀπελθεῖν ἐκεῖσε ὡς τάχιστα, μετακαλεσομένη Τηλέμαχον οἴκαδε· ὃς ᾤχετ' ἀπιὼν ὡς Μενέλαον, πευσόμενος περί σου, εἴτι κἀκεῖνος εἰδείη.

Παλαξέμεν] μολύνειν. 398. Κάρψω] καταξηρανῶ. 399. Λαῖφος] πιναρὸν ἱμάτιον, 401. Κνυζώσω] κακιώσω, ἀχρειώσω 405. Ἐπίουρος] ἐπίσκοπος, φύλαξ. 407. Δήεις] εὑρήσεις] 408. Κόρακος] κυνηγετῶν ὁ Κόραξ, κατέπεσεν ἀπὸ τῆς πέτρας αὐτῆς. ἡ δὲ μήτηρ Ἀρέθουσα μαθοῦσα, ἀπήγξατο· 411.

Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Τίπτε τ' ἄρ' οὔ οἱ ἔειπες, ἐνὶ φρεσὶ πάντ' εἰδυῖα;
Ἤ ἵνα που καὶ κεῖνος ἀλώμενος ἄλγεα πάσχῃ
Πόντον ἐπ' ἀτρύγετον· βίοτον δέ οἱ ἄλλοι ἔδουσιν;
Τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη·
Μὴ δή τοι κεῖνός γε λίην ἐνθύμιος ἔστω.
Αὐτή μιν πόμπευον, ἵνα κλέος ἐσθλὸν ἄροιτο
Κεῖσ' ἐλθών· ἀτὰρ οὔτιν' ἔχει πόνον, ἀλλὰ ἕκηλος
Ἧσαι ἐν Ἀτρεΐδαο δόμοις, παρὰ δ' ἄσπετα κεῖται.
Ἤ μέν μιν λοχόωσι νέοι σὺν νηῒ μελαίνῃ,
Ἱέμενοι κτεῖναι, πρὶν πατρίδα γαῖαν ἱκέσθαι·
Ἀλλὰ τάγ' οὐκ ὀΐω, πρὶν καί τινα γαῖα καθέξει.
Ἀνδρῶν μνηστήρων, οἵ τοι βίοτον κατέδουσιν.
Ὣς ἄρα μιν φαμένη ῥάβδῳ ἐπεμάσσατ' Ἀθήνη·
Κάρψε μὲν οἱ χρόα καλὸν ἐνὶ γναμπτοῖσι μέλεσσιν,
Ξανθὰς δ' ἐκ κεφαλῆς ὄλεσε τρίχας, ἀμφὶ δὲ δέρμα
Πάντεσσιν μελέεσσι παλαιοῦ θῆκε γέροντος·
Κνύζωσεν δὲ οἱ ὄσσε, πάρος περικαλλέ' ἐόντε·
Ἀμφὶ δέ μιν ῥάκος ἄλλο κακὸν βάλεν ἠδὲ χιτῶνα,
Ῥωγαλέα, ῥυπόωντα, κακῷ μεμορυγμένα καπνῷ·
Ἀμφὶ δέ μιν μέγα δέρμα ταχείης ἕσσ' ἐλάφοιο,
Ψιλόν· δῶκε δέ οἱ σκῆπτρον καὶ ἀεικέα πήρην,
Πυκνὰ ῥωγαλέην· ἐν δὲ στρόφος ἦεν ἀορτήρ.
Τώγ' ὣς βουλεύσαντε, διέτμαγον· ἡ μὲν ἔπειτα
Ἐς Λακεδαίμονα δῖαν ἔβη μετὰ παῖδ' Ὀδυσῆος.

Ἔνθα μένειν] ἀντὶ προστακτικοῦ μένε. 421] Ἐνθύμιος] ἐν φροντίδι, μηδέν σοι

Ὀδυσσεὺς δὲ πρὸς ταῦτα· τί ποτ' ἄρ' οὐκ αὐτὴ αὐτῷ εἶπας περὶ ἐμοῦ ἡ πάντα εἰδυῖα τὰ κατ' ἐμέ; ἢ ἵνα καὶ αὐτὸς πλανώμενος ἐν τοῖς κύμασι, πάσχῃ· ἕτεροι δὲ κατοψοφαγῶσιν ὀπίσω τὰ χρήματα.

Ἀθηνᾶ δὲ πρὸς ταῦτα· ἐκείνου μὲν μηδέν σοι μελέτω· ἐγὼ γὰρ αὐτὴ εἰμὶ αὐτὸν πεπομφυῖα, ἵνα πολὺς αὐτοῦ λόγος εἴη παρὰ πᾶσιν ἀνθρώποις· ὅσον οὖν ἐκείνου γε ἕνεκα οὐδέν σε χρὴ δεδιέναι περὶ αὐτῷ, ἀτρέμας ἤδη ἔχοντι παρὰ Μενελάῳ ἐν πᾶσιν ἐπιτηδείοις· οἶδα γάρ τινας τῶν μνηστήρων τούτων τῶν τὰ σὰ διαφθειρόντων ἀεὶ ἐνεδρεύοντας ἐκείνῳ, ὅπως καταγόμενον ἀποκτείνειαν· ἀλλ' οὐκ ἂν καὶ πέρας τῇ βουλῇ ἐπιθοῖεν· τοὐναντίον δὲ καὶ αὐτοὶ ἐφ' ἑαυτοὺς ἀντιπερισπῶνται τὸν ὄλεθρον.

Ἐκ δὴ τούτων θιγοῦσα αὐτοῦ τῇ ῥάβδῳ, ἐῤῥύσσωσε μὲν παραχρῆμα τὸ δέρμα, καὶ κατεῤῥίκνωσεν ἐν πᾶσι τοῖς μέλεσιν· ἐξηφάνισε δὲ καὶ τὰς ξανθὰς τρίχας ἀπὸ τῆς κεφαλῆς· συνήγαγε δὲ συνολκῇ καὶ τὰς ὄψεις· καὶ ὅλως γηραιόν τε καὶ ῥυσσὸν ἀπεργασαμένη, περιέβαλε ῥάκος αὐτῷ πιναρὸν, διεῤῥωγὸς, καὶ πολλῷ ῥεῤῥυπωμένον καπνῷ· ἐπὶ δὲ πᾶσιν ἐλάφου δέρμα αὐτῷ ψιλὸν περιθεῖσα, δέδωκε ῥόπαλον τῇ χειρὶ, πήραν τε ῥωγαλέαν ἀπὸ ἱμάντος στρεπτοῦ αὐτῷ ἐξαρτήσασα, ᾤχετο ἀπιοῦσα ὡς Τηλέμαχον ἐς τὴν Σπάρτην.

ἐκείνου μελέτω. 422. Πόμπευον] ἡγούμην αὐτῷ, συνώδευον. 424. Παρὰ ἄσπετα] ἐν πᾶσιν ἀγαθοῖς ἐστι. 429. Ἐπεμάσσατο] καθήψατο. 435. Μεμοθυγμένα] πεφυρμένα. 436. Ἕσσε] ἐνέδυσε. 438. Ἀορτὴρ] τελαμὼν, ἢ σχοινιον, ἐξ οὗ ἐξηρτᾶτο. 439. Διέτμαγον] διεχωρίσθησαν.

ΥΠΟΘΕΣΙΣ

ΟΔΥΣΣΕΥΣ ἐλθὼν ὡς Εὔμαιον εἰς τὸν ἀγρὸν, κινδυνεύει κατασπαραχθῆναι ὑπὸ τῶν κυνῶν· διασώσας δ' αὐτὸν μόλις ὁ Εὔμαιος, ὑποδέχεται δεξιῶς· ὁ δὲ, πολλὰ διέξεισιν αὐτῷ, πλάττων πάντα· ἐν οἷς καὶ ἐλπίδα τῷ Εὐμαίῳ παρέχει ἐλεύσεσθαι αὐτῷ ποτὲ τὸν δεσπότην. Εὔμαιος δὲ θύει ἐπὶ τούτοις, τόν τε ξένον τιμῶν, καὶ τὴν

ΟΔΥΣΣΕΙΑΣ Ξ.

Αὐτὰρ ὁ ἐκ λιμένος προσέβη τρηχεῖαν ἀταρπὸν
Χῶρον ἀν' ὑλήεντα δι' ἄκριας, ᾗ οἱ Ἀθήνη
Πέφραδε δῖον ὑφορβὸν, ὅ οἱ βιότοιο μάλιστα
Κήδετο οἰκήων, οὓς κτήσατο δῖος Ὀδυσσεύς.
Τὸν δ' ἄρ' ἐνὶ προδόμῳ εὗρ' ἥμενον, ἔνθα οἱ αὐλὴ
Ὑψηλὴ δέδμητο, περισκέπτῳ ἐνὶ χώρῳ
Καλή τε, μεγάλη τε, περίδρομος· ἥν ῥα συβώτης
Αὐτὸς δείμαθ' ὕεσσιν, ἀποιχομένοιο ἄνακτος,

---

2 Δι' ἄκριας] διὰ τῶν ἀκρωρειῶν τοῦ ὄρους. 3. Ὅ οἱ] ὃς αὐτῷ τῆς οἰ-

ΤΟΥ Ξ.

τοῦ δεσπότου νόστον παρὰ τῶν θεῶν ἐξαιτούμενος· συῶν χηθέντων δὲ ἐν τούτῳ, Ὀδυσσεὺς μέλλων καθευδήσειν, ὑπαισθάνεται οὐκ ἀκροθιγῶς τὸ τῆς νυκτὸς ψῦχος· καὶ διεξιὼν πλάσμα συμβεβηκὼς αὐτῷ ἐν Τροίᾳ, ἔτυχε καλύμματος παρὰ τοῦ συβώτου· ὁ δὲ ἐκ τούτου ἀπῆλθεν ἐπὶ τὰ συβώσιον.

ΟΔΥΣΣΕΙΑΣ Ξ.

Ο μὲν οὖν Ὀδυσσεὺς ἐκβὰς ἀπὸ τοῦ λιμένος, ἀνῄει διὰ τῆς τραχείας καὶ ὀρεινῆς, ᾗ προστέτακται αὐτῷ παρὰ τῆς θεοῦ, πρὸς Εὔμαιον τὸν συβώτην, παρ' οὗ πλείων, ἢ παρὰ τῶν ἄλλων ἑκάστων δούλων ἐπιμέλεια ἦν τῶν κατὰ τὸν οἶκον τοῦ Ὀδυσσέως· εὗρε δ' αὐτὸν καθήμενον ἐν προδόμῳ· ἔνθ' ἦν αὐτῷ αὐλὴ μετέωρος, καλή τε καὶ μεγάλη, πανταχόθεν περιοδευτὴ ἐν ἀπόπτῳ χωρίῳ· ἣν αὐτὸς ὁ συβώτης, τοῦ δεσπότου ἤδη ἀποδεδημηκότος, οἰκοδομήσας λίθοις εὐμεγέ-

κίας μᾶλλον, ἢ οἱ ἄλλοι οἰκέται, ἐπιμελεῖτο. 6. Περίδρομος πανταχόθεν πε-

Νόσφιν δεσποίνης καὶ Λαέρταο γέροντος,
Ῥυτοῖσιν λάεσσι, καὶ ἐθρίγκωσεν ἀχέρδῳ.
Σταυροὺς δ' ἐκτὸς ἔλασσε διαμπερὲς ἔνθα καὶ ἔνθα,
Πυκνοὺς καὶ θαμέας, τὸ μέλαν δρυὸς ἀμφικεάσας·
Ἔντοσθεν δ' αὐλῆς συφεοὺς δυοκαίδεκα ποίει
Πλησίον ἀλλήλων, εὐνὰς συσίν· ἐν δὲ ἑκάστῳ
Πεντήκοντα σύες χαμαιευνάδες ἐρχατόωντο,
Θήλειαι τοκάδες· τοὶ δ' ἄρσενες ἐκτὸς ἴαυον,
Πολλὸν παυρότεροι· τοὺς γὰρ μινύθεσκον ἔδοντες
Ἀντίθεοι μνηστῆρες· ἐπεὶ προΐαλλε συβώτης
Αἰεὶ ζατρεφέων σιάλων τὸν ἄριστον ἁπάντων·
Οἱ δὲ τριηκόσιοί τε καὶ ἑξήκοντα πέλοντο.
Πὰρ δὲ κύνες, θήρεσσιν ἐοικότες, αἰὲν ἴαυον
Τέσσαρες, οὓς ἔθρεψε συβώτης, ὄρχαμος ἀνδρῶν·
Αὐτὸς δ' ἀμφὶ πόδεσσιν ἑοῖς ἀράρισκε πέδιλα,
Τάμνων δέρμα βόειον, ἐΰχροές· οἱ δὲ δὴ ἄλλοι
Ὤχοντ' ἄλλυδις ἄλλος, ἅμ' ἀγρομένοισι σύεσσιν
Οἱ τρεῖς· τὸν δὲ τέταρτον ἀποπροέηκε πόλινδε,
Σῦν ἀγέμεν μνηστῆρσιν ὑπερφιάλοισιν ἀνάγκῃ,
Ὄφρ' ἱερεύσαντες, κρειῶν κορεσαίατο θυμόν.
Ἐξαπίνης δ' Ὀδυσῆα ἴδον κύνες ὑλακόμωροι·
Οἱ μὲν κεκλήγοντες, ἐπέδραμον· αὐτὰρ Ὀδυσσεὺς
Ἕζετο κερδοσύνῃ, σκῆπτρον δέ οἱ ἔκπεσε χειρός.
Ἔνθα κεν ᾧ πὰρ σταθμῷ ἀεικέλιον πάθεν ἄλγος·
Ἀλλὰ συβώτης ὦκα ποσὶ κραιπνοῖσι μετασπὼν
Ἔσσυτ' ἀνὰ πρόθυρον, σκῦτος δέ οἱ ἔκπεσε χειρός.
Τοὺς μὲν ὁμοκλήσας, σεῦεν κύνας ἄλλυδις ἄλλῃ
Πυκνῇσιν λιθάδεσσιν· ὁ δὲ προσέειπεν ἄνακτα·

ριοθευτή. 10. Ῥυτοῖς] ἑλκυστοῖς διὰ μέγεθος· — Ἀχέρδῳ] θάμνοις, ἀκανθώ-

θεσιν ἄνευ τῆς δεσποίνης καὶ Λαέρτου τοῦ γέροντος, περιέφραξεν ἀχέρδῳ, σταυροὺς ἐμπηξάμενος ἔξωθεν ἐπιστήριγμα ἐκ διαλειμάτων· ἐντὸς δὲ τῆς αὐλῆς ἐποίησε συφεοὺς ταῖς συσὶ δυωκαίδεκα· ἐν οἷς ἑκάστῳ πεντήκοντα καθείργνυντο θήλειαι μάλιστα· οἱ δ' ἄῤῥενες χωρὶς διηυλίζοντο, ἐλάττους οὗτοι ὄντες πολλῷ, τῶν μνηστήρων διηνεκῶς ἀναλισκόντων αὐτούς· ἀνάγκη γὰρ ἦν ἑκάστης ἡμέρας ἕνα γε τὸν ἄριστον πάντων ἐκείνοις πέμπειν, ἵν' ἅλις κρεῶν αὐτοῖς ἔχοι· ἦσαν δὲ καὶ οὗτοι τριακόσιοι μάλιστα καὶ ἑξήκοντα. Ἐπὶ δὲ τούτοις κύνες αὐτοῦ διηυλίζοντο τέσσαρες, φύλακες τῶν συῶν, θηρσὶν ἐοικότες· αὐτὸς δ' ὁ Εὔμαιος ἔτυχε τηνικαῦτα προσαρμότων πέδιλα τοῖς ποσὶ, σκύτος τι διατεμών· τῶν δ' ἄλλων οἱ μὲν ᾤχοντο ἐξεληλακότες τὰ συβώσια ἄλλος ἄλλοσε ἐπὶ τὴν νομήν· ὁ δὲ τέταρτος ἀπήει ἀπάξων τὸν σῦν τοῖς ὑπερφιάλοις μνηστῆρσιν· ἐν τούτῳ δ' οὖν ἰδόντες οἱ κύνες τὸν Ὀδυσσέα, ἐπέδραμον πολλῷ τῷ θυμῷ· ὁ δὲ ὀξέως τῇ συνέσει χρησάμενος, ῥίψας χαμαὶ, ὃ ἔφερε ῥόπαλον, ἐκαθέσθη· καὶ μικροῦ ἐδέησε κατασπαραχθῆναι ἐν τῷ ἑαυτοῦ σαθμῷ παρὰ προσδοκίαν, εἰ μὴ ὁ συβώτης ἅμ' ἀκούσας τῆς ὑλακῆς, ἔῤῥιψε κάτω τὸ σκύτος, καὶ δραμὼν εἰς τὸ πρόθυρον, ἀπεσόβησε λίθοις ἄλλοσε ἄλλον· ὃς καὶ στραφεὶς πρὸς

δεσι· οἱ δὲ τὴν ἀγρίαν ἄπιόν φασι εἶναι τὴν ἄχερδον· 11. Σταυροὺς] σκόλοπας ἔξωθεν ἐκ διαλειμμάτων πρὸς ὑποστήριγμα τῆς αἱμασιᾶς. 12. Τὸ μέλαν] τὴν καρδίαν τῆς δρυὸς διὰ τὸ στεῤῥόν· ἢ τὸ πέριξ μέλαν. εἴτ' οὖ φλιὰν περιελὼν, ἀποβαλών. 15. Ἐρχατόωντο] εἵργνυντο. 16. Ἴαυνον] ἀνεπαύοντο. 18. Προΐαλλε] ἔπεμπε. 19. Ζατραφέων] ἐντραφῶν. [23. Ἀράρισκε προσήρμοζεν. 29. Ὑλακόμωροι] οἱ περὶ τὸ ὑλακτεῖν σπουδάζοντες. 31. Κερδοσύνῃ] καθήμενον γὰρ τινα, καὶ ἄλλως κεκαλυμμένον τῷ ἱματίῳ οὐκ ἂν δάκοιεν ἐπιόντες οἱ κύνες. 35. Μετασπῶν] ἐπιδραμών. 36. Ἄνακτα] τὸν

Ὦ γέρον, ἦ ὀλίγου σε κύνες διεδηλήσαντο
Ἐξαπίνης· καί κέν μοι ἐλεγχείην κατέχευας.
Καὶ δέ μοι ἄλλα θεοὶ δόσαν ἄλγεά τε, στοναχάς τε·
Ἀντιθέου γὰρ ἄνακτος ὀδυρόμενος καὶ ἀχεύων
Ἧμαι, ἄλλοισιν δὲ σύας σιάλους ἀτιτάλλω
Ἔδμεναι· αὐτὰρ κεῖνος ἐελδόμενός που ἐδωδῆς
Πλάζετ' ἐπ' ἀλλοθρόων ἀνδρῶν δῆμόν τε, πόλιν τε,
Εἴ που ἔτι ζώει καὶ ὁρᾷ φάος ἠελίοιο.
Ἀλλ' ἕπεο, κλισίηνδ' ἴομεν, γέρον, ὄφρα καὶ αὐτὸς
Σίτου καὶ οἴνοιο κορεσσάμενος κατὰ θυμὸν
Εἴπῃς, ὁππόθεν ἐσσὶ, καὶ ὁππόσα κήδε' ἀνέτλης.
Ὣς εἰπὼν, κλισίηνδ' ἡγήσατο δῖος ὑφορβός·
Εἷσεν δ' εἰσαγαγὼν, ῥῶπας δ' ὑπέχευε δασείας·
Ἐστόρεσεν δ' ἐπὶ δέρμα ἰονθάδος ἀγρίου αἰγὸς,
Αὐτοῦ ἐνεύναιον, μέγα καὶ δασύ· χαῖρε δ' Ὀδυσσεὺς,
Ὅττι μιν ὣς ὑπέδεκτο· ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
Ζεύς τοι δοίη, ξεῖνε, καὶ ἀθάνατοι θεοὶ ἄλλοι
Ὅττι μάλιστ' ἐθέλεις, ὅτι με πρόφρων ὑπέδεξο.
Τὸν δ' ἀπαμειβόμενος, προσέφης, Εὔμαιε συβῶτα·
Ξεῖν', οὔ μοι θέμις ἔστ', οὐδ' εἰ κακίων σέθεν ἔλθοι,
Ξεῖνον ἀτιμῆσαι· πρὸς γὰρ Διός εἰσιν ἅπαντες
Ξεῖνοί τε, πτωχοί τε· δόσις δ' ὀλίγη τε, φίλη τε
Γίγνεται ἡμετέρη· ἡ γὰρ δμώων δίκη ἐστὶν,
Αἰεὶ δειδιότων, ὅτ' ἐπικρατέωσιν ἄνακτες
Οἱ νέοι· ἦ γὰρ τοῦγε θεοὶ κατὰ νόστον ἔδησαν,

ἑαυτοῦ δεσπότην· 37. Ὀλίγου] δεινῶς ἔβλαψάν σε, 38. Ἐλεγχείην] ὄνειδος μέγα. 41. Σιάλους] παχεῖς. — Ἀτιτάλλω] τρέφω, 42, Ἄδμεναι] τρώγειν. 45. Κλισίην δε] εἰς τὴν καλύβην. 50, Ἰονθάδος] δασείας. τὸ γὰρ ἴονθος, τὴν ἔκφυσιν δηλοῖ τῆς τριχός. 51. Ἐνεύναιον] κοιμητήριον. 54. Ὅ,τι μάλιστ' ἐθέλεις] ὑπὲρ ἑαυτοῦ ἡ εὐχή. τοῦτο γὰρ ἂν ὁ συβώτης ἐθέλοι τὸ ἐλθεῖν τὸν δεσπότην οἴκαδε.

τὸν ἑαυτοῦ δεσπότην, ὦ γέρων, ἔφη, μικροῦ δεῖν διεσπάραξαι ὑπὸ τῶν κυνῶν· ὅμοι μέγ᾽ ἔμελλεν ὄνειδος ἔσεσθαι· καὶ ταῦθ᾽ ἡνίκα οἱ θεοὶ πολλοῖς με καὶ ἀφορήτοις ἐνέβαλον δεινοῖς· ὁρᾷς γάρ με καθήμενον ὧδε, διηνεκῶς τὸν ἄριστον δεσποτῶν ὀδυρόμενον· τοὺς δὲ σῦς τουτουσὶ τρέφοντα εὐωχίαν, ὦ θεοί! ἐσομένην ἑτέροις· ὁ δ᾽ ἀνὴρ ἐκεῖνος τάχ᾽ ἄσιτος ὅλως ἐν ἀλλοδαπῇ, εἴπου περιείη, κατὰ πόλεις καὶ ἔθνη πλανᾶται, τῷ πόθῳ τῶν οἴκοι τηκόμενος· ἀλλ᾽ ἕπου νῦν, ὦ γέρων, ὅπως παρ᾽ ἐμοὶ σίτου τε καὶ ποτοῦ μετασχὼν ἀπὸ τῶν παρόντων, εἴποις καὶ αὐτὸς ἐν μέρει ἡμῖν, ὅςτις εἴης, καὶ ὅ,τι ποτὲ τυγχάνοις καὶ αὐτὸς πεπονθώς.

Τοσάδε δ᾽ εἰπὼν, ἡγεῖτ᾽ αὐτῷ ἐπὶ τὴν οἰκίαν· ὡς δὲ εἰσῆλθον, στρώσας αὐτῷ στιβάδα παχεῖαν, ἐπέθηκε δέρμα αἰγὸς ἀγρίου μέγα τε καὶ δασὺ, οἷον ἐπικαθευδῆσαι· ἔχαιρε δὲ Ὀδυσσεὺς, ἐπιτηδείως τυχὼν δεξιώσεως· καὶ δὴ φωνήσας, ξένε, ἔφη, Ζεὺς καὶ πάντες θεοὶ δοῖέν σοι πάντα τἀγαθὰ, ὅσ᾽ ἂν ᾖ σοι ὠφέλιμα καὶ κεχαρισμένα, ἐφ᾽ οἷς τοσαύτης με ὑποδοχῆς ἠξίωσας παρὰ σεαυτῷ.

Εὔμαιος δὲ πρὸς ταῦτα· οὐ καλὸν, ὦ ξένε, οὐδ᾽ ὅσιον ἔμοιγε ξένου, οὐ μόνον γέ σου, ἀλλὰ καὶ πολλῷ σου χείρονος, παρ᾽ ἐμοὶ γενομένου περιφρονῆσαι· οὐ γὰρ ἔσθ᾽ ὅςτις τῶν τοιούτων μὴ παρ᾽ αὐτοῦ τοῦ Διός ἐςιν ἀφιγμένος· καί τοι τό γ᾽ ἡμέτερον, οἷον ἂν εἴη τὸ τῶν οἰκετῶν, γλίσχρα μὲν, φίλα δὲ τοῖς ξένοις χαρίσασθαι· δεῖ γὰρ δὴ τοὺς οἰκέτας δεδιέναι ἀεὶ τοὺς δεσπότας, καὶ μάλισθ᾽ ὅταν τύχωσιν νέοι ὄντες· ἐπεὶ καὶ πλείω σοι ἂν ἐχαρισάμην, εἰ οὑμὸς ἐπεδήμει δεσπότης· ἀλλ᾽ οὐκέθ᾽, ὡς ἔοικεν, ἐπιτρέπουσιν αὐτῷ οἱ θεοὶ

---

55. προσέφης] ἀποστροφὴ τὸ σχῆμα πρὸς τὸ δεύτερον πρόσωπον· σύνηθες δ᾽ αὐτῷ τοῦτο, ὡς κἂν τῇ Ἰλιάδι, συχνὸν τοῦτο. 59. Ἠ γάρ] αὕτη γάρ

Ὅς κεν ἔμ' ἐνδυκέως ἐφίλει, καὶ κτῆσιν ὄπασσεν,
Οἷά τε ᾧ οἰκῆϊ ἄναξ εὔθυμος ἔδωκεν,
Οἶκόν τε, κλῆρόν τε, πολυμνήστην τε γυναῖκα,
Ὅς οἱ πολλὰ κάμῃσι, θεὸς δ' ἐπὶ ἔργον ἀέξῃ,
Ὡς καὶ ἐμοὶ τόδε ἔργον ἀέξεται, ᾧ ἐπιμίμνω.
Τῷ κέ με πόλλ' ὤνησεν ἄναξ, εἰ αὐτόθ' ἐγήρα·
Ἀλλ' ὄλεθ'· ὡς ὤφελλ' Ἑλένης ἀπὸ φῦλον ὀλέσθαι
Πρόχνυ, ἐπεὶ πολλῶν ἀνδρῶν ὑπὸ γούνατ' ἔλυσεν.
Καὶ γὰρ ἐκεῖνος ἔβη Ἀγαμέμνονος εἵνεκα τιμῆς
Ἴλιον εἰς εὔπωλον, ἵνα Τρώεσσι μάχοιτο.
Ὣς εἰπὼν ζωστῆρι θοῶς συνέεργε χιτῶνα·
Βῆ δ' ἴμεν ἐς συφεούς, ὅθι ἔθνεα ἔρχατο χοίρων·
Ἔνθεν ἑλὼν δύ', ἔνεικε, καὶ ἀμφοτέρους ἱέρευσεν·
Εὗσέ τε, μίστυλλέν τε, καὶ ἀμφ' ὀβελοῖσιν ἔπειρεν.
Ὀπτήσας δ' ἄρα πάντα φέρων, παρέθηκ' Ὀδυσῆϊ
Θέρμ' αὐτοῖς ὀβελοῖσιν· ὁ δ' ἄλφιτα λευκὰ πάλυνεν·
Ἐν δ' ἄρα κισσυβίῳ κίρνη μελιηδέα οἶνον,
Αὐτὸς δ' ἀντίον ἷζεν, ἐποτρύνων δὲ προσηύδα·
Ἔσθιε νῦν, ὦ ξεῖνε, τάτε δμώεσσι πάρεστιν,
Χοίρε'· ἀτὰρ σιάλους γε σύας μνηστῆρες ἔδουσιν,
Οὐκ ὄπιδα φρονέοντες ἐνὶ φρεσὶν, οὐδ' ἐλεητύν.
Οὐ μὲν σχέτλια ἔργα θεοὶ μάκαρες φιλέουσιν,
Ἀλλὰ δίκην τίουσι καὶ αἴσιμα ἔργ' ἀνθρώπων.
Καὶ μὲν δυσμενέες καὶ ἀνάρσιοι, οἵτ' ἐπὶ γαίης
Ἀλλοτρίης βῶσιν, καί σφι Ζεὺς ληΐδα δώῃ,
Πλησάμενοι δέ τε νῆας, ἔβαν οἶκόνδε νέεσθαι·
Καὶ μὲν τοῖς ὄπιδος κρατερὸν δέος ἐν φρεσὶ πίπτει.

ἐστιν ἡ τύχη καὶ δύναμις τῶν οἰκετῶν. 63. Ὦ οἰκῆϊ] τῷ ἑαυτοῦ οἰκέτῃ· 69. Πρόχνυ] πρόῤῥιζον. 72. συνέεργε] ἀνασύρας, συνέδησεν, ἐσόμενος εὐζωνότερος.

καταχθῆναι· ἐκεῖνος γὰρ φιλῶν μετὰ μάλιστα, ἔδωκεν ἂν ἡδέως οἰκίαν μοι καὶ κλῆρον γῆς, κτῆσίν τε ἄλλην, καὶ γυναῖκα ἀγαθήν· οἷα δεῖ δεσπότην ἀγαθῷ οὐκέτι χαρίσασθαι· ὃς πολλὰ καμὼν διὰ βίου, ἐν πᾶσιν, οἷς ἐμπεπίστευται, πιστῶς αὐτῷ ὑπηρέτησεν, ὃ δὲ θεὸς ἄνωθεν ηὔξησεν· ὃ ἴδοι τις ἂν ἐξετάσας θεόθεν ἔμοιγε τοῦτο ἐπιγενόμενον· ἀνθ' ὧν πολλὰ ἂν, οἶμαι, ἠμείψατό με ἐκεῖνος, εἰ περιῆν οἴκοι γηράσκων· νῦν δ', ὡς ἔοικεν, ἀπώλετό πη· ὡς ὤφειλε τὸ τῆς Ἑλένης φῦλον ἀπολέσθαι τὸ σύνολον· δι' ἣν πολλοὶ κἀγαθοὶ τῶν Ἑλλήνων κατέστρεψαν· καὶ γὰρ χ' οὑμὸς δεσπότης ἐκεῖνος οὐκ ἄλλου του, ἢ Ἀγαμέμνονι χάριν φέρων, συνεπέπλευσε Τροίαζε μαχησόμενος.

Ταῦτα δ' εἰπὼν, καὶ ἀνασυράμενος τὴν ἐσθῆτα ἐς τ' ἐπὶ τὴν ζώνην, ᾔει ἐς τοὺς συφεοὺς, ἔνθ' ἦν αὐτῷ τὰ χοιρίδια· ὧν λαβὼν δύο, ἔσφαξε· καὶ σφάξας, ἐψίλωσε· καὶ ψιλώσας, διέτεμε· καὶ τεμὼν, διέπειρεν ὀβελοῖς, ἐν οἷς ὤπτα· καὶ ὀπτήσας, παρέθηκεν Ὀδυσσεῖ ἑτοίμως αὐτοῖς ὀβελοῖς· εἶτ' ἐπιπάσας τῶν ἀλφίτων, καὶ οἶνον ἐγχέας τῷ κισσυβίῳ, καθεσθεὶς ἀπέναντι, παρώτρυνε τὸν ξένον ἐσθίειν, εὐωχοῦ, λέγων, ὦ ξένε, τούτων δὴ τῶν χοιρείων· ἃ ἡμῖν τοῖς οἰκέτοις πρόσεστι μάλιστα· τοὺς γὰρ σιάλους μνηστῆρες ὑπερφίαλοι κατεσθίουσιν, οὐδεμίαν οὔτε τῖσιν ἐσομένην παρὰ τῶν θεῶν δεδιότες, οὔτ' ἔλεον εἰδότες οὐδ' ὅντινοῦν· εἴγ' ἐκεῖνοι τούς τ' ἀγαθοὺς καὶ τοὺς φαύλους τοῖς ἀξίοις ἑκατέρους ἀμείβονται· καίτοι καὶ αὐτοὺς τοὺς πειρατὰς ἴδοι τις ἂν, ἐπειδὰν ἐκ πολλῆς ἁρπαγῆς ἐπανέλθωσιν οἴκαδε, δεδιότας καθ' ἑαυτοὺς τὴν ἐπὶ τούτοις ἐν τῷ μέλλοντι δίκην· οὗτοι δὲ παντάπασιν

πρὸς τὸ ἔργον. 75. Εὗσε] ἐψίλωσε, περιφλέξας τὰς τρίχας. 77. Πάλυνε] διέβρεχε, ἢ ἐπέπασσεν ἐπὶ τῶν ὀπτῶν. 82. Ὄπιδα] τὴν ἐς τὸ μέλλον θείαν

Οἵδε δὲ καί τι ἴσασι, θεοῦ δέ τιν' ἔκλυον αὐδὴν,
Κείνου λυγρὸν ὄλεθρον, ὅτ' οὐκ ἐθέλουσι δικαίως
Μνᾶσθαι, οὐδὲ νέεσθαι ἐπὶ σφέτερ', ἀλλὰ ἕκηλοι
Κτήματα δαρδάπτουσιν ὑπέρβιον, οὐδ' ἔπι φειδώ.
Ὅσσαι γὰρ νύκτες τε καὶ ἡμέραι ἐκ Διός εἰσιν,
Οὔποθ' ἓν ἱερεύουσ' ἱερήϊον, οὐδὲ δύ' οἴω·
Οἶνον φθινύθουσιν ὑπέρβιον ἐξαφύοντες.
Ἦ γάρ οἱ ζωή γ' ἦν ἄσπετος· οὔτινι τόσση
Ἀνδρῶν ἡρώων, οὔτ' ἠπείροιο μελαίνης,
Οὔτ' αὐτῆς Ἰθάκης, οὔτε ξυνεείκοσι φωτῶν
Ἔστ' ἄφενος τοσσοῦτον· ἐγὼ δέ κέ τοι καταλέξω.
Δώδεκ' ἐν ἠπείρῳ ἀγέλαι· τόσα πώεα οἰῶν,
Τόσσα συῶν συβόσια, τόσ' αἰπόλια πλατέ' αἰγῶν
Βόσκουσι ξεῖνοί τε καὶ αὐτοῦ βώτορες ἄνδρες.
Ἔνθα δέ τ' αἰπόλια πλατέ' αἰγῶν ἕνδεκα πάντα
Ἐσχατιῇ βόσκοντ'· ἐπὶ δ' ἀνέρες ἐσθλοὶ ὄρονται.
Τῶν αἰεί σφιν ἕκαστος ἐπ' ἤματι μῆλον ἀγινεῖ,
Ζατρεφέων αἰγῶν, ὅστις φαίνηται ἄριστος.
Αὐτὰρ ἐγὼ σῦς τάσδε φυλάσσω τε, ῥύομαί τε,
Καί σφι συῶν τὸν ἄριστον εὖ κρίνας ἀποπέμπω.
Ὣς φάθ'· ὁ δ' ἐνδυκέως κρέα τ' ἤσθιε, πῖνέ τε οἶνον
Ἁρπαλέως, ἀκέων· κακὰ δὲ μνηστῆρσι φύτευεν.
Αὐτὰρ ἐπεὶ δείπνησε, καὶ ἤραρε θυμὸν ἐδωδῇ,
Καί οἱ πλησάμενος δῶκε σκύφον, ᾧπερ ἔπινεν,
Οἴνου ἐνίπλειον· ὁ δ' ἐδέξατο, χαῖρε δὲ θυμῷ

ὀργὴν, οὐ δὲ ἔλεος. 92. Δαρδάπτουσι] κατεσθίουσιν ἀκορέστως. 95. Ἐξαφύοντες] ἀπαντλοῦντες. 96. Ζωὴ] τὰ πρὸς τὸ ζῆν ἐπιτήδεια. 100. Πώϋαι] ποίμνια ἁπλῶς· 104. Ὄρονται] φυλάττουσι. 105. Σφὶν] αὐτοῖς τοῖς μνηστῆρσιν. — Μῆλον ἀγινεῖ· ἓν θρέμμα ἄγει. 108. Εὖ κρίνας] εὖ καταλεξάμενος. 113. Ἐνίπλειον] ἔμπλεων.

ἐξυβρίζουσι· καὶ δυοῖν δοκοῦσί μοι θάτερον, ἤτοι παρ' ἀνθρώπων ἀπολωλέναι ἐκεῖνον ἀκηκοέναι, ἢ παρά τινος τῶν θεῶν τοῦτο μεμαθηκέναι· οὐ γὰρ ἂν τοσοῦτον ἀδιάφοροι ἦσαν, μήτε τὴν ἐμὴν δέσποιναν σπουδῇ μνηστεύσασθαι θέλοντες, μήτε τοῖς σφετέροις αὐτῶν καθήμενοι ἀγαπᾶν· ἀλλὰ βίᾳ καὶ ὕβρει πολλῇ τὴν τοῦ ἐμοῦ δεσπότου κατασπαθῶσιν οὐσίαν, φειδόμενοι οὐδενός· οὐ γὰρ ἡμέρα, οὐ νὺξ, ἐν ᾗ ἑνὶ ἢ δυοῖν θρέμμασιν ἐξαρκοῖντ' ἄν· ὅσον δ' αὖ οἴνου πέρι, τί χρὴ λέγειν, ὅσον χρῆμα καταναλίσκουσιν; ἀλλ' ἐκεῖνο συνελὼν βούλομαι λέγειν, εἰ μὴ ταῦθ' οὕτω διεφθείρετο τοῦτοις, τοσούτῳ ἂν πλούτῳ οὑμὸς περιῆν δεσπότης, ὥςε μηδενὶ ἂν μήτε τῶν κατ' ἤπειρον εὐδαιμόνων, μήτε τῶν ἐν τῇ Ἰθάκῃ πρὸς αὐτὸν ἐξίσωσιν εἶναι· ἀλλὰ κἂν εἴκοσιν αὐτῶν συνελὼν παραβάλῃς, ὡς ἂν ἔγωγε λογιζοίμην, οὐκ ἂν εὕροις αὐτοὺς πλείω ἔχοντας· καὶ ἵνα μὴ δοκῶ λόγους πλάττειν, ἐκεῖνά μοι λόγισαι· ἔργοις γάρ σε πειράσομαι πεῖσαι· ἔστι γὰρ αὐτῷ ἀγέλαι βοῶν δυωκαίδεκα ἐν ἠπείρῳ· ἴσαι δὲ καὶ ποῖμναι προβάτων· τοσαῦτα δὲ καὶ συβώσια χοίρων ἴσα δὲ καὶ αἰπόλια αἰγῶν· ταῦτα δὲ βόσκουσι τὰ μὲν οἰκέται, τὰ δὲ καὶ ξένοι ποιμένες· ἐπὶ δ' αὖ τῆς Ἰθάκης ὧδέ πῃ ἐν ἐσχατιᾷ ἕνδεχ' ἕτερα αἰγῶν αἰπώλια νέμονται ὑφ' ἑτέροις αἰπόλοις· ὧν ἕκαστος προστέτακται πέμπειν ἑκάστης ἡμέρας τῶν τράγων τὸν ἄριστον· ἐγὼ δὲ τοὺς σῦς αὖθις τούτους εἴληχα νέμειν· ὧν καθ' ἑκάστην ἡμέραν ἀνάγκη μοι ἕνα πέμπειν ἐκείνοις.

Ἐν δὲ τούτοις πᾶσιν ἤσθιεν Ὀδυσσεὺς ἐπιεικῶς, καὶ ἔπινε σιωπῇ, πολλὰ καὶ χαλεπὰ καθ' ἑαυτὸν τοῖς μνηστῆρσι τυρεύων· ὡς δὲ καλῶς αὐτῷ εἶχε, λαβὼν τὸ ποτήριον, ᾧ ἔπινε, καὶ πληρώσας αὐτὸ οἴνου, δέδωκε τῷ Εὐμαίῳ· τοῦ

Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Ὦ φίλε, τίς γάρ σε πρίατο κτεάτεσσιν ἑοῖσιν,
Ὧδε μάλ᾽ ἀφνειὸς καὶ καρτερὸς, ὡς ἀγορεύεις;
Φῆς δ᾽ αὐτὸν φθίσθαι Ἀγαμέμνονος εἵνεκα τιμῆς;
Εἰπέ μοι, αἴ κέ ποθι γνώω τοιοῦτον ἐόντα.
Ζεὺς γάρ που τόγε οἶδε καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
Εἴ κέ μιν ἀγγείλαιμι ἰδών· ἐπὶ πολλὰ δ᾽ ἀλήθην.
Τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα συβώτης ὄρχαμος ἀνδρῶν·
Ὦ γέρον, οὔτις κεῖνον ἀνὴρ ἀλαλήμενος ἐλθὼν,
Ἀγγέλλων, πείσειε γυναῖκά τε καὶ φίλον υἱόν·
Ἀλλ᾽ ἄλλως κομιδῆς κεχρημένοι ἄνδρες ἀλῆται
Ψεύδοντ᾽, οὐδ᾽ ἐθέλουσιν ἀληθέα μυθήσασθαι.
Ὃς δέ κ᾽ ἀλητεύων Ἰθάκης ἐς δῆμον ἵκηται,
Ἐλθὼν ἐς δέσποιναν ἐμὴν, ἀπατήλια βάζει·
Ἡ δ᾽ εὖ δεξαμένη φιλέει, καὶ ἕκαστα μεταλλᾷ·
Καὶ οἱ ὀδυρομένη βλεφάρων ἄπο δάκρυα πίπτει,
Ἣ θέμις ἐστὶ γυναικὸς, ἐπὴν πόσις ἄλλοθ᾽ ὄληται.
Αἶψά κε καὶ σὺ, γεραιὲ, ἔπος παρατεκτήναιο.
Εἴ τίς τοι χλαῖνάν τε, χιτῶνά τε, εἵματα δοίη.
Τοῦ δ᾽ ἤδη μέλλουσι κύνες ταχέες τ᾽, οἰωνοὶ
Ῥινὸν ἀπ᾽ ὀστεόφιν ἐρύσαι· ψυχὴ δὲ λέλοιπεν·
Ἢ τόνγ᾽ ἐν πόντῳ φάγον ἰχθύες, ὀστέα δ᾽ αὐτοῦ
Κεῖται ἐπ᾽ ἠπείρου, ψαμάθῳ εἰλυμένα πολλῇ.
Ὣς ὁ μὲν ἔνθ᾽ ἀπόλωλε· φίλοισι δὲ κήδε᾽ ὀπίσσω
Πᾶσιν, ἐμοὶ δὲ μάλιστα, τετεύχαται· οὐ γὰρ ἔτ᾽ ἄλλον
Ἤπιον ὧδε ἄνακτα κιχήσομαι, ὁππόσ᾽ ἐπέλθω·
Οὐδ᾽ εἴ κεν πατρὸς καὶ μητέρος αὖτις ἵκωμαι·

---

120. Ἀλήθην] ἀπεπεπλάνημαι. 124. Κομιδῆς] θεραπείας δεόμενοι. 133. Τοῦ δὲ] Ὀδυσσέως. — Μέλλουσι] φαίνονται.

δὲ δεξαμένου ἡδέως, ἔφη πρὸς αὐτόν· νῦν δ', ὦ ξένε, ἄγε
μοι λέγε τὸν ἄνδρα τοῦτον, τὸν οὕτω πλούσιον καὶ καρτε-
ρικὸν, ὃν φῂς τοῖς ἑαυτοῦ ἀποκαταστῆσαί σε κτήμασι, καὶ
ἀπολέσθαι ἐν τῷ χαρίσασθαι Ἀγαμέμνονι, τίς ἐσθ' οὗτος;
τίς γὰρ οἶδεν; εἰ μὴ Ζεὺς αὐτὸς σὺν τοῖς ἄλλοις θεοῖς, εἰ
κἀγὼ αὐτὸς ἰδὼν, ἢ ἀκούσας περὶ αὐτοῦ, ὁ,τιδήποτε ἐξαγ-
γείλαιμι; πολλὰ γὰρ κἀμοὶ συνέβη παθεῖν, καὶ ἰδεῖν πολλαχῆ.
Εὔμαιος δὲ πρὸς ταῦτα, οὐκ ἐσθ' ὅπως, ὦ γέρων, ἐλ-
θών τις ὁπόθεν, πείσει τὴν γυναῖκα αὐτοῦ καὶ τὸν παῖδα,
κἂν ἐκ πολλῆς πλάνης τοῦτ' αὐτοῖς ἐξαγγείλῃ· πολλοὶ γὰρ
θεραπείας δεόμενοι, ψεύδονται, κεχαρισμένα λογοποιοῦντες·
οὐ γὰρ ἐσθ' ὅστις τῶν πλανητῶν, ἐς Ἰθάκην ἐλθὼν, οὐ πει-
ρᾶται τὴν ἐμὴν παρακρούσασθαι δέσποιναν· ἡ δὲ δεξαμένη
γε φιλοφρόνως, διατρίβει μετ' αὐτοῦ ἐπὶ πολὺ, διακούουσα
ἕκαστα, δάκρυσι καταῤῥεομένη· ὃ ἔθος τοῦτο γίγνεται μά-
λιστα γυναιξὶν, ἐπειδὰν ἀπολωλότων ἐν ἀλλοδαπῇ τῶν ἀν-
δρῶν ἀποστέρωνται· τοιοῦτον δέ τι, ὦ γέρων, καί σε τυχὸν
περικναίει, ὥστ' ἀπατηλοὺς τεκτηνάμενον μύθους, χλαῖνάν
τινα, ἢ χιτῶνα ἐκ φενάκης λαβεῖν· ὅσον γὰρ ἐκείνου γ' ἕνεκα
δυοῖν θάτερόν ἐστι ξυμβαλεῖν· ἢ γὰρ ἐν ἠπείρῳ πῃ κύνες καὶ
οἰωνοὶ ἀπεσπάσαντο αὐτῷ τὴν δορὰν τῶν ὀστέων, ἢ ἐν θα-
λάσσῃ ἰχθύες τὰς μὲν σάρκας καταβεβρώκασι, τὰ δὲ ὀστᾶ,
ἐκβρασθέντα πῃ, καλύπτεται ψάμμῳ· Οὕτως οὖν ἐκεῖνος
ἡμῖν ἀπώλετο, λύπην καὶ πόθον τοῖς τ' ἄλλοις τῶν φίλων
καταλιπὼν, ἐμοὶ δὲ καὶ μάλιστα· οὐ γὰρ ἂν εὕροιμι, ἀπελ-
θὼν ὁποιδήποτε, δεσπότην οὕτως ἤπιον καὶ φιλάνθρωπον·
οὐδ' αὖ οἴκαδε παρὰ τοὺς ἐμαυτοῦ τοκέας ἂν ἔλθοιμι· οὓς

136. Εἰλυμένα] κεκαλυμμένα. 139. Κιχήσομαι] εὑρήσω ὅποι ἂν ἔλθω.

Οἶκον, ὅθι πρῶτον γενόμην, καί μ' ἔτρεφον αὐτοί.
Οὐδέ νυ τῶν ἔτι τόσσον ὀδύρομαι, ἱέμενός περ
Ὀφθαλμοῖσιν ἰδέσθαι, ἐὼν ἐν πατρίδι γαίῃ·
Ἀλλά μ' Ὀδυσσῆος πόθος αἴνυται οἰχομένοιο.
Τὸν μὲν ἐγὼν, ὦ ξεῖνε, καὶ οὐ παρεόντ' ὀνομάζειν
Αἰδέομαι· πέρι γάρ μ' ἐφίλει καὶ κήδετο θυμῷ·
Ἀλλά μιν ἠθεῖον καλέω, καὶ νόσφιν ἐόντα.
Τὸν δ' αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς·
Ὦ φίλ', ἐπειδὴ πάμπαν ἀναίνεαι, οὐδ' ἔτι φῇσθα
Κεῖνον ἐλεύσεσθαι, θυμὸς δέ τοι αἰὲν ἄπιστος·
Ἀλλ' ἐγὼ οὐκ αὔτως μυθήσομαι, ἀλλὰ σὺν ὅρκῳ,
Ὡς νεῖται Ὀδυσσεύς· εὐαγγέλιον δέ μοι ἔστω
Αὐτίκ', ἐπεί κεν κεῖνος ἰὼν τὰ ἃ δώμαθ' ἵκηται·
Ἕσσαι με χλαῖνάν τε, χιτῶνά τε, εἵματα καλά·
Πρὶν δέ κε, καὶ μάλα περ κεχρημένος, οὔτι δεχοίμην.
Ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς Ἀΐδαο πύλῃσιν
Γίγνεται, ὃς πενίῃ εἴκων ἀπατήλια βάζει.
Ἴστω νῦν Ζεὺς πρῶτα θεῶν, ξενίη τε τράπεζα,
Ἱστίη τ' Ὀδυσῆος ἀμύμονος, ἣν ἀφικάνω·
Ἦ μέν τοι τάδε πάντα τελείεται, ὡς ἀγορεύω.
Τοῦδ' αὐτοῦ λυκάβαντος ἐλεύσεται ἐνθάδ' Ὀδυσσεύς.
Τοῦ μὲν φθίνοντος μηνὸς, τοῦ δ' ἱσταμένοιο,
Οἴκαδε νοστήσει καὶ τίσεται, ὅστις ἐκείνου
Ἐνθάδ' ἀτιμάζει ἄλοχον καὶ φαίδιμον υἱόν·
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
Ὦ γέρον, οὔτ' ἄρ' ἐγὼν εὐαγγέλιον τόδε τίσω,
Οὔτ' Ὀδυσσεὺς ἔτι οἶκον ἐλεύσεται· ἀλλ' ἕκηλος
Πῖνε καὶ ἄλλα παρὲξ μεμνώμεθα, μηδέ με τούτων
Μίμνησκ'· ἦ γὰρ θυμὸς ἐνὶ στήθεσσιν ἐμοῖσιν
Ἄχνυται, ὁππότε τις μνήσῃ κεδνοῖο ἄνακτος.

καὶ αὐτοὺς μὲν τήκομαι τῷ πόθῳ, ἐπιθυμῶν ποτ' αὖθις ἰδεῖν· ἀλλ' ὁ τοῦ Ὀδυσσέως κατακναίει με μᾶλλον, καὶ ἡ μνήμη αὐτοῦ καταῤῥεῖ με τοῖς δάκρυσιν· οὗ τοὔνομα καὶ ἀπόντος ἔγωγε αἰδοῦμαι προφέρειν· τοσαύτης γὰρ εὐνοίας ἠξίωμαι παρ' αὐτοῦ, ὥς' οὐκ ἂν ἔχοιμι μὴ οὐχὶ, καὶ ἀπόντα νῦν ἀδελφὸν καὶ πατέρα καλῶν, περιῤῥεῖσθαι τοῖς δάκρυσι.

Ὀδυσσεὺς δὲ πρὸς ταῦτα· ὁρῶ σε, ὦ φίλος, ἀπιστοῦντα τοῖς ὅλοις περὶ τῆς νόστου ἐκείνου· καί μοι δοκεῖς μήδ', εἴτις ἰδὼν εἴποι τι περὶ τούτου, δύνασθαι ἂν πίστιν δοῦναι· ἀλλ' ἔγωγε ὀμοῦμαί σοι, ἦ μὴν ἐλεύσεσθαι Ὀδυσσέα· καὶ δὴ ἔσω μοι εὐαγγέλιον τούτου χλαῖνα καὶ χιτών· καὶ ταῦθ' ἡνίκ' ἂν τάχιστ' ἴδῃς αὐτοῖς ὀφθαλμοῖς ἐκεῖνον οἴκοι παραγενόμενον· πρότερον γὰρ, καίπερ σφόδρα δεόμενος, ἀλλ' οὐκ ἂν ταῦτα δεξαίμην· μισῶ γὰρ λίαν οὐχ ἧττον ἔγωγε, ἢ καὶ τὰς πύλας τοῦ Ἄδου, τοὺς διὰ πενίαν τι παράγειν ἐθέλοντας. Ἴστω τοίνυν Ζεὺς ὁ Ξένιος, τράπεζά τε ἥδε, καὶ ἡ ἱερὰ τοῦ Ὀδυσσέως ἑστία, εἰς ἣν νῦν τυγχάνω ἐλθὼν, ἦ μὴν ταῦτ' ἔσεσθαι πάντα, καθάπερ ἔφην· ἐλεύσεται δ' ἐφέτος ἕνῃ καὶ νέᾳ, τοῦ μὲν τῶν μηνῶν φθίνοντος, τοῦ δὲ ἀρχομένου· ἐλθὼν δὲ, δίκην λήψεται, εἴτις ἐς τὴν γυναῖκα καὶ τὸν παῖδα αὐτοῦ ἐξυβρίζει.

Εὔμαιος δὲ πρὸς ταῦτα· ἀλλ' οὔτ' Ὀδυσσεὺς, ὦ ξένε, ἐλεύσεται οἴκαδε, πάλαι ἀπολωλώς· οὔτ' αὐτὸς ἕξεις εὐαγγέλιον παρ' ἐμοῦ· ἀλλὰ σύγε πίνε αὐτοῦ ἡσυχῇ, πρὸς ἄλλα τὸν λόγον τρέψας, μηκέτι πρὸς ἐμὲ μεμνημένος ἐκείνου· ἡ γὰρ μνήμη τοιούτου δεσπότου δεινῶς στρέφει τἄνδον οἰκέτου

147. Ἠθεῖον] οὕτως ἐκάλουν τὸν πρεσβύτατον ἀδελφόν. 152. Νεῖται] ἐλεύσεται. 159. Ἱστίη] Ἰωνικῶς· σκοτεινῶς δὲ βαίνειν ἀνεπαισθήτως γὰρ διέρχεται.

Ἀλλ' ἤτοι ὅρκον μὲν ἐάσομεν· αὐτὰρ Ὀδυσσεὺς
Ἔλθοι, ὅπως μιν ἔγωγ' ἐθέλω καὶ Πηνελόπεια·
Λαέρτης θ' ὁ γέρων· καὶ Τηλέμαχος θεοειδής.
Νῦν αὖ παιδὸς ἄλαστον ὀδύρομαι, ὃν τέκ' Ὀδυσσεὺς,
Τηλεμάχου· τὸν ἐπεὶ θρέψαν θεοὶ, ἔρνεϊ ἶσον,
Καί μιν ἔφην ἔσσεσθαι ἐν ἀνδράσιν οὔτι χέρηα
Πατρὸς ἑοῖο φίλοιο, δέμας καὶ εἶδος ἀγητόν·
Τοῦ δέ τις ἀθανάτων βλάψε φρένας ἔνδον ἐΐσας,
Ἠέ τις ἀνθρώπων· ὁ δ' ἔβη μετὰ πατρὸς ἀκουὴν
Ἐς Πύλον ἠγαθέην· τὸν δὲ μνηστῆρες ἀγαυοὶ
Οἴκαδ' ἰόντα λοχῶσιν, ὅπως ἀπὸ φῦλον ὄληται
Νώνυμον ἐξ Ἰθάκης Ἀρκεισίου ἀντιθέοιο.
Ἀλλ' ἤτοι κεῖνον μὲν ἐάσομεν, ἤ κεν ἁλώῃ
Ἤ κε φύγοι, καί κεν οἱ ὑπέρσχοι χεῖρα Κρονίων.
Ἀλλ' ἄγε μοι σὺ, γεραιὲ, τὰ σ' αὐτοῦ κήδε' ἔνισπε,
Καί μοι τοῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' εὖ εἰδῶ·
Τίς πόθεν εἶς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες;
Ὁπποίης δ' ἐπὶ νηὸς ἀφίκεο; πῶς δέ σε ναῦται
Ἤγαγον εἰς Ἰθάκην; τίνες ἔμμεναι εὐχετόωνται;
Οὐ μὲν γάρ τί σε πεζὸν ὀΐομαι ἐνθάδ' ἱκέσθαι.
Τὸν δ' ἀπαμειβόμενος, προσέφη πολύμητις Ὀδυσσεύς·
Τοιγὰρ ἐγώ τοι ταῦτα μάλ' ἀτρεκέως ἀγορεύσω.
Εἴη μὲν νῦν νῶϊν ἐπὶ χρόνον ἠμὲν ἐδωδὴ,
Ἠδὲ μέθυ γλυκερὸν, κλισίης ἔντοσθεν ἐοῦσιν,
Δαίνυσθαι ἀκέοντ', ἄλλοι δ' ἐπὶ ἔργον ἕποιεν,
Ῥηϊδίως κεν ἔπειτα καὶ εἰς ἐνιαυτὸν ἅπαντα
Οὔτι διαπρήξαιμι, λέγων ἐμὰ κήδεα θυμοῦ,
Ὅσσα γε δὴ ξύμπαντα θεῶν ἰότητι μόγησα.
Ἐκ μὲν Κρητάων γένος εὔχομαι εὐρειάων
Ἀνέρος ἀφνειοῖο πάϊς· πολλοὶ δὲ καὶ ἄλλοι

εὐγνώμονος· οὐκοῦν ἐῶμεν τοὺς ὅρκους χαίρειν· καίτοι γένοιτό μοι ἐκεῖνον ἐλθεῖν, ὥσπερ ἔγωγε βούλομαι, ἥ τε κόσμιος Πηνελόπη, Λαέρτης θ' ὁ γέρων, καὶ Τηλέμαχος ὁ θεοειδής· ἀλλ' ἐκεῖνο μάλιστα τήκομαι περὶ τοῦ παιδὸς Τηλεμάχου, ὃν ἀνέθρεψαν μὲν οἱ θεοὶ ὡς βλαστὸν Ὀδυσσεῖ, ἐγὼ δ' ᾠόμην ὅμοιον κατ' ἄμφω ἔσεσθαι τῷ πατρὶ, ἐν ἡλικίᾳ γεγενημένον· νῦν δ' οὐκ οἶδα, εἴτε θεῶν τις, εἴτ' ἀνθρώπων περιτρέψας αὐτῷ τὸν νοῦν, εἰς ἄλλον ἐνέβαλε κίνδυνον· ἀπελθόντα γὰρ εἰς Σπάρτην πευσόμενον περὶ τοῦ πατρὸς, μνηστῆρες ἐνεδρεύοντες ἀπειλοῦσιν ἀποκτενεῖν αὐτὸν καταγόμενον, ἵνα πάμπαν τὸ τοῦ Ἀρκεσίου γένος ἀπόληται. Ἀλλὰ περί γε τούτου λήγωμεν ἤδη ἀόριστα λέγοντες· θεῶν γὰρ ἐν γούνασι κεῖται, ἢ θανεῖν, ἢ περιγενέσθαι, τοῦ Διὸς αὐτῷ τὸν κίνδυνον ἐπαμύνοντος· σὺ δ', ὦ γέρων, λέγε νῦν τὰ κατὰ σαυτὸν, ἵν' εὖ εἰδῶ, τίς; πόθεν εἶς ἀνδρῶν; πόθι τοι πόλις, ἠδὲ τοκῆες; νεὼς δ' ἐπὶ τίνος, καὶ τίνες, καὶ ὅπως σε οὗτοι ἤγαγον εἰς Ἰθάκην; ἄλλως γὰρ πεζῇ σε ἐνταῦθα γενέσθαι ἀδύνατον.

Ὀδυσσεὺς δὲ πρὸς ταῦτα. Ταῦτα μὲν, ὦ φίλε, εἰρήσεταί σοι πάντ' ἀληθῆ παρ' ἐμοῦ· δεῖ δέ σε πρῶτον ἐκεῖνο εἰδέναι, ὡς καὶ ὅλον ἐνιαυτὸν, εἰ καθήμενοι ἐσθίοντές τε, καὶ πίνοντες, τῶν ἄλλων ἀπερχομένων ἐπὶ τὰ ἔργα, οὐδ' οὕτως ἂν, οἶμαι, πάντα διέλθοιμεν, ἐγὼ μὲν λέγων, σὺ δ' ἀκούων, ὅσ' ἔμοιγε βουλῇ τῶν θεῶν συνέβη παθεῖν. Εἰ μὴ τοίνυν Κρὴς τὸ γένος, πατρὸς τῶν πλουσιωτάτων· ἦσαν δ' αὐτῷ καὶ ἄλλοι παῖδες

174. Ἄλαστον] ἀνεπαισθήτως, ἀεί. 175. Ἔρνεϊ] βλαστῷ. 182. Νώνυμον] ἀνώνυμον. — Ἀρκεισίου] τοῦ πατρὸς τοῦ Λαέρτου. 195. Ἔποιεν] ἐνεργοῖεν. 197. Διαπρήξαιμι] διέλθοιμι πάντα. 199. Κρητάων (Κρητῶν) εὐρειάων]

Υἱέες ἐν μεγάρῳ ἠμὲν τράφεν, ἠδ᾽ ἐγένοντο,
Γνήσιοι ἐξ ἀλόχου· ἐμὲ δ᾽ ὠνητὴ τέκε μήτηρ
Παλλακὶς, ἀλλά με ἶσον ἰθαιγενέεσσιν ἐτίμα
Κάςωρ Ὑλακίδης, τοῦ ἐγὼ γένος εὔχομαι εἶναι·
Ὃς τότ᾽ ἐνὶ Κρήτεσσι θεὸς ὡς τίετο δήμῳ
Ὄλβῳ τε, πλούτῳ τε, καὶ υἱάσι κυδαλίμοισιν.
Ἀλλ᾽ ἤτοι τὸν Κῆρες ἔβαν θανάτοιο φέρουσαι
Εἰς Ἀΐδαο δόμους· τοὶ δὲ ζωὴν ἐδάσαντο
Παῖδες ὑπέρθυμοι, καὶ ἐπὶ κλήρους ἐβάλοντο·
Αὐτὰρ ἐμοὶ μάλα παῦρα δόσαν, καὶ οἰκί᾽ ἔνειμαν.
Ἠγαγόμην δὲ γυναῖκα πολυκλήρων ἀνθρώπων
Εἵνεκ᾽ ἐμῆς ἀρετῆς· ἐπεὶ οὐκ ἀποφώλιος ἦα
Οὐδὲ φυγοπτόλεμος· νῦν δ᾽ ἤδη πάντα λέλοιπεν·
Ἀλλ᾽ ἔμπης καλάμην γέ σ᾽ οἴομαι εἰσορόωντα,
Γιγνώσκειν· ἦ γάρ με δύη ἔχει ἤλιθα πολλή.
Ἦ μὲν δὴ θάρσος μοι Ἄρης τ᾽ ἔδοσαν καὶ Ἀθήνη,
Καὶ ῥηξήνορίην· ὁπότε κρίνοιμι λόχονδε
Ἄνδρας ἀριςῆας, κακὰ δυσμενέεσσι φυτεύων,
Οὔποτέ τε μοι θάνατον προτιόσσετο θυμὸς ἀγήνωρ,
Ἀλλὰ πολὺ πρώτισος ἐπάλμενος ἔγχει, ἕλεσκον
Ἀνδρῶν δυσμενέων ὅ τε μοί εἴξειε πόδεσσιν.
Τοῖος ἔ᾽ ἐν πολέμῳ· ἔργον δέ μοι οὐ φίλον ἔσκεν,
Οὐδ᾽ οἰκωφελίη, ἥτε τρέφει ἀγλαὰ τέκνα·
Ἀλλά μοι αἰεὶ νῆες ἐπήρετμοι φίλαι ἦσαν
Καὶ πόλεμοι καὶ ἄκοντες ἐΰξεςοι καὶ ὀϊςοὶ,
Λυγρὰ, τάτ᾽ ἄλλοισίν γε καταριγηλὰ πέλονται.
Αὐτὰρ ἐμοὶ τὰ φίλ᾽ ἔσκε, τά που θεὸς ἐν φρεσὶ θῆκεν·

Κρήτης τῆς εὐρείας. 203. Ἰθαγενέεσσι] τοῖς γνησίοις. 208. Ζωὴν] τὴν πε-

πολλοὶ ἐκ γυναικὸς γαμετῆς. Κάστωρ δ' ἦν οὗτος ὁ Ὑλάκου· ἐγὼ δ' ἐκ παλλακίδος μὲν αὐτῷ νόθος ἔτυχον γεγονώς· ἐτιμώμην δὲ παρ' αὐτῷ ἴσα τοῖς ἰθαγενέσιν· ἐτιμᾶτο δὲ καὶ αὐτὸς οὐχ ἧττον ὑπὸ τῶν Κρητῶν, ἢ θεὸς, ἐπ' ὄλβῳ τε καὶ πλούτῳ, καὶ εὐτεκνίᾳ· τούτου δὲ λειτουργήσαντος ποθ' ὕστερον τῷ χρεὼν, διενείμαντο τὰ πατρῷα πρὸς ἀλλήλους οἱ γνήσιοι, μικρὰ τούτων, καὶ οἰκίαν οὐ σεμνὴν ἐμοὶ δόντες· ἐκ δὲ τούτου ἠγαγόμην κἀὐτὸς γυναῖκα οὐ τῶν ἀπορωτάτων, ἀλλὰ καὶ μάλα τῶν εὐδαιμόνων δι' ἐμὴν ἀρετήν· ἦν γὰρ, ὦ φίλος, ἦν ὅτε κἀγὼ ἐν μάχαις διέπρεπον ἐν ἀνδράσιν· ἀλλὰ νῦν οἴχεται πάντ' ἐκεῖνα ἀπολελοιπότα· ἐκ γὰρ τῆς καλάμης πάρεστί σοι κρίνειν περὶ τοῦ καρποῦ· ἀλλ' ἡ ἔνδεια καὶ ἡ ἐκ τῶν συμβάντων μοι κάκωσις νῦν ἀπειργάσατό με τοιοῦτον· ἅμα γὰρ καθεστῶτι ἐν ἡλικίᾳ, Ἄρης τε καὶ Ἀθηνᾶ τοσοῦτον μοι θάρσος ἐνέβαλον, ὥστε πρῶτον γενόμενον ἐν προμάχοις, διαῤῥηγνύειν τὰς φάλαγγας τῶν πολεμίων· ὁπότε δ' αὖ σὺν ἄλλοις ἀρίστοις ἐνήδρευον τοῖς ἐχθροῖς, οὐδέποτ' ἔδοξα πρὸς τὸν θάνατον ἀποδειλιάσαι· ἀλλ' ὁμόσε ἰὼν τῷ δορὶ, κατηνάγκαζον τοὺς ἐχθροὺς ἐνδιδόναι, καὶ τοῖς ἐμοῖς προσπίπτειν ποσί· τοιοῦτός σοι ἐγενόμην ἔγωγε ἐν πολέμῳ. Οἴκοι γε μὴν ὁ,τιοῦν πράττειν, καὶ τὰ περὶ οἰκονομίαν, ἐξ ἧς τρέφονται παῖδες, οὐ πάνυ τοι πέφυκα· νεῶν δὲ ταχυναυτουσῶν καὶ πολέμων, δοράτων τε καὶ βελῶν, τούτων ἔμοιγ' ἔμελε μάλιστα· ἃ ἄλλῳ μέν τῳ φρίκης ἴσως αἰτία καὶ μόνον φανέντα πῃ γίγνεται· ἐμοὶ δὲ φίλα τε καὶ ἡδέα ταῦτ' ἔθηκεν

ριουσίαν. 214. Καλάμην] ὡς ἐκ τῆς καλάμης κρίνοις ἂν καὶ περὶ τοῦ σίτου, οὕτως ἐκ τοῦ λειψάνου τοῦ σώματος κἀμὲ νοήσειας ἄν. 215. Δύη] κακοπάθεια. — Ἤλιθα] σωρηδόν. 217. Ῥηξηνορίαν] ἀνδρίαν, διαῤῥηγνύουσαν τὰς φάλαγγας ἐν τῇ μάχῃ. — Κρίνοιμι] διαχωρίσαιμι εἰς ἔνεδραν 219. Ποτιόσσετο] ἔβλεπεν ἔμπροσθεν ἑαυτοῦ. 222. Τοῖος ἔ'] τοιοῦτος ἦν. 226. Καταριγηλὰ] φρικτά.

Ἄλλος γάρ τ' ἄλλοισιν ἀνὴρ ἐπιτέρπεται ἔργοις.
Πρὶν μὲν γὰρ Τροίης ἐπιβήμεναι υἷας Ἀχαιῶν,
Εἰνάκις ἀνδράσιν ἦρξα καὶ ὠκυπόροισι νέεσσιν
Ἄνδρας ἐς ἀλλοδαπούς· καί μοι μάλα τύγχανε πάντα.
Τῶν ἐξαιρεύμην μενοεικέα, πολλὴ δ' ὀπίσσω
Λάγχανον· αἶψα δὲ οἶκος ὀφέλλετο, καί ῥα ἔπειτα
Δεινός τ', αἰδοῖός τε μετὰ Κρήτεσσι τετύγμην.
Ἀλλ' ὅτε δὴ τήνγε ςυγερὴν ὁδὸν εὐρύοπα Ζεὺς
Ἐφράσαθ', ἣ πολλῶν ἀνδρῶν ὑπὸ γούνατ' ἔλυσεν,
Δὴ τότ' ἔμ' ἤνωγον καὶ ἀγακλυτὸν Ἰδομενῆα
Νήεσσ' ἡγήσασθαι ἐς Ἴλιον· οὐδέ τι μῆχος
Ἦεν ἀνήνασθαι, χαλεπὴ δ' ἔχε δήμου φῆμις.
Ἔνθα μὲν εἰνάετες πολεμίζομεν υἷες Ἀχαιῶν,
Τῷ δεκάτῳ δὲ πόλιν Πριάμου πέρσαντες, ἔβημεν
Οἴκαδε σὺν νήεσσι· θεὸς δ' ἐκέδασσεν Ἀχαιούς.
Αὐτὰρ ἐμοὶ δειλῷ κακὰ μήδετο μητίετα Ζεύς·
Μῆνα γὰρ οἶον ἔμεινα τεταρπόμενος τεκέεσιν,
Κουριδίῃ τ' ἀλόχῳ, καὶ κτήμασιν· αὐτὰρ ἔπειτα
Αἴγυπτόνδε με θυμὸς ἀνώγει ναυτίλλεσθαι,
Νῆας ἐῢ στείλαντα σὺν ἀντιθέοις ἑτάροισιν·
Ἐννέα νῆας στεῖλα, θοῶς ἐσαγείρατο λαός.
Ἐξῆμαρ μὲν ἔπειτα ἐμοὶ ἐρίηρες ἑταῖροι
Δαίνυντ'· αὐτὰρ ἐγὼν ἱερήϊα πολλὰ παρεῖχον
Θεοῖσίν τε ῥέζειν, αὐτοῖσί τε δαῖτα πένεσθαι.
Ἑβδομάτῃ δ' ἀναβάντες ἀπὸ Κρήτης εὐρείης
Ἐπλέομεν Βορέῃ ἀνέμῳ ἀκραέϊ καλῷ,
Ῥηϊδίως, ὡσεί τε κατὰ ῥόον· οὐδέ τις οὖν μοι
Νηῶν πημάνθη, ἀλλ' ἀσκηθέες καὶ ἄνουσοι
Ἥμεθα· τὰς δ' ἄνεμός τε, κυβερνῆταί τ' ἴθυνον.
Πεμπταῖοι δ' Αἴγυπτον ἐϋῤῥείτην ἱκόμεσθα·

ὁ θεός· εἴγ' ἄλλος ἐπ' ἄλλῳ τῳ, ὡς ἔχει ἕκαστος φύσεως, τυγχάνει ἡδόμενος. Πρὶν οὖν ἐπιπλεῦσαι ἐπὶ Τροίαν τοὺς Ἕλληνας, ἐννεάκις ἐςράτευσα ἄρχων ναυσὶν ἐπ' ἀλλοδαπούς· ὅθεν πολλὴν ποιησάμενος λίαν, τὰ μὲν ἐμαυτῷ ἐξαιρούμενος, τὰ δὲ πλείω ἔπειτα καὶ κλήρῳ λαμβάνων, ἐγενόμην τῶν πλουσιωτάτων, κἀν Κρησὶ δεινός τε καὶ λίαν σεμνός· ἀλλ' ἔδει ἄρα κἀμὲ γενέσθαι ποθ' ὕστερον ἐν κακοῖς· ἀνάγκην γὰρ τοῦ Διὸς ἐμβαλόντος τοῖς Ἕλλησι τὴν ἐπὶ Τροίαν ποιήσασθαι ἐκςρατείαν, ὃ πολλοῖς τῶν ἡμετέρων ἀπολέσθαι αἰτία ἐγένετο, τότ' ἐγώ τε καὶ Ἰδομενεὺς προστετάγμεθ' ἡγήσασθαι τοῖς Κρησὶν ἐπ' ἐκείνην· καὶ μηχανὴ ἦν οὐδεμία τὴν τῶν πολλῶν ἀποκλῖναι ἀξίωσιν, ἄλλων ἄλλα καταβοώντων, καὶ κελευόντων· Ἐπιπλεύσαντες οὖν ἐκεῖσε, ἐννέα μὲν ἔτη ἐπολεμοῦμεν διηνεκῶς· τῷ δὲ δεκάτῳ ἐξελόντες τὴν πόλιν, ἀνηγόμεθα πάλιν· κἀν τούτῳ διεσκέδασεν ἡμᾶς ὁ θεὸς ἀπ' ἀλλήλων· καί με ἑταίροις δεινοῖς περιέβαλε πολλῷ τῶν πρώτων χαλεπωτέροις· οὐδὲ γὰρ ὅλον μῆνα παρὰ γυναικὶ καὶ παισὶν οἴκοι παραμείνας, ἔγνων ἀπάραι εἰς Αἴγυπτον· καὶ δὴ ναυτῶν μοι πολλῶν συναγειρομένων, ἐπλήρωσα νῆας ἐννέα· καὶ ἓξ μὲν ὅλας ἡμέρας εὐωχοῦντο οἱ ναῦται, πολλὰ ἱερεῖα ἐμοῦ παρασχόντος αὐτοῖς τοῖς τε θεοῖς θύειν, καὶ σφίσιν αὐτοῖς δεῖπνον παρασκευάσασθαι· τῇ δὲ ἑβδόμῃ ἐπιβάντες ἐπλέομεν ἀπὸ Κρήτης βορέᾳ ἀκράτῳ καὶ δεξιῷ, ὥσπερ ἂν εἰ κοιμώμενοι κατὰ ῥοῦν· Οὕτω τοίνυν ἀφικόμεθα πεμπταῖοι εἰς Αἴγυπτον τὸν ποταμὸν, μηδὲν κατὰ

---

231. Ἐτύγχανε] ηὐτύχει μοι τὰ ἔργα. 232. Ἐξαιρεύμην] ἐξαίρετα ἐλάμβανον· εἶτα δὲ καὶ μετὰ τῶν ἑταίρων διελάγχανον κλήρῳ τὰ λοιπά. 233. Ὀφέλλετο] ηὔξετο. 239. Χαλεπὴ φῆμις ἔχει] ἡ κοινὴ φήμη ἐξεβίαζεν. 256. Εὐῤ-

Στῆσα δ' ἐν Αἰγύπτῳ ποταμῷ νέας ἀμφιελίσσας.
Ἔνθ' ἤτοι μὲν ἐγὼ κελόμην ἐρίηρας ἑταίρους
Αὐτοῦ παρ' νήεσσι μένειν καὶ νῆας ἔρυσθαι·
Ὀπτῆρας δὲ κατὰ σκοπιὰς ὤτρυνα νέεσθαι.
Οἱ δ' ὕβρει εἴξαντες, ἐπισπόμενοι μένεϊ σφῷ
Αἶψα μάλ' Αἰγυπτίων ἀνδρῶν περικαλλέας ἀγροὺς
Πόρθεον, ἐκ δὲ γυναῖκας ἄγον καὶ νήπια τέκνα,
Αὐτούς τ' ἔκτεινον· τάχα δ' ἐς πόλιν ἵκετ' ἀϋτή.
Οἱ δὲ βοῆς ἀΐοντες ἅμ' ἠοῖ φαινομένηφιν
Ἦλθον· πλῆτο δὲ πᾶν πεδίον πεζῶν τε καὶ ἵππων
Χαλκοῦ τε Στεροπῆς· ἐν δὲ Ζεὺς τερπικέραυνος
Φύζαν ἐμοῖς ἑτάροισι κακὴν βάλεν, οὐδέ τις ἔτλη
Μεῖναι ἐναντίβιον· περὶ γὰρ κατὰ πάντοθεν ἔστη.
Ἔνθ' ἡμέων πολλοὺς μὲν ἀπέκτανον ὀξέϊ χαλκῷ,
Τοὺς δ' ἄναγον ζωοὺς σφίσιν ἐργάζεσθαι ἀνάγκη.
Αὐτὰρ ἐμοὶ Ζεὺς αὐτὸς ἐνὶ φρεσὶ τοῦτο νόημα
Ποίησ' (ὡς ὄφελον θανέειν καὶ πότμον ἐπισπεῖν
Αὐτοῦ ἐν Αἰγύπτῳ· ἔτι γάρ νύ με πῆμ' ὑπέδεκτο)
Αὐτίκ' ἀπὸ κρατὸς κυνέην εὔτυκτον ἔθηκα
Καὶ σάκος ὤμοιϊν· δόρυ δ' ἔκβαλον ἔκτοσε χειρός·
Αὐτὰρ ἐγὼ βασιλῆος ἐναντίον ἤλυθον ἵππων,
Καὶ κύσα γούναθ' ἑλών· ὁ δ' ἐρύσατο, καί μ' ἐλέησεν·
Ἐς δίφρον δέ μ' ἕσας, ἄγεν οἴκαδε δακρυχέοντα.
Ἦ μέν μοι μάλα πολλοὶ ἐπήϊσσον μελίῃσιν,
Ἱέμενοι κτεῖναι (δὴ γὰρ κεχολώατο λίην)
Ἀλλ' ἀπὸ κεῖνος ἔρυκε, Διὸς δ' ὠπίζετο μῆνιν
Ξεινίου, ὅστε μάλιστα νεμεσσᾶται κακὰ ἔργα.
Ἔνθα μὲν ἑπτάετες μένον αὐτόθι, πολλὰ δ' ἄγειρα

ῥείτην] καλὰ ῥεύματα ἔχοντα ποταμόν. 262. Ἐπισπόμενοι, πειθόμενοι τῇ ἑαυτῶν

τὸν πλοῦν δεινὸν πεπονθότες· ὡς δὲ σχόντες, ἀπέβημεν εἰς τὴν ἤπειρον, ἐκέλευσα τοὺς μὲν τῶν ἑταίρων αὐτοῦ παραμένοντας φυλάττειν τὴν ναῦν· τοὺς δέ τινας καὶ διέπεμψα σκοποὺς ἐς τὴν χώραν· οἱ δὲ πεποιθότες ἑαυτοῖς, ἐξυβρίσαντες παρὰ τὰ ἐντεταλμένα, ἐπόρθουν ἐπιδραμόντες τὴν χώραν, τοὺς μὲν ἀναιροῦντες, γυναῖκας δὲ καὶ παιδία ζωγροῦντες· ὡς δὲ ᾔσθοντο οἱ ἐκ τῆς πόλεως ἐπιδρομὴν πολεμίων, ἐπιβοηθήσαντες πανδημεὶ, ἅμα ἕῳ παρῆσαν, ὅσα φύλλα καὶ ἄνθη φύεται ἦρι· πᾶν γὰρ τὸ πεδίον πέπληστο πεζῶν καὶ ἱππέων, καὶ ὁ σίδηρος ἐξήστραπτε πανταχοῦ· κἀν τούτῳ οἱ ἐμοὶ ἑταῖροι ὁρῶντες τὰ πράγμαθ' ἡμῖν ἐσόμενα πονηρὰ, καὶ ὡς ἐν στενῷ κατεχόμενοι, φόβον αὐτοῖς τοῦ Διὸς ἐμβαλόντος, ἐτράπησαν εἰς φυγήν· οἱ δὲ ἐπιδιώκοντες τοῖς ἵπποις, τοὺς μὲν ἀνεῖλον, τοὺς δὲ καὶ ζωγρήσαντες, ἠνάγκασαν σφίσι δουλεύειν ἐργαζομένους· ἐγὼ δ' ἐν τούτῳ, καίτοι ἄμεινον ἦν μοι τότε ἀποθανεῖν· οὐ γὰρ ἂν χείροσι κακοῖς περιέπεσον ὕστερον, ἀλλὰ τοῦ θεοῦ με οὕτω σοφίσαντος, εὐθὺς ἀποθέμενος μὲν τὴν περικεφαλαίαν, καὶ τὸ σάκος ἀπὸ τῶν ὤμων· ῥίψας δ' ἔτι καὶ τὸ δόρυ ἀπὸ τῆς χειρὸς, κύψας πρὸ τῶν ἵππων τοῦ βασιλέως ἐκείνων, ἐλαβόμην τῶν γονάτων αὐτοῦ σωθῆναι δεόμενος· ὁ δὲ ἐλεήσας, ἀπῆγέ με, ἀναλαβὼν εἰς τὸν δίφρον.

Οὕτω δὴ φερομένῳ μοι πολλοὶ πολλῷ τῷ πάθει ἐπήεσαν ἐπ' ἐμὲ καθ' ὁδόν, ἀποκτεῖναι βουλόμενοι· ἀλλ' ἐκεῖνος, αἰδούμενος τὸν ἱκέσιον Δία, παρ' ᾧ θεοστυγεῖς εἰσιν οἱ βλάπτοντες τοὺς οἰκέτας, ἀπήρυκεν. Οὕτως οὖν ἑπτὰ ὅλα ἔτη

ἰσχύϊ 265. Τάχα] τάχιστα. 269. Φύζαν] φυγήν. 275. Ὑπέδεκτο] προσεδέχετό με, ὡς ἔοικε, καὶ ἄλλα κακά. 279 Κύσα] ἐφίλησα. 280. Ἕσας] καθίσας. 281. Ἐπῄϊσσον] ἐφώρμων τοῖς ἔγχεσι. 283 Ὠπίζετο] αἰδεῖται. 287. Ἐπι-

Χρήματ' ἀν' Αἰγυπτίους ἄνδρας· δίδοσαν γὰρ ἅπαντες.
Ἀλλ' ὅτε δὴ ὄγδοόν μοι ἐπιπλόμενον ἔτος ἦλθεν,
Δὴ τότε Φοῖνιξ ἦλθεν ἀνὴρ, ἀπατήλια εἰδὼς
Τρώκτης, ὃς δὴ πολλὰ κάκ' ἀνθρώποισιν ἐώργει·
Ὅς μ' ἄγε παρπεπιθὼν ᾗσι φρεσὶν, ὄφρ' ἱκόμεσθα
Φοινίκην, ὅθι τοῦγε δόμοι καὶ κτήματ' ἔκειτο.
Ἔνθα παρ' αὐτῷ μεῖνα τελεσφόρον εἰς ἐνιαυτόν.
Ἀλλ' ὅτε δὴ μῆνές τε καὶ ἡμέραι ἐξετελεῦντο,
Ἂψ περιτελλομένου ἔτεος καὶ ἐπήλυθον ὧραι,
Ἐς Λιβύην μ' ἐπὶ νηὸς ἐέσσατο ποντοπόροιο,
Ψεύδεα βουλεύσας, ἵνα οἱ σὺν φόρτον ἄγοιμι·
Κεῖθι δέ μ' ὡς περάσειε, καὶ ἄσπετον ὦνον ἕλοιτο.
Τῷ ἑπόμην ἐπὶ νηὸς, ὀϊόμενός περ, ἀνάγκῃ.
Ἡ δ' ἔθεεν Βορέῃ ἀνέμῳ ἀκραέϊ, καλῷ,
Μέσσον ὑπὲρ Κρήτης· Ζεὺς δέ σφισι μήδετ' ὄλεθρον.
Ἀλλ' ὅτε δὴ Κρήτην μὲν ἐλείπομεν, οὐδέ τις ἄλλη
Φαίνετο γαιάων, ἀλλ' οὐρανὸς ἠδὲ θάλασσα,
Δὴ τότε κυανέην νεφέλην ἔστησε Κρονίων
Νηὸς ὕπερ γλαφυρῆς· ἤχλυσε δὲ πόντος ὑπ' αὐτῆς.
Ζεὺς δ' ἄμυδις βρόντησε, καὶ ἔμβαλε νηῒ κεραυνόν·
Ἡ δ' ἐλελίχθη πᾶσα, Διὸς πληγεῖσα κεραυνῷ,
Ἐν δὲ θεείου πλῆτο· πέσον δ' ἐκ νηὸς ἅπαντες.
Οἱ δὲ κορώνῃσιν ἴκελοι περὶ νῆα μέλαιναν
Κύμασιν ἐμφορέοντο· θεὸς δ' ἀποαίνυτο νόστον.
Αὐτὰρ ἐμοὶ Ζεὺς αὐτὸς, ἔχοντί περ ἄλγεα θυμῷ,
Ἱστὸν ἀμαιμάκετον νηὸς κυανοπρώροιο
Ἐν χείρεσσιν ἔθηκεν, ὅπως ἔτι πῆμα φύγοιμι.
Τῷ ῥα περιπλεχθεὶς, φερόμην ὀλοοῖς ἀνέμοισιν·
Ἐννῆμαρ φερόμην, δεκάτῃ δέ με νυκτὶ μελαίνῃ
Γαίῃ Θεσπρωτῶν πέλασεν μέγα κῦμα κυλίνδον.
Ἔνθα με Θεσπρωτῶν βασιλεὺς ἐκομίσσατο Φείδων
Ἥρως ἀπριάτην· τοῦ γὰρ φίλος υἱὸς ἐπελθὼν

διέτριψα ἐν Αἰγύπτῳ, πολλὰ χρήματα πορισάμενος, πολλῶν μοι πολλὰ διδόντων· τῷ δὲ ὀγδόῳ Φοῖνίξ τις προσιὼν, πανοῦργος ἀνὴρ καὶ ἀπατεὼν, καὶ πολλοὺς ποιήσας κακῶς, παραπείθει με ἀκολουθεῖν αὐτῷ εἰς Φοινίκην· ἔνθα γενόμενον ὅλον ἐνιαυτὸν παρ᾽ αὐτῷ, προτείνει αὖθις συναπάραι αὐτῷ ἐς Λιβύην, λόγῳ μὲν ὡς βοηθείας τῆς παρ᾽ ἐμοῦ ἐν τῷ φόρτῳ δεόμενος· τὸ δ᾽ ἀληθὲς ἀπεμπολῆσαί με τολυπεύων, πολύ τι κέρδος ἐντεῦθεν προσδοκῶν· ἐμοὶ δὲ καίτοι οὐκ ἀνύποπτα πάμπαν ἦν, ἀλλ᾽ εἰπόμην ἀνάγκῃ· Ἐπιβάντες οὖν τῆς νεὼς, ἐπλέομεν πνεύματι δεξιῷ μέχρι τῆς Κρήτης, ὅπου Ζεὺς ἐπένευσεν ἀπολέσθαι τὴν ναῦν· ὡς οὖν παραλλάξαντες τὴν νῆσον, διεβάλλομεν πέλαγος ἀχανὲς, πᾶσαν ἀποκρύψαντες γῆν, νέφος τι συνεστὼς ὑπὲρ κεφαλῆς, συνεσκίασεν πάντα ζόφῳ, κᾀν τούτῳ βροντῆς γενομένης, κατέσκηψε κεραυνὸς ἐς τὴν ναῦν· τῆς δὲ ὑπὸ πολλοῦ θειώδους ἐκτιναχθείσης πυρὸς, ἐξέπεσον ἅπαντες ἐς τὴν θάλασσαν· ἔνθα ἐπιπλέοντες, ὥσπερ αἱ κορῶναι, ἐπὶ τῶν κυμάτων, ἐπειρῶντο ἐπιβαίνειν αὖθις τῆς νεώς· ἀλλ᾽ ὁ θεὸς αὐτῶν μὲν ἀπέγνω ὅλως τὸ σώζεσθαι· ἐμοὶ δὲ φέρων ὑπέθηκεν εὐθὺς τὸν ἱστόν· ᾧ περιπλακεὶς ἰσχυρῶς, ἐννέα μὲν ἡμέρας ἐχειμαζόμην, ἐν πολλοῖς τῶν κυμάτων διαύλοις φερόμενος ἄλλοτε ἄλλῃ· τῇ δὲ δεκάτῃ νυκτὶ φέρον με τὸ κῦμα, ἐξέβρασεν εἰς τὴν χώραν τῶν Θεσπρωτῶν· ὅπου με Φείδων ὁ βασιλεὺς ὑπεδέξατο, οὐ τῆς τυχούσης ἀξιώσας ἐπιμελείας, χλαῖναν δοὺς καὶ χιτῶνα, καὶ τἄλλα· ὁ γὰρ παῖς αὐτοῦ ἔτυχε κα-

---

πλόμενον] περιελθόν, 289. Τρώκτης] ἀπατεών. 290. παρπεπιθὼν] παραπείσας. 294. Περιτελομένου] ἐκπεριελθόντος τοῦ ἔτους εἰς τὸ αὐτό, 295. Ἐέσσατε] ἐπεκάθισέ με, 296. Φόρτον] συνεργὸν ἑαυτῷ πρὸς τὰ φορτία. 297. Ἀπεράσησι] πωλήσῃ. — Ὦνον] τιμήν. 304. Ἤχλυσε] συνεσκότασε. 305. Ἀμυδις] αἴφνης, ἅμα. 321. Ἀμαιμάκετον] ἀκαταγώνιστον, μέγαν. 317

Αἴθρῳ καὶ καμάτῳ δεδμημένον ἦγεν ἐς οἶκον,
Χειρὸς ἀναστήσας, ὄφρ' ἵκετο δώματα πατρός·
Ἀμφὶ δέ με χλαῖνάν τε, χιτῶνά τε, εἵματα ἕσσεν.
Ἔνθ' Ὀδυσσῆος ἐγὼ πυθόμην· κεῖνος γὰρ ἔφασκεν
Ξεινίσαι, ἠδὲ φιλῆσαι ἰόντ' ἐς πατρίδα γαῖαν.
Καί μοι κτήματ' ἔδειξεν, ὅσα ξυναγείρατ' Ὀδυσσεύς,
Χαλκόν τε, χρυσόν τε, πολύκμητόν τε σίδηρον·
Καί νύ κεν ἐς δεκάτην γενεὴν ἕτερόν γ' ἔτι βόσκοι·
Τόσσα οἱ ἐν μεγάροις κειμήλια κεῖτο ἄνακτος.
Τὸν δ' ἐς Δωδώνην φάτο βήμεναι, ὄφρα θεοῖο
Ἐκ δρυὸς ὑψικόμοιο Διὸς βουλὴν ἐπακούσαι,
Ὅππως νοστήσει Ἰθάκης ἐς πίονα δῆμον,
Ἤδη δὴν ἀπεὼν, ἢ ἀμφαδὸν, ἠὲ κρυφηδόν.
Ὤμοσε δὲ πρὸς ἔμ' αὐτὸν, ἀποσπένδων ἐνὶ οἴκῳ,
Νῆα κατειρύσθαι καὶ ἐπαρτέας ἔμμεν' ἑταίρους,
Οἳ δή μιν πέμψουσι φίλην ἐς πατρίδα γαῖαν.
Ἀλλ' ἐμὲ πρὶν ἀπέπεμψε· τύχησε γὰρ ἐρχομένη νηῦς
Ἀνδρῶν Θεσπρωτῶν ἐς Δουλίχιον πολύπυρον.
Ἔνθ' ὅγε μ' ἠνώγει πέμψαι βασιλῆϊ Ἀκάστῳ
Ἐνδυκέως· τοῖσιν δὲ κακὴ φρεσὶν ἥνδανε βουλὴ
Ἀμφ' ἐμοὶ, ὄφρ' ἔτι πάγχυ δύης ἐπὶ πῆμα γενοίμην.
Ἀλλ' ὅτε γαίας πολλὸν ἀπέπλω ποντοπόρος νηῦς,
Αὐτίκα δούλιον ἦμαρ ἐμοὶ περιμηχανόωντο·
Ἐκ μέν με χλαῖνάν τε, χιτῶνά τε, εἵματ' ἔδυσαν,
Ἀμφὶ δέ μοι ῥάκος ἄλλο κακὸν βάλον, ἠδὲ χιτῶνα,
Ῥωγαλέα, τὰ καὶ αὐτὸς ἐν ὀφθαλμοῖσιν ὅρηαι.
Ἑσπέριοι δ' Ἰθάκης εὐδειέλου ἔργ' ἀφίκοντο·

Ἀπριάτην] προῖκα, ἀδωροδοκήτως· 318. Αἴθρῳ] Ψύχει. 321. Ὀδυσσέως] περὶ Ὀδυσσέως. 327. Δωδώνην] ποιμὴν ποιμένα ποίμνην ὑφείλετο. τῷ δὲ ζητεῦντι τότε πρῶτον ἡ δρῦς φωνὴν ἀφιεῖσα εἶπεν, ὅτι τῶν ἀκολουθούντων

τελθὼν παρὰ τὴν ἀκτήν· ἔνθα ἐντυχών μοι ψύχει καὶ καμάτῳ παραλελυμένῳ, ἀναστήσας με, ἤγαγεν οἴκαδε παρὰ τῷ πατρί.

Ἐνταῦθα τοίνυν διατρίβων, ἤκουσα αὐτοῦ λέγοντος περὶ Ὀδυσσέως, ὡς ἀφίκετο παρ' αὐτὸν, ἰὼν εἰς φίλην πατρίδα γαῖαν, καὶ ξενίας παρ' αὐτοῦ τυχὼν, ἀπῆλθεν εἰς Δωδώνην· ἔδειξε δέ μοι καὶ τὰ κτήματα πάντα, ἃ Ὀδυσσεὺς ἦκεν ἄγων, χαλκόν τε, χρυσόν τε, καὶ πολύκμητον σίδηρον· ἃ οὐδ' ἂν ἐς δεκάτην γενεὰν οὐ μόνον αὐτὸς, ἀλλὰ καὶ ἕτερος προσεθεὶς αὐτῷ, τρεφόμενοι ἀναλώσειαν· τοσαῦτά μοι αὐτοῦ κειμήλια ἐδείκνυε κείμενα. Ἡ δὲ πρὸς Δωδώνην αὐτῷ ὁδὸς ἦν χρήσασθαι τῷ θεῷ, πότερον ἐκ τοῦ προφανοῦς, ἢ λάθρα εἰς Ἰθάκην εἰσδύναι, τοσοῦτον χρόνον ἀποδεδημηκότα· ὤμοσε δέ μοι ἅμα ἐπισπένδων, ἑτοίμην τήν τε ναῦν καὶ τοὺς ναύτας εἶναι παρ' αὐτῷ, οἳ ἄξουσιν αὐτὸν ἐς φίλην πατρίδα γαῖαν· ἐν ᾗ ἔμελλε συμπέμψειν κἀμὲ, ἀλλ' ἑτέρας νεὼς ἤδη πρὸς Δολίχιον ἀναγομένης, ἐκέλευσεν ἀγαγεῖν με πιστῶς ὡς Ἄκαστον βασιλέα· οἱ δὲ κακοὶ κακῶς ἀπολούμενοι, πονηρὰ περὶ ἐμοῦ ἐβουλεύσαντο, χαλεπὰ ἐπὶ χαλεποῖς μοι τυρεύοντες· ὡς γὰρ τῆς γῆς ἀποσχόντες, ἐς τὸ πέλαγος αὐτὸ ἐγενόμεθα, αὐτίκ' ἐτόλμησαν ἀποστερῆσαί με τὴν ἐλευθερίαν· καὶ δὴ περιελόντες μου τὴν ἐσθῆτα, ἐνέδυσάν με τὸ φαυλότατον τοῦτο ῥάκος, καὶ τὸν χιτῶνα τὸν διεῤῥωγότα, οἷον ὁρᾷς με ἔχοντα αὐτοῖς ὀφθαλμοῖς. Ἐκ δὴ τούτου προσχόντες περὶ βουλυτὸν τῇ κατὰ τὴν Ἰθάκην ἀκτῇ, ἐμὲ μὲν κατέδησαν ἐν τῇ νηΐ

ὁ νεωτατος ταῦτα ἔπραξε· ἐξετάσας δ' εὗρε τὸν κλέψαντα, Μαρδύλαν ὀνομαζόμενον· οὗτος γὰρ νεωστὶ ἐν τῷ χωρίῳ ἐβόσκει· λέγονται δὲ καὶ ἀκόλουθοι οἱ ποιμένες. 331. Ἐπαρτέας] ἑτοίμους. 338. Δύης] δυστυχίας, ἐπὶ δυστυχίᾳ βλάβη μοι γένοιτο. 341, Ἐκ . . Ἔδυσαν] ἐξέδυσαν. 343. Ὄρηαι] ὁρᾷς, ὥρεαι, καὶ ὥρηαι διὰ τὸ μέτρον. 344. Ἔργα] πεδιάδας. 346. Ὕπλῳ

Ἔνθ' ἐμὲ μὲν κατέδησαν ἐϋσσέλμῳ ἐνὶ νηῒ
Ὅπλῳ ἐϋστρεφέϊ στερεῶς· αὐτοὶ δ' ἀποβάντες
Ἐσσυμένως παρὰ θῖνα θαλάσσης δόρπον ἕλοντο.
Αὐτὰρ ἐμοὶ δεσμὸν μὲν ἀνέγναμψαν θεοὶ αὐτοὶ
Ῥηϊδίως· κεφαλῇ δὲ κατὰ ῥάκος ἀμφικαλύψας,
Ξεστὸν ἐφόλκαιον καταβὰς, ἐπέλασσα θαλάσσῃ
Στῆθος· ἔπειτα δὲ χερσὶ διήρεσσ' ἀμφοτέρῃσιν
Νηχόμενος, μάλα δ' ὦκα θύρηθ' ἔα ἀμφὶς ἐκείνων.
Ἔνθ' ἀναβὰς, ὅθι τε δρίος ἦν πολυανθέος ὕλης,
Κείμην πεπτηώς· οἱ δὲ μεγάλα στενάχοντες,
Φοίτων· ἀλλ' οὐ γάρ σφιν ἐφαίνετο κέρδιον εἶναι
Μαίεσθαι προτέρω· τοὶ μὲν πάλιν αὖτις ἔβαινον
Νηὸς ἔπι γλαφυρῆς· ἐμὲ δ' ἔκρυψαν θεοὶ αὐτοὶ
Ῥηϊδίως, καί με σταθμῷ ἐπέλασσαν ἄγοντες
Ἀνδρὸς ἐπισταμένου· ἔτι γάρ νύ μοι αἶσα βιῶναι.
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
Ἆ δειλὲ ξείνων, ἦ μοι μάλα θυμὸν ὄρινας,
Ταῦτα ἕκαστα λέγων, ὅσα δὴ πάθες, ἠδ' ὅσ' ἀλήθης.
Ἀλλὰ τάγ' οὐ κατὰ κόσμον ὀΐομαι, οὐδέ με πείσεις,
Εἰπὼν ἀμφ' Ὀδυσῆϊ· τί σε χρὴ, τοῖον ἐόντα,
Μαμψιδίως ψεύδεσθαι; ἐγὼ δ' εὖ οἶδα καὶ αὐτὸς
Νόστον ἐμοῖο ἄνακτος, ὅτ' ἤχθετο πᾶσι θεοῖσιν
Πάγχυ μάλ', ὅττι μιν οὔτι μετὰ Τρώεσσι δάμασσαν
Ἠὲ φίλων ἐν χερσὶν, ἐπὶ πόλεμον τολύπευσεν·
Τῷ κέν οἱ τύμβον μὲν ἐποίησαν Παναχαιοὶ,
Ἠδέ κε καὶ ᾧ παιδὶ μέγα κλέος ἤρατ' ὀπίσσω.
Νῦν δέ μιν ἀκλειῶς Ἅρπυιαι ἀνηρείψαντο.
Αὐτὰρ ἐγὼ παρ' ὕεσσιν ἀπότροπος· οὐδὲ πόλινδε

σχοινίῳ: 348. Ἀνέγναμψαν] ἔλυσαν. 250. Ἐφόλκαιον] κατὰ τὸ πηδάλιον,

ἰσχυρῶς, αὐτοὶ δὲ ἀποβάντες εἰς τὴν γῆν, ἐδειπνοποιοῦντο· κἀν τούτῳ οὐκ οἶδ᾽ ὅπως, τῶν θεῶν ἐπιλυσάντων μοι τὰ δεσμὰ, καλύψας τὴν κεφαλὴν ῥάκει, καὶ καταβὰς ἡσυχῇ διὰ τοῦ πηδαλίου, ἐνέβαλον ἐμαυτὸν εἰς τὴν θάλασσαν· καὶ ἐξῆλθον νηχόμενος πορρωτέρῳ πολλῷ ἐς τὸ δάσος· ὅπου καταδὺς, ἐκοίμην λαθών· οἱ δὲ, ὡς ἤσθοντο, διέδραμον ἄλλος ἄλλοσε πανταχοῦ πρὸς ὀλίγον· εἶτα μάταιον πόνον τὸ ζητεῖν ἡγησάμενοι, ἐπανελθόντες, ἀνέβησαν εἰς τὴν ναῦν, καὶ ἀπέπλευσαν. Οὕτως ὑφαρπάσαντές με ἀπ᾽ αὐτῶν οἱ θεοὶ, ἤγαγον ἐς τὸν σταθμὸν τουτονὶ ἀνδρὸς καθεστῶτος, εἱμαρμένον μοι, ὡς ἔοικεν, ἔτι ζῆν. Ταῦτα μὲν οὗτος.

Εὔμαιος δὲ πρὸς ταῦτα, ὦ πόνηρε σύγε, οἷα μὲν πέπονθας, ἐφ᾽ ὅσα δὲ τυγχάνεις πεπλανημένος! λίαν γὰρ ὁ λόγος οὗτος καθήψατό μου τῆς ψυχῆς· ἃ δ᾽ εἴρηταί σοι περὶ Ὀδυσσέως οὐκέτι μοι πιστὰ, οὔτε μὴν πιθανά· τί γὰρ χρὴ, ὦ μάταιε σύγε, ἐν τοιαύτῃ καθεστῶτα νῦν ἡλικίᾳ, ψεύδεσθαι τὰ τοιαῦτα; περὶ γὰρ ἐκείνου οἶδα μὲν κἀγὼ μηδὲν ἐναντιουμένους τοὺς θεοὺς αὐτῷ ἀφικέσθαι· ἀλλ᾽ ἐπειδὴ μισηθείη αὐτοῖς ποθ᾽ ὕστερον, οὔτ᾽ ἐκεῖ ἠξίωσαν ἐν μάχαις πολλαῖς γενομέναις ἐνδόξως ἀποθανεῖν· ἢ γοῦν ἔπειθ᾽, ἁλούσης τῆς πόλεως, παρὰ φίλοις, ἵν᾽ αὐτῷ τε τύμβος διεχοῦτο παρὰ τῶν Ἑλλήνων, καὶ τῷ παιδὶ μέγ᾽ ἐντεῦθεν ἐς τοὺς ὕστερον κλέος ἦν· καὶ νῦν αὖθις συνεχώρησαν ταῖς Ἁρπυίαις ἀκλεῆ αὐτὸν ὁπωσδήποτ᾽ ἀναρπάσαι· ἐγὼ δὲ ὁ δείλαιος ἐμφιλοχωρῶ παρὰ τοῖς συσὶν ἐνταυθοῖ ἀποκεχωρισμένος, κοὐδέποτε ἐπι-

---

παρὰ τὸ ἐφέλκεσθαι ὑπὸ τῆς νεώς. 351. Διήρεσα] ἐκωπηλάτησα, 352. Θύρηθ᾽ ἔα] ἔξω ἦν μακρὰν ἐκείνων. 353. Δρίος] δάσος. 354. Πεπτηὼς] πεπτωκώς. 356. Μαίεσθαι προτέρω] ζητεῖν περαιτέρω. 359. Ἐπισταμένου] φρονίμου. 362. Ἀλήθης] ἐπλανήθης. 371. Ἀνηρείψαντο] ἀνήρπασαν, παρὰ

Ἔρχομαι, εἰ μή πού τι περίφρων Πηνελόπεια
Ἐλθέμεν ὀτρύνησιν, ὅτ' ἀγγελίη ποθὲν ἔλθοι.
Ἀλλ' οἱ μὲν τὰ ἕκαστα παρήμενοι ἐξερέουσιν,
Ἠμὲν οἳ ἄχνυται δὴν οἰχομένοιο ἄνακτος,
Ἠδ' οἳ χαίρουσιν βίοτον νήποινον ἔδοντες.
Ἀλλ' ἐμοὶ οὐ φίλον ἐστὶ μεταλλῆσαι καὶ ἐρέσθαι,
Ἐξ οὗ δή μ' Αἰτωλὸς ἀνὴρ ἐξήπαφε μύθῳ,
Ὅς ῥ' ἄνδρα κτείνας, πολλὴν ἐπὶ γαῖαν ἀληθεὶς
Ἤλυθ' ἐμὰ πρὸς δώματ'· ἐγὼ δέ μιν ἀμφαγάπαζον.
Φῆ δέ μιν ἐν Κρήτεσσι παρ' Ἰδομενῆϊ ἰδέσθαι
Νῆας ἀκειόμενον, τάς οἱ ξυνέαξαν ἄελλαι·
Καὶ φάτ' ἐλεύσεσθαι, ἢ ἐς θέρος, ἢ ἐς ὀπώρην,
Πολλὰ χρήματ' ἄγοντα, σὺν ἀντιθέοις ἑτάροισιν.
Καὶ σὺ, γέρον πολυπενθὲς, ἐπεί σέ μοι ἤγαγε δαίμων,
Μήτε τί μοι ψεύδεσσι χαρίζεο, μήτε τι θέλγε·
Οὐ γὰρ τοὔνεκ' ἐγώ σ' αἰδέσσομαι, οὐδὲ φιλήσω,
Ἀλλὰ Δία ξένιον δείσας, αὐτόν τ' ἐλεαίρων.

Τὸν δ' ἀπαμειβόμενος, προσέφη πολύμητις Ὀδυσσεύς·
Ἦ μάλα τίς τοι θυμὸς ἐνὶ στήθεσσιν ἄπιστος,
Οἷόν σ' οὐδ' ὀμόσας περ, ἐπήγαγον, οὐδέ σε πείθω.
Ἀλλ' ἄγε νῦν ῥήτρην ποιησόμεθ'· αὐτὰρ ὄπισθεν
Μάρτυροι ἀμφοτέροισι θεοὶ, τοὶ Ὄλυμπον ἔχουσιν.
Εἰ μέν κεν νοςήσῃ ἄναξ τεὸς ἐς τόδε δῶμα,
Ἕσσας με χλαῖνάν τε, χιτῶνά τε, εἵματα πέμψαι
Δουλίχιόνδ' ἰέναι, ὅθι μοι φίλον ἔπλετο θυμῷ·
Εἰ δέ κε μὴ ἔλθῃσιν ἄναξ τεὸς, ὡς ἀγορεύω,
Δμῶας ἐπισσεύας βαλέειν μεγάλης κατὰ πέτρης,
Ὄφρα καὶ ἄλλος πτωχὸς ἀλεύεται ἠπεροπεύειν.

τὸ ἐνερείπτεσθαι. 379. Ἐξήπαφε] ἐξηπάτησε. 380. Ἀληθεὶς] πλανηθείς. 381. Ἀμφαγάπαζον] ἐφιλοφρονούμην. 383. Ἀκειόμενον] θεραπεύοντα, ἰώ-

δημῶν, εἰ μή ποθ' ἡ περίφρων κελεύσει με Πηνελόπη, βουλομένη κοινώσασθαι ὅ,τιδήποτ' ἀκούσειεν· ἐπειδὰν γὰρ ἴδωσί με οἴκαδε εἰσελθόντα, οὐ παύονταί μου ἄλλος ἄλλοθεν προσιόντες, διαπυνθανόμενοι ὅ,τι εἴη, οἵτε λυπούμενοι ἐπὶ τῇ τοῦ δεσπότου μου ἀπωλείᾳ, οἵτε χαίροντες ἐπὶ τοῖς αὐτοῖς, ὅτι ἀποινὶ τἀκείνου κατοψοφαγοῦσιν· ἐμοὶ δ' οὐκέθ' ἡδὺ τἀκείνου παρεξετάζειν· ἐξ οὗ ἀνὴρ μάλιστα Αἰτωλὸς, ἐλθὼν, πολλὰ ἐξηπάτησεν· οὗτος γὰρ ἄνδρ' ἀποκτείνας ἐν Κρήτῃ, δρασμῷ ἐκεῖθεν χρησάμενος, καὶ πολλὰ πλανηθεὶς, κατέλυσε παρ' ἐμοί· ξενίας δὲ καὶ φιλοφροσύνης ἀξίας τυχὼν, ἰδεῖν ἔφη Ὀδυσσέα ἐκεῖ παρ' Ἰδομενεῖ ἐπισκευαζόμενον τὰς νῆας διαχειμασθείσας· ὥρᾳ δὲ θέρους, ἢ ἐν φθινοπώρῳ ἐλεύσεσθαι πάντως μετὰ τῶν ἑταίρων, ἀμύθητα κειμήλια ἄγοντα. Τοιούτῳ ἄρα καὶ σὺ, ὦ γέρων, δοκεῖς ἐοικέναι· σὺ δ' οὖν, ἐπειδὴ θεῶν σέ τις ὡς ἐμὲ δοκεῖ ἀγαγεῖν, μηκέτι ψεύδου πρὸς ἐμὲ χαριζόμενος, μήτ' ἄλλως πειρῶ με προσαγαγέσθαι· εἰ γάρ τις αἰδὼς πρὸς ἐμοῦ καὶ φιλοφροσύνη πρὸς σὲ, οὐ διὰ τοὺς λόγους τοὺς σοὺς ταῦτ' ἐστι γεγονότα· ἀλλὰ τῷ τὸν Ξένιον δεδιέναι, σέ τε ἐλεεῖν, τιμῶ, οἷς ἂν δύνωμαι.

Ὀδυσσεὺς δὲ πρὸς ταῦτα· ὡς ἄτεγκτος, ὦ φίλος, καὶ σφόδρ' ἀτενής τις ἀληθῶς μοι δοκεῖς εἶναι, εἴγ' οὐδ' ὀμόσας σε πείθω· ἄγε δὴ συνθώμεθ' ἐπὶ μάρτυσι τοῖς θεοῖς, εἰ μὲν δεσπότης ὁ σὸς ἐλεύσεται οἴκαδε, ἦ μὴν χλαῖνάν μοι δόντα καὶ χιτῶνα καλὸν, πέμψειν με ἐς Δολίχιον, ἔνθα φίλον ἐστί μοι ἰέναι· εἰ δὲ μὴ, κελεύσειν τοὺς οἰκέτας ῥιπτῆσαί με κατὰ πετρῶν ἠλιβάτων· ἵνα καὶ ἄλλος ποτ' ἐλθὼν τῶν ἐπαιτῶν, ἀπέχηται τοῦ ἐξαπατᾷν.

μενον. 392. Ἐπήγαγον] προσηγαγόμην. 393. Ῥήτραν] συνθήκην ἐπί τῳ, τὸ νῦν λεγόμενον στοίχημα. 399. Ἐπισεύσας] ἐποτρύνας, κινήσας. 402. Οὕτω

Τὸν δ' ἀπαμειβόμενος, προσεφώνεε δῖος ὑφορβός·
Ξεῖν', οὕτω γάρ κέν μοι ἐϋκλείη τ', ἀρετή τε
Εἴη ἐπ' ἀνθρώπους ἅμα τ', αὐτίκα, καὶ μετέπειτα,
Ὅς σ' ἐπεὶ ἐς κλισίην ἄγαγον καὶ ξείνια δῶκα,
Αὖτις δὲ κτείναιμι, φίλον τ' ἀπὸ θυμὸν ἑλοίμην·
Πρόφρων κεν δὴ ἔπειτα Δία Κρονίωνα λιτοίμην.
Νῦν δ' ὥρη δόρποιο· τάχιςά μοι ἔνδον ἑταῖροι
Εἶεν, ἵν' ἐν κλισίῃ λαρὸν τετυκοίμεθα δόρπον·

Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
Ἀγχίμολον δὲ σύες τε καὶ ἀνέρες ἦλθον ὑφορβοί.
Τὰς μὲν ἄρα ἔρξαν κατὰ ἤθεα κοιμηθῆναι·
Κλαγγὴ δ' ἄσπετος ὦρτο συῶν αὐλιζομενάων·
Αὐτὰρ ὁ οἷς ἑτάροισιν ἐκέκλετο δῖος ὑφορβός·
Ἄξεθ' υἱῶν τὸν ἄριςον, ἵνα ξείνῳ ἱερεύσω
Τηλεδαπῷ· πρὸς δ' αὐτοὶ ὀνησόμεθ', οἵπερ ὀϊζὺν
Δὴν ἔχομεν, πάσχοντες ὑῶν ἕνεκ' ἀργιοδόντων·
Ἄλλοι δ' ἡμέτερον κάματον νήποινον ἔδουσιν.

Ὣς ἄρα φωνήσας, κέασε ξύλα νηλέϊ χαλκῷ·
Οἱ δ' ὗν εἰσῆγον μάλα πίονα πενταέτηρον·
Τὸν μὲν ἔπειτ' ἔςησαν ἐπ' ἐσχάρῃ· οὐδὲ συβώτης
Λήθετ' ἄρ' ἀθανάτων· φρεσὶ γὰρ κέχρητ' ἀγαθῇσιν·
Ἀλλ' ὅγ' ἀπαρχόμενος κεφαλῆς τρίχας ἐν πυρὶ βάλλεν
Ἀργιόδοντος ὑὸς καὶ ἐπεύχετο πᾶσι θεοῖσιν
Νοςῆσαι Ὀδυσῆα πολύφρονα ὅνδε δόμονδε.
Κόψε δ' ἀνασχόμενος σχίζῃ δρυὸς, ἣν λίπε κείων·
Τὸν δ' ἔλιπε ψυχή· τοὶ δ' ἔσφαξάν τε, καὶ εὗσαν·
Αἶψα δέ μιν διέχευαν· ὁ δ' ὠμοθετεῖτο συβώτης,
Πάντοθεν ἀρχόμενος μελέων, ἐς πίονα δημόν.

γάρ μοι] ἐν ἤθει ἀναγνωστέον ταῦτ' ἑξῆς. 406. Λιτοίμην] ἱκετεύοιμι. 411.

Εὔμαιος δὲ πρὸς ταῦτα· ἔπειτα τί ἂν εἴποιεν οἱ ἄνθρωποι περὶ ἐμοῦ, οἵ τε νῦν καὶ οἱ μετὰ ταῦτα, εἰ ἀγαγών σε εἰς τὴν ἐμαυτοῦ οἰκίαν, καὶ φιλοφρονησάμενος τὰ εἰκότα, ἀποκτείναιμι αἴφνης; ποῖ δ' οἰχήσεται καὶ ἡ ἀρετὴ, καὶ ἡ παρὰ πάντων ἀξίωσις; καὶ τί ἂν εἴποιμι πρὸς Δία τὸν ξένιον, τὰ βέλτιστά μοι παρ' αὐτοῦ γενέσθαι εὐχόμενος; Ἀλλ' ἤδη παυώμεθα περὶ τούτων λογοποιοῦντες· ὁρῶ γὰρ τὸν καιρὸν προσιόντα τοῦ δείπνου· τούς θ' ἑταίρους ὅσον οὔπω παραγενομένους, ἵνα σὺν ἐμοὶ σιτοποιήσωνται ὧδε.

Τοιαῦτα δ' αὐτῶν πρὸς ἀλλήλους διαλεγομένων, παρῆσαν οἱ ὑφορβοὶ ἄγοντες τὰς σῦς αὐλισθησομένας· μεγάλη δέ τις βοὴ ἦν ἐν τῇ αὐλῇ διακουομένη· κἀπειδὴ καθεῖρξαν ἕκαστα, ὅπῃ ἔδει, φωνήσας ὁ Εὔμαιος τοὺς ἑαυτοῦ ἑταίρους, ἄξετέ μοι ὑμεῖς γ', ἔφη, τὸν ἄριστον τῶν συῶν, ἵνα σφάξαντες τόν τε ξένον φιλοφρονησώμεθα, ὡς εἰκὸς, καὶ αὐτοὶ ἐν μέρει εὐωχηθῶμεν. οἳ πολλὰ μὲν περὶ αὐτοὺς κοπιῶμεν, ἄλλοι δὲ τῶν κόπων τυγχάνουσι καρπούμενοι τὴν ἀπόλαυσιν.

Ταῦτα δὲ εἰπὼν, αὐτὸς μὲν ἔσχιζε ξύλα· οἱ δὲ ἀγαγόντες σῦν πενταετῆ, ἔστησαν ἐπὶ τῆς ἐσχάρας· κἀν τούτῳ Εὔμαιος, ἀνὴρ θεοσεβὴς ὢν, οὐκ ἐπελάθετο τῶν θεῶν· ἀπαρξάμενος γὰρ, ἐπέβαλε τὰς ἀπὸ τῆς κεφαλῆς τρίχας τῷ πυρὶ, Ὀδυσσέα νοστῆται εὐχόμενος οἴκαδε· εἶθ' οὕτως ἀναλαβὼν σχίζαν δρυὸς, ἣν ἐν τῷ σχίζειν τὰ ξύλα ἦν ἐν μέρει καταλελοιπὼς, ἀνεῖλε πατάξας τὸ ἱερεῖον· οἱ δὲ λαβόντες, ἔσφαξάν τε, καὶ ἐψίλωσαν τῶν τριχῶν· εἶθ' οὕτω παρατεθειμένου, ἀπετέμνετο ὁ Εὔμαιος, ἀπὸ πάντων ἀπαρχόμενος τῶν μελῶν· ἃ ἐπιθεὶς ἐπὶ τῆς πιμελῆς, ᾗ τὰ μυρία ἦν περικεκαλυμμένα, καὶ τῶν

Κατὰ ἤθεα] ὅπῃ πρότερον εἰώθεσαν. 418. Κέασσε] ἔκοψε, ἔσχισε. 246.

Καὶ τὰ μὲν ἐν πυρὶ βάλλε, παλύνας ἀλφίτου ἀκτῇ,
Μίστυλλόν τ' ἄρα τἆλλα, καὶ ἀμφ' ὀβελοῖσιν ἔπειραν,
Ὤπτησάν τε περιφραδέως, ἐρύσαντό τε πάντα·
Βάλλον δ' εἰν ἐλεοῖσιν ἀολλέα· ἂν δὲ συβώτης
Ἵστατο δαιτρεύσων· περὶ γὰρ φρεσὶν αἴσιμα ᾔδη.
Καὶ τὰ μὲν ἔπταχα πάντα διεμοιρᾶτο δαΐζων·
Τὴν μὲν ἴαν Νύμφῃσι καὶ Ἑρμῇ, Μαιάδος υἱεῖ,
Θῆκεν ἐπευξάμενος, τὰς δ' ἄλλας νεῖμεν ἑκάστῳ·
Νώτοισιν δ' Ὀδυσσῆα διηνεκέεσσι γέραιρεν
Ἀργιόδοντος ὑός· κύδαινε δὲ θυμὸν ἄνακτος·
Καί μιν φωνήσας, προσέφη πολύμητις Ὀδυσσεύς·
Αἴθ' οὕτως, Εὔμαιε, φίλος Διὶ πατρὶ γένοιο,
Ὡς ἐμοὶ, ὅττι με, τοῖον ἐόντ', ἀγαθοῖσι γεραίρεις.
Τὸν δ' ἀπαμειβόμενος, προσέφης, Εὔμαιε συβῶτα·
Ἔσθιε, δαιμόνιε ξείνων, καὶ τέρπεο τοῖσδε,
Οἷα πάρεστι· θεὸς δὲ τὸ μὲν δώσει, τὸ δ' ἐάσει,
Ὅττι κεν ᾧ θυμῷ ἐθέλῃ· δύναται γὰρ ἅπαντα.
Ἦ ῥα καὶ ἄργματα θῦσε θεοῖς αἰειγενέτῃσιν·
Σπείσας δ' αἴθοπα οἶνον, Ὀδυσσῆϊ πτολιπόρθῳ
Ἐν χείρεσσιν ἔθηκεν· ὁ δ' ἕζετο ᾗ παρὰ μοίρῃ.
Σῖτον δέ σφιν ἔνειμε Μεσαύλιος, ὅν ῥα συβώτης
Αὐτὸς κτήσατο οἶος, ἀποιχομένοιο ἄνακτος,
Νόσφιν δεσποίνης καὶ Λαέρταο γέροντος·
Πὰρ δ' ἄρα μιν Ταφίων πρίατο κτεάτεσσιν ἑοῖσιν.
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
Σῖτον μέν σφιν ἀφεῖλε Μεσαύλιος· οἱ δ' ἐπὶ κοῖτον
Σίτου καὶ κρειῶν κεκορημένοι, ἐσσεύοντο.
Νὺξ δ' ἄρ' ἐπῆλθε κακὴ σκοτομήνιος, ὗε δ' ἄρα Ζεὺς
Πάννυχος· αὐτὰρ ἄη Ζέφυρος μέγας αἰὲν ἔφυδρος.

ἀλφίτων ἐπιπάσας σεμίδαλιν, ἐνέβαλε τῷ πυρί· οἱ δὲ τεμόντες καὶ αὐτοὶ τἄλλα, καὶ διαπείραντες ὀβελοῖς, ὤπτησαν πάντα καλῶς· εἶτ' ἐξελθόντες τοῦ πυρὸς, παρέθηκαν ἀθρόα ἐπὶ τῆς τραπέζης· τότε δὴ ὁ Εὔμαιος (ἦν γὰρ ἀνὴρ δίκαιος καὶ ἐπιεικὴς) ἀναστὰς, διέτεμεν εἰς μερίδας ἑπτά· τὴν μὲν, Νύμφαις καὶ Ἑρμῇ τῷ τῆς Μαίας· τὰς δὲ, ἀνὰ μίαν ἑκάστῳ, ἑαυτῷ καὶ τῆς ἄλλοις. Ὀδυσσέα δὲ αὐτὸν τοῖς νώτοις τετίμηκεν· ὁ δὲ ἡσθεὶς ἐπὶ τούτῳ, καὶ σφόδρα διαχυθεὶς τὴν ψυχὴν, ἔφη· εἴθ' οὕτω σε, ὦ Εὔμαιε, ἀνδρῶν ἄριστε, φιλήσειε Ζεὺς, ὅσον γε τοῦθ' ὑπάρχει σοι παρ' ἐμοῦ, ἐπεί με τοιοῦτον ὄντα οὕτω τετίμηκας.

Εὔμαιος δὲ πρὸς ταῦτα· ἔσθιε, ἔφη, σύγ' ὦ δαιμόνιε ξένε, εὐθυμῶν ἀτρέμας ἀπὸ τῶν παρόντων· θεὸς γὰρ οὐ πάντα πᾶσιν, ἀλλὰ τὰ μέν τισι, τὰ δ' οὐκ ἔδωκεν, ὅπως ἂν αὐτὸς ἐθέλῃ, τὰ πάντα δυνάμενος. Ταῦτα δ' εἰπὼν ἀπήρξατο ἀπὸ τῆς ἑαυτοῦ μοίρας θεοῖς ἀθανάτοις· εἶτα σπείσας οἶνον, δέδωκε τὸ λοιπὸν Ὀδυσσεῖ· ὁ δὲ καθήμενος πρὸς τῇ ἑαυτοῦ μερίδι, ἐδέξατο· ἄρτον δ' ἔνειμεν αὐτοῖς ὁ Μεσαύλιος, ὃν Εὔμαιος αὐτὸς ἄνευ Πηνελόπης καὶ Λαέρτου τοῦ γέροντος ἦν ἐωνημένος παρὰ τῶν Ταφίων, ἀποδεδημηκότος ἤδη τοῦ Ὀδυσσέως. Ἐκ δὲ τούτου ἤσθιον καὶ ἔπινον ἐπιεικῶς· ὡς δὲ καλῶς αὐτοῖς εἶχε, Μεσαύλιος μὲν ἀνῄρει τἀπὶ τῆς τραπέζης· οἱ δὲ ἤμελλον ἤδη ἀπελεύσεσθαι καθευδήσοντες· ἦν δὲ νὺξ σκοτεινὴ καὶ ὅλως ἀσέληνος σὺν χειμῶνι πολλῷ· ὕδωρ γὰρ ἐγένετο διὰ πάσης παρὰ τοῦ Διὸς, καὶ ὁ Ζέφυρος οὐκ ἐκόπαζεν ἐπιπνέων τὸ κάθυγρον· ἐν τούτῳ ἄρ' Ὀδυσ-

---

Κόψε] ἔπαισε τῇ σχίζῃ. ἣν ἐλελοίπει ἐν μέρει σχίζων. 429. Παλύνας] ἐπιπάσας λεπτῷ ἀλφίτῳ. 432. Ἐλεοῖσι] τραπέζῃ χωρικῇ. 433. Δαιτρεύσων μερίσων. 434, Ἕπταχα] ἑπταχῆ, εἰς μοίρας ἑπτά. 435. Τὴν μὲν ἴαν] τὴν μὲν μίαν. 437. Διηνεκέεσσι] μεγάλοις. 446, Ἄργματα] τὰς ἀπαρχάς. 458,

Τοῖς δ' Ὀδυσεὺς μετέειπε, συβώτεω πειρητίζων,
Εἴ πώς οἱ ἐκδὺς χλαῖναν πόροι, ἤ τιν' ἑταίρων
Ἄλλον ἐποτρύνειεν, ἐπεί ἑο κήδετο λίην·

Κέκλυθι νῦν, Εὔμαιε καὶ ἄλλοι πάντες ἑταῖροι,
Εὐξάμενός τι ἔπος, ἐρέω· οἶνος γὰρ ἀνώγει
Ἠλεὸς, ὅστ' ἐφέηκε πολύφρονά περ μάλ' ἀεῖσαι,
Καί θ' ἁπαλὸν γελάσαι, καί τ' ὀρχήσασθαι ἀνῆκεν,
Καί τι ἔπος προέηκεν, ὅπερ τ' ἄῤῥητον ἄμεινον.
Ἀλλ' ἐπεὶ οὖν τὸ πρῶτον ἀνέκραγον, οὐκ ἐπικεύσω.
Εἴθ' ὣς ἡβώοιμι, βίη τέ μοι ἔμπεδος εἴη,
Ὡς ὅθ' ὑπὸ Τροίην λόχον ἤγομεν ἀρτύναντες·
Ἡγείσθην δ' Ὀδυσεύς τε καὶ Ἀτρείδης Μενέλαος,
Τοῖσι δ' ἅμα τρίτος ἦρχον ἐγών· αὐτοὶ γὰρ ἄνωγον.
Ἀλλ' ὅτε δή ῥ' ἱκόμεσθα ποτὶ πτόλιν, αἰπύ τε τεῖχος,
Ἡμεῖς μὲν περὶ ἄστυ κατὰ ῥωπήϊα πυκνὰ
Ἀν' δόνακας καὶ ἕλος ὑπὸ τεύχεσι πεπτηῶτες,
Κείμεθα· νὺξ δ' ἄρ' ἐπῆλθε κακὴ, Βορέαο πεσόντος,
Πηγυλίς· αὐτὰρ ὕπερθε χιὼν γένετ', ἠΰτε πάχνη,
Ψυχρὴ, καὶ σακέεσσι περιτρέφετο κρύσταλλος.
Ἔνθ' ἄλλοι πάντες χλαίνας ἔχον ἠδὲ χιτῶνας,
Εὗδον δ' εὔκηλοι, σάκεσιν εἰλυμένοι ὤμους·
Αὐτὰρ ἐγὼ χλαῖναν μὲν ἰὼν ἑτάροισιν ἔλειπον
Ἀφραδέως, ἐπεὶ οὐκ ἐφάμην ῥιγωσέμεν ἔμπης·
Ἀλλ' ἑπόμην, σάκος οἶον ἔχων καὶ ζῶμα φαεινόν.
Ἀλλ' ὅτε δὴ τρίχα νυκτὸς ἔην, μετὰ δ' ἄστρα βεβήκει,
Καὶ τότ' ἐγὼν Ὀδυσῆα προσηύδων, ἐγγὺς ἐόντα,
Ἀγκῶνι νύξας· ὁ δ' ἄρ' ἐμμαπέως ὑπάκουσεν·
Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,

Ἔφυδρος] νότιος. 461. κήδετο] ἐδεῖτο λίαν τούτου. 463. Εὐξάμενος] μετὰ

σεὺς, ἀπόπειραν λαβεῖν τοῦ Εὐμαίου βουλόμενος, εἴτι σκέπος δοίη αὐτῷ πρὸς τὸ ψύχος, ἄρχεται μαλ' ἀςείως τοιούτου λόγου.

Ἀκούσατέ μου, ὦ ἄνδρες, εἴ ἔτι καὶ νῦν καυχήσομαι πρὸς ὑμᾶς· ὁ γὰρ οἶνος οὐ μόνον τοὺς πολλοὺς πέφυκεν ἐξιστᾷν, ἀλλ' οἷός τ' ἐστὶ καὶ τὸν φρονιμώτατον αὐτὸν οὐχ ὅπως πρὸς ᾠδὴν καὶ ὄρχησιν παροτρύναι, ἀλλὰ καὶ τἀπόῤῥητον αὐτοῦ πολλάκις ἐκφῆναι, ὃ ἄμεινον ἦν κεκαλύφθαι· ἀλλ' οὖν ἐπειδὴ ὑπεσχόμην, λέξω καὶ οὐκ ἀποκρύψομαι. Εἴθε μοι ἦν ἔθ' ἅπαξ ἡβῆσαί τε καὶ ἰσχύσαι, οἷος ἦν, ἡνίκα ᾔεμεν ἐν Τροίᾳ τινὲς ἐνεδρεύσοντες, Ὀδυσσεὺς μὲν καὶ Μενέλαος ἡγούμενοι, ἐγὼ δὲ τρίτος τῶν ἡγεμόνων ἑπόμενος· ὡς γὰρ ἐγενόμεθα πρὸς τῇ πόλει, συγκατέδυμεν ὑπὸ θάμνοις καὶ καλάμοις πολλοῖς παρὰ τὸ ἕλος πρὸς τῷ τείχει, ὑποπεπτωκότες τοῖς ὅπλοις· νὺξ δ' ἦν χειμερινὴ, πνεύσαντος τοῦ βορέου, καὶ χιόνος ἐπιγενομένης, ὥσπερ πάχνη, ψυχρᾶς, ὥστε πολὺν κρύςαλλον συμπαγῆναι περὶ τὴν ἀσπίδα· ἀλλ' οἷς μὲν ἦσαν χλαῖναί τε καὶ χιτῶνες, ἐκάθευδον ἥσυχῇ ὑπὸ ταῖς ἀσπίσιν· ἐγὼ δ', ἐπεὶ χήτει φρενὸς ἀπροσδόκητά μοι ἦν τὰ κατὰ τὸ ψύχος, κατέλιπον τὴν χλαῖναν παρὰ τοῖς ἑταίροις καὶ εὔζωνος εἱπόμην μηδὲν ἔχων παρὰ τὴν ἀσπίδα· κατὰ δὲ τὴν τρίτην τῆς νυκτὸς φυλακὴν, τῶν ἄστρων μονονοὺ καταδυομένων, παραγκωνισάμενος Ὀδυσσέα, Διογενὲς, ἔφην, Λαερτιάδη, πολυμήχανε Ὀδυσσεῦ· οὐκέτ' ἔγωγέ σοι ἔσομαι

καυχήματος. 464. Ἠλεὸς] ἠλιθοποιός. — Ἐφέηκε] κινεῖ. — Ἀεῖσαι] ᾆσαι· 466. Προέηκεν] ἐδημοσίευσε. 473. Ῥωπήϊα] θάμους. 474. Ἀνδόνακας]ἀνα καλάμους· 476. Πηγυλὶς] παγετός. 485. Ἐμμαπέως] προθύμως, εὐθύς. 58 8

Οὔτοι ἔτι ζωοῖσι μετέσσομαι, ἀλλά με χεῖμα
Δάμναται· οὐ γὰρ ἔχω χλαῖναν· παρά μ' ἤπαφε δαίμων
Οἰοχίτων' ἴμεναι· νῦν δ' οὐκέτι φυκτὰ πέλονται.
Ὣς ἐφάμην· ὁ δ' ἔπειτα νόον σχέθε τόνδ' ἐνὶ θυμῷ,
Οἷος ἐκεῖνος ἔην βουλευέμεν ἠδὲ μάχεσθαι·
Φθεγξάμενος δ' ὀλίγῃ ὀπί με πρὸς μῦθον ἔειπεν·
Σίγα νῦν, μήτις σευ Ἀχαιῶν ἄλλος ἀκούσῃ.
Ἦ καὶ ἐπ' ἀγκῶνος κεφαλὴν σχέθεν, εἶπέ τε μῦθον·
Κλῦτε, φίλοι· θεῖός μοι ἐνύπνιον ἦλθεν ὄνειρος.
Λίην γὰρ νηῶν ἑκὰς ἤλθομεν· ἀλλά τις εἴη
Εἰπεῖν Ἀτρείδῃ Ἀγαμέμνονι, ποιμένι λαῶν,
Εἰ πλέονας παρὰ ναῦφιν ἐποτρύνειε νέεσθαι.
Ὣς ἔφατ'· ὦρτο δ' ἔπειτα, Θόας, Ἀνδραίμονος υἱὸς,
Καρπαλίμως, ἀπὸ δὲ χλαῖναν θέτο φοινικόεσσαν,
Βῆ δὲ θέειν ἐπὶ νῆας· ἐγὼ δ' ἐνὶ εἵματι κείνου
Κείμην ἀσπασίως· φάε δὲ χρυσόθρονος Ἠώς.
Ὣς νῦν ἡβώοιμι, βίη τέ μοι ἔμπεδος εἴη·
Δοίη κέν τις χλαῖναν ἐνὶ σταθμοῖσι συφορβῶν,
Ἀμφότερον, φιλότητι καὶ αἰδοῖ φωτὸς ἑῆος·
Νῦν δέ μ' ἀτιμάζουσι κακὰ χροῒ εἵματ' ἔχοντα.
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα.
Ὦ γέρον, αἶνος μέν τοι ἀμύμων, ὃν κατέλεξας,
Οὐδέ τί πω παρὰ μοῖραν ἔπος νηκερδὲς ἔειπες·
Τῷ οὔτ' ἐσθῆτος δευήσεαι οὔτε τευ ἄλλου,
Ὧν ἐπέοιχ' ἱκέτην ταλαπείριον ἀντιάσαντα,
Νῦν· αὐτὰρ ἠῶθέν γε τὰ σὰ ῥάκεα δνοπαλίξεις.
Οὐ γὰρ πολλαὶ χλαῖναι, ἐπημοιβοί τε χιτῶνες
Ἐνθάδε ἕννυσθαι· μία δ' οἴη φωτὶ ἑκάστῳ.

Παρὰ δὲ ἤπαφε] παρέπεισεν ἐξηπάτησε, 492. Ὀλίγῃ ὀπί] μικρᾷ φωνῇ.

ἐν τοῖς ζῶσιν, ἰσχυρῶς με τοῦ ψύχους καταπιέζοντος· τί
οὖν χρή με ποιεῖν, ὥστε μὴ ἀπολέσθαι;

Ταῦτα δέ μου εἰπόντος ὑπακούσας ἐκ τοῦ παραχρῆμα
(ἦν γὰρ ἔντε βουλαῖς ἔντε μάχαις ἀνὴρ ἐν τοῖς μάλιστα)
καὶ σιγᾷν πρὸς τὸ οὖς ὑπειπὼν, μήτις τῶν ἄλλων αἴσθηται,
ἐπιςηρίξας τὴν κεφαλὴν ἐπὶ τοῦ ἀγκῶνος, ἔφη πρὸς ἐκεί-
νους. Ἄνδρες ἑταῖροι, θεῖός μοι ἐνύπνιον ἦλθεν ὄνειρος, ὡς πολὺ
οὕτω τῶν νεῶν ἀποστῆναι ἡμᾶς οὐκ ἂν εἴη ἀκίνδυνον ὀλί-
γοις οὖσιν· ἴτω τοίνυν τις ὅσον τάχος παρὰ τὸν Ἀγαμέμ-
νονα κελεύσων καὶ ἄλλους πλείους τῶν παρόντων ἡμῖν
ἐπιπέμψαι.

Οὐκ ἔφθη δὲ ταῦτ' εἰπὼν, ἀναπιδήσας Θόας ὁ Ἀνδραί-
μονος, καὶ ἀποσεισάμενος τὴν χλαῖναν τῶν ὤμων, ἔθει δρό-
μῳ παρὰ τὰς ναῦς· ἐγὼ δ' ἀσπασίως ἀναλαβὼν ἐκείνην,
ἐκείμην ἡδέως ὑποδὺς ἐς τὴν ἕω. Οὕτω τοίνυν καὶ νῦν ἠβου-
λόμην ἡβᾷν, καὶ ἰσχύειν· τάχα γὰρ ἄν τις κἀνταῦθα τῶν
συφορβῶν φιλίᾳ, ἢ αἰδοῖ πρὸς ἄνδρ' ἀγαθὸν σκέπος ἔδωκε
ῥιγοῦντί μοι οὕτω· νῦν δ' ὁρῶντές με διακείμενον οὕτως
ὑπὸ πιναροῖς ἱματίοις, καταφρονοῦσί μου.

Εὔμαιος δὲ πρὸς ταῦτα· ὁ λόγος οὗτος, ὦ γέρων, οὐδε-
μιᾶς ἀπολείπεται εὐφυΐας· ἀλλ' οὐδὲ μάτην ὑπηνοίξω τὴν
χρείαν· ἔσται γάρ σοι αὐτίκα μάλα ἐσθής τε πρὸς σκέπος, καὶ
ὅτου σοι δέοι ἑτέρου ἀπὸ τῶν παρόντων, οἷα δὴ ἱκέτῃ καὶ
τηλεδαπῷ· ἐκεῖνο δέ μοι μέμνησο μόνον, ἅμα ἕῳ ἐπανα-
λαβεῖν τὰ σαυτοῦ· οὐ γὰρ περίεστιν ἡμῖν οὕτως ἔχουσι
διπλᾶ ἀμφιέννυσθαι, μίαν ἡμῶν χλαῖναν κεκτημένου ἑκά-

---

496. Εἴη] ἴέτω. 498. Παρὰ ναῦφιν] ἀπὸ τῶν νεῶν. 505. Φωτὸς ἐῆος] ἀνδρὸς ἀγαθοῦ· παρὰ τὸ ἐὸς, εὖς, ἐῆος· τὸ δὲ ἐῆος δασυνόμενος, ἐκ τοῦ ἑός, Αντωνυμικόν. 508. Αἶνος] ὁ λόγος οὗτος, ἡ ἱστορία ἥδε. 509. Νηκερδὲς] ἀκερδὲς καὶ ἀσύμφορον σεαυτῷ. 510. Ανοπαλίξεις ἀμφισβητήσῃ. 513. Ἐπημοιβοὶ]

Αὐτὰρ ἐπὴν ἔλθησιν Ὀδυσσῆος φίλος υἱὸς,
Αὐτός τοι χλαῖνάν τε, χιτῶνά τε, εἵματα δώσει,
Πέμψει δ', ὅππη σε κραδίη θυμός τε κελεύει.
Ὣς εἰπὼν ἀνόρουσε· τίθει δ' ἄρα οἱ πυρὸς ἐγγὺς
Εὐνὴν, ἐν δ' οἴων τε καὶ αἰγῶν δέρματ' ἔβαλλεν.
Ἔνθ' Ὀδυσσεὺς κατέλεκτ'· ἐπὶ δὲ χλαῖναν βάλεν αὐτῷ
Πυκνὴν καὶ μεγάλην, ἥ οἱ παρεκέσκετ' ἀμοιβὰς
Ἕννυσθαι, ὅτε τις χειμὼν ἔκπαγλος ὄροιτο.
Ὣς ὁ μὲν ἔνθ' Ὀδυσσεὺς κοιμήσατο, τοὶ δὲ παρ' αὐτὸν
Ἄνδρες κοιμήσαντο νεηνίαι· οὐδὲ συβώτῃ
Ἥνδανεν αὐτόθι κοῖτος ὑῶν ἄπο κοιμηθῆναι,
Ἀλλ' ὅγ' ἄρ' ἔξω ἰὼν ὡπλίζετο· χαῖρε δ' Ὀδυσσεὺς,
Ὅττι ῥά οἱ βιότου περικήδετο, νόσφιν ἐόντος.
Πρῶτον μὲν ξίφος ὀξὺ περὶ στιβαροῖς βάλετ' ὤμοις,
Ἀμφὶ δὲ χλαῖναν ἐέσσατ' ἀλεξάνεμον, μάλα πυκνὴν,
Ἂν δὲ νάκην ἕλετ' αἰγὸς ἐϋτρεφέος, μεγάλοιο·
Εἵλετο δ' ὀξὺν ἄκοντα, κυνῶν ἀλκτῆρα καὶ ἀνδρῶν.
Βῆ δ' ἴμεναι κείων, ὅθι περ σύες ἀργυόδοντες
Πέτρῃ ὕπο γλαφυρῇ εὗδον, Βορέω ὑπ' ἰωγῇ.

ἄλλοι ἐπ' ἄλλοις. 521. Παρεχέσκετο] παρεῖχεν αὐτῷ ἐναλλάττειν ἐσθότε τὴν περιβολήν. 522. Ὄροιτο] διεγείροιτο. 529. Ἀλεξάνεμον] κωλυτικὴν τῶν ἀνέμων. 530. Νάκην] δέρμα αἴγειον δασύ, 531 Ἀλκτῆρα] φύλακα ἀπὸ τῶν ἐχθρῶν καὶ κυνῶν. 533. Βορέω] ὁ Βορᾶς τοῦ Βορέω, Ἰωνικῶς· οὗτος

ςου· ἡνίκα δ' ἂν ἐπανέλθῃ ὁ τοῦ 'Οδυσσέως φίλος παῖς, οὐ μόνον ἱμάτια δώσει σοι καλὰ, ἀλλὰ καὶ ἀποπέμψει σε, εὖ οἶδ' ἐγὼ, ὅποι σοι ἂν ᾖ βουλομένῳ.

Ἐκ δὴ τούτων ἀναστὰς ἔθηκε τὴν τοῦ Ὀδυσσέως εὐνὴν παρὰ τῷ πυρὶ, δέρματα αἰγῶν καὶ προβάτων αὐτῷ ὑποςρώσας· ὅπου κατακλιθέντος, ἐπέβαλε χλαῖναν δασεῖάν τε καὶ μεγάλην· ἣν αὐτὸς ἠμφιέννυτο ἐξ ἀμοιβῆς ἐν σφοδρῷ καὶ μεγάλῳ χειμῶνι.

Οὗτος οὖν ὁ μὲν Ὀδυσσεὺς αὐτοῦ κατακλισθεὶς, ἐκοιμᾶτο, καὶ οἱ ἄλλοι ὁμοίως ἑξῆς παρ' αὐτῷ, τῷ δ' Εὐμαίῳ μόνῳ οὐκ ἀσφαλὲς ἐδόκει ἄπο τῶν συῶν καθευδῆσαι· δι' ὃ ἥδετ' Ὀδυσσεὺς μάλισθ' ὁρῶν τὸν συβώτην πολλὴν τῶν αὐτοῦ θρεμμάτων ποιούμενον πρόνοιαν, καὶ ταῦτ' ἀποδημοῦντος αὐτοῦ. Ἀναρτήσας τοίνυν πρῶτον τὸ ξίφος ἀπὸ τῶν ὤμων· εἶτ' ἐνδὺς χλαῖναν ἀλεξάνεμον ὡς μάλιστα δασεῖαν, δέρματά τε αἰγὸς περιβεβλημένος, καὶ δόρυ λαβὼν ἐν χερσὶν ἀμυντήριον ἀνθρώπων τε καὶ κυνῶν, ἐξῄει καθευδήσων ὑπὸ πέτρᾳ αὐτοῦ γλαφυρᾷ ἐν σκέπτῃ τοῦ βορέως, ὅπου διηυλίζοντο οἱ σύες.

ἐρασθεὶς Ὠρειθυίας τῆς τοῦ 'Ερεχθέως, πεμφθείσης κανηφόρου θῦσαι εἰς τὴν ἀκρόπολον Ἀθηνᾷ, ἥρπασεν, λαθὼν τοὺς φυλάσσοντας· ἀγαγὼν δὲ εἰς Θρᾴκην, ἐγέννησεν ἐξ αὐτῆς Ζῆθον καὶ Κάλαϊν· οἳ συνεξέπλευσαν ἐπὶ τοὺς Κόλχους ἐν Ἄργει ἐπὶ τὸ χρυσοῦν δέρας. — 'Ιωγῇ] ἐν σκέπῃ.

ΥΠΟΘΕΣΙΣ

ΑΘΗΝΑ ἐπιστᾶσα ὄναρ Τελεμάχῳ, παρατρύνει αὐτὸν ἐπανελθεῖν εἰς Ἰθάκην· ὁ δὲ πολλὰ δεξάμενος δῶρα παρὰ Μενελάου, ἀπαίρει σὺν τῷ Νεστορίδι· ὡς δὲ ἐγένοντο πρὸς τῇ Πύλῳ, δεδιὼς ὁ Τελέμαχος, μήτι ὁ Νέστωρ κωλύσῃ ἔτι αὐτὸν παρ' αὐτῷ, πείθει Πεισίστρατον τείνειν τὴν ὁδὸν εὐθὺς πρὸς τὴν ναῦν. ὅπου εὑρὼν Ἀργεῖόν τινα

ΟΔΥΣΣΕΙΑΣ Ο.

Ἡ δ' εἰς εὐρύχορον Λακεδαίμονα Παλλὰς Ἀθήνη
Ὤχετ' Ὀδυσσῆος μεγαθύμου φαίδιμον υἱὸν,
Νόστου ὑπομνήσουσα καὶ ὀτρυνέουσα νέεσθαι.
Εὗρε δὲ Τηλέμαχον καὶ Νέστορος ἀγλαὸν υἱὸν,
Εὕδοντ' ἐν προδόμῳ Μενελάου κυδαλίμοιο·
Ἤτοι Νεστορίδην μαλακῷ δεδμημένον ὕπνῳ·
Τηλέμαχον δ' οὐχ ὕπνος ἔχε γλυκὺς, ἀλλ' ἐνὶ θυμῷ
Νύκτα δι' ἀμβροσίην μελεδήματα πατρὸς ἔγειρεν.
Ἀγχοῦ δ' ἱσταμένη, προσέφη γλαυκῶπις Ἀθήνη·
Τηλέμαχ', οὐκέτι καλὰ δόμων ἄπο τῆλ' ἀλάλησαι,

ΤΟΥ Ο.

Θεοκλύμενον τοὔνομα, φεύγοντα ἐπὶ φόνῳ ἀναλαμβάνει δεόμενον πρὸς τὸν πλοῦν. Ἐνταῦθα δὲ διέξεισιν ἐν μέρει καὶ Εὔμαιος Ὀδυσσεῖ τὰ καθ' ἑαυτὸν, ὅπως Φοίνιξι λησταῖς περιπεσὼν, ἀπεμπολήθη Λαέρτῃ. Τηλέμαχος δ' αὖ πρὸς ἀποφυγὴν τῶν ἐπιβουλευόντων διὰ τῶν Ἐχινάδων ἐπανακάμπτει· καὶ ἀποβὰς, τοὺς μὲν ἄλλους ἀποπέμπει εἰς τὴν πόλιν, αὐτὸς δ' ἥκει πρὸς Εὔμαιον.

ΟΔΥΣΣΕΙΑΣ Ο.

Η δ' οὖν Ἀθηνᾶ, ὡς κατέλιπε τὸν Ὀδυσσέα παρὰ τῷ λιμένῃ, ἐλθοῦσα εἰς Σπάρτην κελεύει τὸν τοῦ Ὀδυσσέως μνησθῆναι καταγωγῆς ἐς φίλην πατρίδα γαῖαν· εὗρε δὲ αὐτόν τε καὶ τὸν Νεστορίδην καθεύδοντας ἐν προδόμῳ τῷ τοῦ Μενελάου· τὸν μὲν, ὡς βαθὺν ὑπνώττοντα ὕπνον. Τηλέμαχον δὲ νήφοντα ὅλως καὶ φροντίζοντα περὶ τοῦ πατρός· ἐν δὴ τούτῳ προσιοῦσα αὐτῷ ἡ θεὸς, Τηλέμαχε, φησὶ, οὐκέτι

8 Μελεδήματα] μερίμνας περὶ τοῦ πατρός. 10. Καλ.] ἀντὶ τοῦ καλῶς

Κτήματά τε προλιπὼν, ἄνδρας τ᾽ ἐν τοῖσι δόμοισιν
Οὕτω ὑπερφιάλους· μή τοι κατὰ πάντα φάγωσιν,
Κτήματα δασσσάμενοι, σὺ δὲ τηϋσίην ὁδὸν ἔλθῃς.
Ἀλλ᾽ ὄτρυνε τάχιστα βοὴν ἀγαθὸν Μενέλαον
Πεμπέμεν, ὄφρ᾽ ἔτι οἴκοι ἀμύμονα μητέρα τέτμῃς.
Ἤδη γάρ ῥα πατήρ τε, κασίγνητοί τε κέλονται
Εὐρυμάχῳ γήμασθαι· ὁ γὰρ περιβάλλει ἅπαντας
Μνηστῆρας δώροισι καὶ ἐξώφελλεν ἔεδνα·
Μή νύ τι σεῦ ἀέκητι δόμων ἐκ κτῆμα φέρηται.
Οἶσθα γὰρ, οἷος θυμὸς ἐνὶ στήθεσσι γυναικός·
Κείνου βούλεται οἶκον ὀφέλλειν, ὅς κεν ὀπυίοι,
Παίδων δὲ προτέρων καὶ κουριδίοιο φίλοιο
Οὐκέτι μέμνηται τεθνηότος οὐδὲ μεταλλᾷ.
Ἀλλὰ σύγ᾽ ἐλθὼν αὐτὸς ἐπιτρέψειας ἕκαστα
Δμωάων, ἥτις τοι ἀρίστη φαίνεται εἶναι·
Εἰσόκε τοι φήνωσι θεοὶ κυδρὴν παράκοιτιν.
Ἄλλο δὲ τοίγε ἔπος ἐρέω· σὺ δὲ σύνθεο θυμῷ.
Μνηστήρων σ᾽ ἐπιτηδὲς ἀριστῆες λοχόωσιν
Ἐν πορθμῷ Ἰθάκης τε, Σάμοιό τε παιπαλοέσσης,
Ἱέμενοι κτεῖναι, πρὶν πατρίδα γαῖαν ἱκέσθαι.
Ἀλλὰ τάγ᾽ οὐκ ὀΐω, πρὶν καί τινα γαῖα καθέξει
Ἀνδρῶν μνηστήρων, οἵ τοι βίοτον κατέδουσιν.
Ἀλλὰ ἑκὰς νήσων ἀπέχειν εὐεργέα νῆα,
Νυκτὶ δ᾽ ὁμῶς πλείειν· πέμψει δέ τοι οὖρον ὄπισθεν
Ἀθανάτων, ὅστις σὲ φυλάσσει τε, ῥύεταί τε.
Αὐτὰρ ἐπὴν πρώτην ἀκτὴν Ἰθάκης ἀφίκηαι,

-- Ἀλάλησαι] πλανᾶσαι. 13. Τηϋσίην] ματαίαν. 15. Τέμνῃς] καταλάβῃς. 16. Πατὴρ, κασίγνητοι] πατὴρ μὲν ἦν αὐτῇ Ἰκάριος. μήτηρ δὲ, Δωροδόχη ἡ Ὀρευλόχου, ἢ Ἀστερωδία ἡ Εὐρυπύλου τοῦ Τηλέστορος, ἐξ ὧν πηνελόπη· ἧς ἀδελφοὶ μὲν Σῖμος, καὶ Αὐλητής· ἀδελφὴ δὲ, Ἰφθίμη. 17. Περι-

σοι καλῶς ἔχει, κτήματά τε καταλιπόντα, καὶ ἄνδρας ἐπ' αὐτοῖς ἀλαζόνας, μακρὰν περιπλανᾶσθαι τῶν οἴκοι, ἵνα μὴ πάντα διανειμαμένων ἐκείνων, καὶ καταφαγόντων, ἐς μάτην σοι εἴη ἐνταῦθα ὁ πλοῦς· Ἀναστὰς τοίνυν ἐξαιτοῦ τὴν ταχίστην Μενέλαον ἀποπέμψαι σε οἴκαδε, ὅπως καταλάβῃς τὴν μητέρα ἐντὸς ἔτι οὖσαν· ἤδε γὰρ βουλῇ τοῦ πατρὸς καὶ τῶν ἀδελφῶν ἑαυτῆς ἔγνω ἤδη γήμασθαι Εὐρυμάχῳ, ὡς τοῖς τε δώροις καὶ ἔδνοις πολὺ τοὺς ἄλλους ὑπερβαλόντι. Δέος τοίνυν μήτι τῶν κειμηλίων ἐπαίρουσα, συναποφέρηται. δεινὸν γὰρ τὸ θῆλυ ὀξέως πρὸς τοὺς καιροὺς μεταβάλλεσθαι, δευτέρῳ ἀνδρὶ μέλλουσα ὁμιλήσειν· τηνικαῦτα γὰρ τἀκείνου θέλει μάλιστα αὔξειν, τοῦ τεθνηκότος καὶ τῶν ὑπαρχόντων παίδων ἧττον φροντίζουσα· οὐκοῦν καιρός σοι ἤδη, ἅμ' ἐπανελθόντα οἴκαδε, συναγαγεῖν πάντα τὰ σαυτοῦ, καὶ παρακαταθέσθαι τῶν θεραπαινίδων τῇ πιστοτάτῃ φυλάσσειν, μέχρις ἂν ἐκφήνωσί ποθεν οἱ θεοί σοι γυναῖκα· καὶ ταῦτα μὲν οὕτω πράξεις ὕστερον πάντα καλῶς· νῦν δ' ἐκεῖνό μοι πρὸ πάντων πρόσχες τὸν νοῦν· μνηστήρων γὰρ οἱ ἄριστοι ἐνεδρεύουσί σοι μεταξὺ Ἰθάκης καὶ Σάμης, ἐπιβουλεύοντες ἀποκτεῖναί σε, πρίν ἢ ἐλθεῖν οἴκαδε· ἀλλ' οὐκ ἂν οἶμαί γε, καταπράξαιντο τοῦτο· πρὶν ἄν τινα αὐτῶν τῶν τὰ σὰ κατοψοφαγούντων ἡ γῆ καλύψῃ· ἀλλὰ σύγε μέμνησο ἀεὶ παραλλάττειν τὰς νήσους ταύτας, ὅσον οἷόν τε, πόῤῥωθεν καὶ διὰ νυκτός· ἄξει δέ σοι οὔριος ἐπιπνεύσας, ὃν ἀνείσει σοι ὄπισθεν, ὅς τις τῶν ἀθανάτων φιλῶν, πρόνοιάν σου ποιεῖται. κἀπειδὰν τάχιστα προσχῇς τῇ Ἰθάκῃ, τὴν μὲν ναῦν καὶ

βάλλει] ὑπερβάλλει ἅπαντας. 18. Ἐξώφελλεν] ηὔξησεν, ἐξώγκωσε τὰ ἔδνα. 19. Σεῦ ἀέκητι] μὴ εἰδότος σου. 28. Ἐπιτηδὲς] ἐπιτηδείως, 29. Σάμοιο ἀντὶ Σάμης, διὰ τὸ μέτρον ἐσχημάτισε τριτροκλίτως. 34. Ὁμῶς] ὁμοῦ· οὕτω

Νῆα μὲν ἐς πόλιν ὀτρῦναι καὶ πάντας ἑταίρους·
Αὐτὸς δὲ πρώτιστα συβώτην εἰσαφικέσθαι,
Ὅς τοι ὑῶν ἐπίουρος, ὁμῶς δέ τοι ἤπια οἶδεν.
Ἔνθα δὲ νύκτ' ἀέσαι· τὸν δ' ὀτρῦναι πόλιν εἴσω
Ἀγγελίην ἐρέοντα περίφρονι Πηνελοπείῃ,
Οὕνεκά οἱ σῶς ἐσσὶ, καὶ ἐκ Πύλου εἰλήλουθας.
Ἡ μὲν ἄρ' ὣς εἰποῦσ', ἀπέβη πρὸς μακρὸν Ὄλυμπον.
Αὐτὰρ ὁ Νεσορίδην ἐξ ἡδέος ὕπνου ἔγειρεν·
Λὰξ ποδὶ κινήσας, καί μιν πρὸς μῦθον ἔειπεν·
Ἔγρεο, Νεστορίδη Πεισίστρατε, μώνυχας ἵππους
Ζεῦξον ὑφ' ἅρματ' ἄγων, ὄφρα πρήσσωμεν ὁδοῖο.
Τὸν δ' αὖ Νεστορίδης Πεισίστρατος ἀντίον ηὔδα·
Τηλέμαχ', οὔπως ἔστιν ἐπειγομένους περ ὁδοῖο,
Νύκτα διὰ δνοφερὴν ἐλάαν· τάχα δ' ἔσσεται ἠώς.
Ἀλλὰ μέν', εἰσόκε δῶρα φέρων ἐπιδίφρια θείῃ
Ἥρως Ἀτρείδης, δουρικλειτὸς Μενέλαος,
Καὶ μύθοις ἀγανοῖσι παραυδήσας, ἀποπέμψῃ.
Τοῦ γάρ τε ξεῖνος μιμνήσκεται ἤματα πάντα
Ἀνδρὸς ξεινοδόκου, ὅς κεν φιλότητα παράσχῃ.
Ὣς ἔφατ'· αὐτίκα δὲ χρυσόθρονος ἤλυθεν Ἠώς.
Ἀγχίμολον δέ σφ' ἦλθε βοὴν ἀγαθὸς Μενέλαος,
Ἀνστὰς ἐξ εὐνῆς Ἑλένης πάρα καλλικόμοιο.
Τὸν δ' ὡς οὖν ἐνόησεν Ὀδυσσῆος φίλος υἱὸς,
Σπερχόμενός ῥα χιτῶνα περὶ χροῒ σιγαλόεντα
Δῦνεν, καὶ μέγα φᾶρος ἐπὶ στιβαροῖς βάλετ' ὤμοις
Ἥρως· βῆ δὲ θύραζε, παριστάμενος δὲ προσηύδα·
[Τηλέμαχος, φίλος υἱὸς Ὀδυσσῆος θείοιο·]
Ἀτρείδη Μενέλαε Διοτρεφὲς, ὄρχαμε λαῶν,
Ἤδη νῦν μ' ἀπόπεμπε φίλην ἐς πατρίδα γαῖαν·
Ἤδη γάρ μοι θυμὸς ἐέλδεται οἴκαδ' ἱκέσθαι.
Τὸν δ' ἠμείβετ' ἔπειτα βοὴν ἀγαθὸς Μενέλαος·
Τηλέμαχ', οὔτι σ' ἔγωγε πολὺν χρόνον ἐνθάδ' ἐρύξω,

τοὺς ἑταίρους πέμψεις εὐθὺς εἰς τὴν πόλιν· αὐτὸς δὲ παρελθὼν παρὰ τὸν συβώτην, ἄνδρ' ἀληθῶς καλὸν κἀγαθὸν, καὶ διανυκτερεύσας αὐτοῦ, πέμψεις αὐτὸν ἅμα ἕῳ παρὰ τὴν μητέρα, τὴν σὴν ἀπὸ τῆς Πύλλου ἀγγελοῦντα καταγωγήν. Ἡ μὲν δὴ ταῦτ' εἰποῦσα, ἀπέπτη εἰς Ὄλυμπον.

Τηλέμαχος δὲ ὑποκινήσας εὐθὺς Πεισίστρατον τῷ ποδὶ ἀνήγειρε· καί φησιν, ἀνάστα, ὦ ἄριστε, ζεῦξον τοὺς ἵππους τὴν ταχίστην· καιρὸς γὰρ ἀπάραι.

Ὁ δὲ, Τηλέμαχε, φησὶν, οὔπω ὁρῶ τὸν καιρὸν ἐπιτήδειον, οὐδ' ἀσφαλὲς ἡμῖν, καίτοι ἐπειγομένοις ἐλαύνειν, ἐσόμενον τοῦτο· περίμεινον τοίνυν τὴν ἡμέραν, ὁπότε καὶ δῶρά σοι ὁ ἀγαθὸς Μενέλαος τὰ εἰκότα ἐπιθήσει τῷ ἅρματι, καὶ λόγοις φιλικοῖς καὶ ἐπιεικέσιν ἡμᾶς παραπέμψει· τοῦτο γὰρ τοῖς ξένοις ἀείμνηστον γίγνεται πρὸς τοὺς ξενοδόχους, ἐπειδάν τις εὐνοίᾳ καὶ φιλοφροσύνῃ αὐτοὺς παραπέμψῃ.

Ἐκ δὴ τούτων, ἡνίκ' ἐφάνη ἡ χρυσόθρονος Ἠὼς, Μενέλαος ἐξελθὼν τοῦ κοιτῶνος ἀπὸ τῆς Ἑλένης, προσῄει. Τηλέμαχος δ' αὖ αἰσθόμενος ταῦτα, ἐνεδύσατο σὺν σπουδῇ τὸν χιτῶνα, καὶ ἀναλαβὼν τὸ φᾶρος ἐπ' ὤμων, ἔφη ταῦτ' αὐτῷ προσιών. Ἀτρείδη Μενέλαε διοτρεφὲς, ὄρχαμε λαῶν, ὥρα σοι ἤδη ἀποπέμψαιμε ἐς φίλην πατρίδα γαῖαν· τούτου γὰρ πολὺς ἤδη μοι γίγνεται πόθος.

Μενέλαος δὲ πρὸς ταῦτα. Τηλέμαχε, ἐπειδὴ οὕτως ἐφέσεως ἔχεις ἐπανελθεῖν, ἔγωγε μὲν οὐκέτ' ἂν κωλύοιμι βου-

---

καὶ κατωτέρω μικρόν. 40. 'Αέσαι] ἀναπαῦσαι. 49. Ὁδοῖο] οὕτω τὰ τοιαῦτα συντάσσει ὁ ποιητὴς πρὸς γενικὴν, ἀντὶ τοῦ καίτοι ἐφιέμενοι τῆς ὁδοῦ. 50. Τάχα δὲ] τάχιστα δέ. 51. 'Επιδίφρια] τὰ ἐπὶ τοῦ δίφρου κομισθησόμενα· 53. Παραυδήσας] παραμυθησάμενος. 77. Τετυκεῖν] παρασκευάσαι ἐκ τῶν

Ἱέμενον νόστοιο· νεμεσσῶμαι δὲ καὶ ἄλλῳ
Ἀνδρὶ ξεινοδόκῳ, ὅς κ' ἔξοχα μὲν φιλέῃσιν,
Ἔξοχα δ' ἐχθαίρῃσιν· ἀμείνω δ' αἴσιμα πάντα.
Ἶσόν τοι κακόν ἐσθ', ὅστ' οὐκ ἐθέλοντα νέεσθαι
Ξεῖνον ἐποτρύνει, καὶ ὃς ἐσσύμενον κατερύκει.
Χρὴ ξεῖνον παρεόντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν.
Ἀλλὰ μέν', εἰσόκε δῶρα φέρων ἐπιδίφρια θείω
Καλὰ, σὺ δ' ὀφθαλμοῖσιν ἴδῃς· εἴπω δὲ γυναιξὶ
Δεῖπνον ἐνὶ μεγάροις τετυκεῖν, ἅλις ἔνδον ἐόντων.
Ἀμφότερον, κῦδός τε καὶ ἀγλαΐη καὶ ὄνειαρ,
Δειπνήσαντας ἴμεν πολλὴν ἐπ' ἀπείρονα γαῖαν.
Εἰ δ' ἐθέλεις τραφθῆναι ἀν' Ἑλλάδα καὶ μέσον Ἄργος,
Ὄφρα τοι αὐτὸς ἕπωμαι, ὑποζεύξω δέ τοι ἵππους,
Ἄστεα δ' ἀνθρώπων ἡγήσομαι· οὐδέ τις ἡμέας
Αὔτως ἀππέμψει, δώσει δέ τι ἕν γε φέρεσθαι,
Ἠέ τινα τριπόδων εὐχάλκων, ἠὲ λεβήτων,
Ἠὲ δύ' ἡμιόνους, ἠὲ χρύσειον ἄλεισον.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Ἀτρείδη Μενέλαε Διοτρεφὲς, ὄρχαμε λαῶν,
Βούλομαι ἤδη νεῖσθαι ἐφ' ἡμέτερ'· οὐ γὰρ ὄπισθεν
Οὖρον ἰὼν κατέλειπον ἐπὶ κτεάτεσσιν ἐμοῖσιν·
Μὴ πατέρ' ἀντίθεον διζήμενος, αὐτὸς ὄλωμαι,
Ἤ τί μοι ἐκ μεγάρων κειμήλιον ἐσθλὸν ὄληται.
Αὐτὰρ ἐπεὶ τόγ' ἄκουσε βοὴν ἀγαθὸς Μενέλαος,
Αὐτίκ' ἄρ' ᾗ ἀλόχῳ ἠδὲ δμωῇσι κέλευσεν
Δεῖπνον ἐνὶ μεγάροις τετυκεῖν ἅλις ἔνδον ἐόντων.
Ἀγχίμολον δέ οἱ ἦλθε Βοηθοίδης Ἐτεωνεὺς,

παρόντων. 78. Ἀμφότερον] κατά τε ψυχὴν καὶ σῶμα, πρὸς μὲν τὴν ψυχὴν τὸ κῦδος καὶ ἡ ἀγλαΐα ἀναφέρεται, πρὸς δὲ τὸ σῶμα τὸ ὄνειαρ, ὅ ἐστιν

λόμενον τοῦτο· ἀλλὰ καὶ τῶν ἄλλων καταμέμάλισταμφομαι, οἵτινες εἰέν ποτε, οἱ ἐκ μὲν τοῦ λίαν φιλεῖν καὶ ἄκοντας τοὺς ξένους ἐπίσχουσιν· οἱ δ' αὖ ἐκ τοῦ μισεῖν, καὶ μὴ βουλομένοις ἀναχωρεῖν, ἀνάγκην τούτοις πρὸς τοῦτο προσάγουσι· καίτοι ἐχρῆν τὸν ξένον καὶ παρόντα μὲν μάλιστα φιλεῖν, καὶ χρήζοντα ἀπιέναι προθύμως πέμπειν· τὸ γὰρ μέσον ἐν ἅπασιν ἄριστον· σὺ δὲ παράμεινόν μοι μικρὸν μέχρις ἂν αὐτός τε δῶρά σοι τὰ εἰκότα ἐν τῷ ἅρματι ἐπιθῶ, καὶ τὰς γυναῖκας κελεύσω δεῖπνον παρασκευάσαι σοι ἀπὸ τῶν παρόντων, πολλῶν ὑπαργόντων· τοῦτο γάρ τῇ τε ψυχῇ καὶ τῷ σώματι ἐγγίνεται δύναμις, δειπνοποιησάμενον πανταχῆ ἐθέλειν ἰέναι· Εἰ δέ σοι βουλομένῳ εἴη τραπέσθαι πρὸς τὴν ἄλλην Ἑλλάδα καὶ τὸ Ἄργος, ἕτοιμος κἀγὼ, αὐτίκα τοὺς ἵππους ζεύξας, συναποδημῆσαι, πανταχοῦ ξεναγωγῶν σε ἀνὰ πάσας τὰς πόλεις· οἱ δὲ ὑποδεξάμενοι ἡμᾶς φιλοφρόνως, ἀποπέμψουσι προθύμως σὺν δώροις· οὐδεὶς γὰρ ἂν εἴη, ὃς οὐκ ἂν δοίη ἡμῖν ἔνγετι φέρερεσθαι, ἤτοι τρίποδα, ἢ λέβητα, ἢ ζεῦγος ἡμιόνων, ἢ δέπας χρυσοῦν·

Τηλέμαχος δὲ πρὸς ταῦτα· Ἀτρίδη Μενέλαε, οὐκέθ' ὁρῶ τοῦτό μοι συμφέρον ἐσόμενον, μακρὰν οὕτως ἀποπλανᾶσθαι τῶν οἴκοι, μηδένα καταλιπόντα τᾀκεῖ φυλάττειν· ἀνάγκη μοι τοίνυν ἐπ' ἐκεῖνα τραπέσθαι, ἵνα μήτι ἀπόλοιτο, μήδ' ἐν τῷ ζητεῖν τὸν πατέρα αὐτὸς κινδυνεύσαιμι.

Ταῦτ' αὐτοῦ ἀκούσας Μενέλαος, ἐκέλευσε παραχρῆμα τήν θ' Ἑλένην καὶ τὰς θεραπαινίδας δειπνοποιῆσαι ἀπὸ τῶν παρόντων· κᾀν τούτῳ Ἐτεωνεὺς ὁ Βοηθοίδης, ὡς ἤκουσεν,

---

ἡ ἐκ τῆς ἰσχύος ὠφέλεια. 80. Τραφθῆναι] τραπέσθαι· ἡ κατὰ μετάθεσιν τῶν στοιχείων, τερφθῆναι· 85. Ἄλεισον] δέπας. 89. Οὖρον] φύλακα· 99. Κηώεντα

Ἀνστὰς ἐξ εὐνῆς, ἐπεὶ οὐ πολὺ ναῖεν ἀπ' αὐτοῦ·
Τὸν πῦρ κῆαι ἄνωγε βοὴν ἀγαθὸς Μενέλαος,
Ὀπτῆσαί τε κρεῶν· ὁ δ' ἄρ' οὐκ ἀπίθησεν ἀκούσας.
Αὐτὸς δ' ἐς θάλαμον κατεβήσατο κηώεντα,
Οὐκ οἶος, ἅμα τῷγ' Ἑλένη κίε καὶ Μεγαπένθης.
Ἀλλ' ὅτε δή ῥ' ἵκανον, ὅθ' οἱ κειμήλια κεῖτο,
Ἀτρείδης μὲν ἔπειτα δέπας λάβεν ἀμφικύπελλον,
Υἱὸν δὲ κρητῆρα φέρειν Μεγαπένθε' ἄνωγεν
Ἀργύρεον· Ἑλένη δὲ παρίστατο φωριαμοῖσιν,
Ἔνθ' ἔσάν οἱ πέπλοι παμποίκιλοι, οὓς κάμεν αὐτή.
Τῶν ἕν' ἀειραμένη Ἑλένη φέρε, δῖα γυναικῶν,
Ὃς κάλλιστος ἔην ποικίλμασιν ἠδὲ μέγιστος,
Ἀστὴρ δ' ὣς, ἀπέλαμπεν· ἔκειτο δὲ νείατος ἄλλων.
Βὰν δ' ἰέναι προτέρω διὰ δώματος, ἕως ἵκοντο
Τηλέμαχον· τὸν δὲ προσέφη ξανθὸς Μενέλαος·
Τηλέμαχ', ἤτοι νόστον, ὅπως φρεσὶ σῇσι μενοινᾷς,
Ὥς τοι Ζεὺς τελέσειεν, ἐρίγδουπος πόσις Ἥρης.
Δώρων δ', ὅσσ' ἐν ἐμῷ οἴκῳ κειμήλια κεῖται,
Δώσω, ὃ κάλλιστον καὶ τιμηέστατόν ἐστιν.
Δώσω τοι κρατῆρα τετυγμένον· ἀργύρεος δὲ
Ἐστὶν ἅπας, χρυσῷ δ' ἐπὶ χείλεα κεκράανται·
Ἔργον δ' Ἡφαίστοιο· πόρεν δέ ἑ Φαίδιμος ἥρως,
Σιδονίων βασιλεὺς, ὅθ' ἑὸς δόμος ἀμφεκάλυψεν
Κεῖσέ με νοστήσαντα· τεῒν δ' ἐθέλω τόδ' ὀπάσσαι.
Ὣς εἰπὼν, ἐν χερσὶ τίθει δέπας ἀμφικύπελλον
Ἥρως Ἀτρείδης· ὁ δ' ἄρα κρητῆρα φαεινὸν
Θῆκ' αὐτοῦ προπάροιθε φέρων κρατερὸς Μεγαπένθης,
Ἀργύρεον· Ἑλένη δὲ παρίστατο καλλιπάρῃος,
Πέπλον ἔχουσ' ἐν χερσὶν, ἔπος τ' ἔφατ', ἔκτ' ὀνόμαζεν·
Δῶρόν τοι καὶ ἐγὼ, τέκνον φίλε, τοῦτο δίδωμι
Μνῆμ' Ἑλένης χειρῶν, πολυηράτου ἐς γάμου ὥρην
Σῇ ἀλόχῳ φορέειν· τείως δὲ φίλῃ παρὰ μητρὶ
Κείσθω ἐνὶ μεγάρῳ· σὺ δέ μοι χαίρων ἀφίκοιο
Οἶκον ἐϋκτίμενον καὶ σὴν ἐς πατρίδα γαῖαν.
Ὣς εἰποῦσ' ἐν χερσὶ τίθει· ὁ δ' ἐδέξατο χαίρων.

ἐξαναστὰς τῆς εὐνῆς, παρέστη· τοῦτον δ' ἰδὼν Μενέλαος, ἐκέλευσεν αὐτὸν ὀπτῆσαι τῶν κρεῶν ὅ,τι μάλιστα· αὐτὸς δὲ συνεπαγόμενος τήνθ' Ἑλένην καὶ τὸν Μεγαπένθην τὸν παῖδα, κατῄει ἔνθ' ἦσαν αὐτῷ τὰ κειμήλια κατατεθειμένα· καὶ αὐτὸς μὲν ἔλαβεν ἔκπωμα ἀμφικύπελλον· Μεγαπένθης δὲ ἀργυροῦν κρατῆρα προστέτακται φέρειν· ἡ δὲ Ἑλένη ἀνοίξασα τῶν κιβωτίων, ᾧ ἐνῆσαν τῶν πέπλων παμποίκιλοι, οὓς αὕτη ἐξειργάσατο μάλιστα, τούτων ἐξελοῦσα ἀπὸ τοῦ πυθμένος, ὃς κάλλιστός τε καὶ μέγιστος ἦν, ἐξήνεγκεν ἀστράπτονθ' ὅλως, ὥσπερ ἀςὴρ φαεινός· ἐκ δὲ τούτων συναναβάντων, παραστὰς Μενέλαος πρῶτος, Τηλέμαχε, ἔφη, Ζεὺς μὲν ὁ ἐρίγδουπος ὁ τῆς Ἥρας ἀνὴρ δῴη σοι ἀπονοςῆσαι, ὅπως ἂν σοι μάλιστα κεχαρισμένα εἴη· ἐγὼ δέ σοι δίδωμι τῶν ὑπαρχόντων μοι δῶρον τὸ κάλλιστόν τε καὶ τιμαλφέστατον πάντων τουτὶ τὸ ποτήριον· πρὸς δὲ καὶ κρατῆρα τὸ σύνολον μὲν ἀργυροῦν, τὰ δὲ χείλη καὶ χρυσῷ πεπασμένον, ἔργον ὅλως Ἡφαίστου· ὃν δῶρον παρὰ τοῦ τῶν Σιδωνίων βασιλέως δεξάμενος, καταλύσας ποτὲ παρ' αὐτῷ, νῦν δίδωμί σοι· καὶ ταῦτ' εἰπὼν, αὐτὸς μὲν δέδωκε τὸ ποτήριον· ὁ δὲ παῖς αὐτὸς φέρων, προκατέθηκε τὸν κρατῆρα.

Ἐκ δὲ τούτου παρελθοῦσα Ἑλένη ἡ καλλιπάρειος, τὸν πέπλον φέρουσα ἐν χερσὶ, τέκνον, ἔφη, Τηλέμαχε, ἔχε καὶ παρ' ἐμοῦ λαβὼν δῶρον τὸν πέπλον τοῦτον, μνῆμα τῶν χειρῶν τῆς Ἑλένης, ὅπως, γήμαντός σου, κόσμος εἴη τῇ μακαρίᾳ νύμφῃ· μέχρι δὲ ἐκείνου κείσθω οἴκοι κατατεθειμένον παρὰ τῇ μητρί. σὺ δ' εἴης μοι χαίρων ἐς φίλην πατρίδα γαῖαν ἀπονοστῶν.

Ταῦτα δ' εἰποῦσα, κατέθηκε τὸν πέπλον ταῖς χερσὶν αὐ-

εὐώδη] τοῖς θυμιάμασι. 104. Φωριαμοῖσι] τοῖς κιβωτίοις. 108. Νείατος]

Καὶ τά μὲν ἐς πείρινθα τίθει Πεισίστρατος ἥρως
Δεξάμενος, καὶ πάντα ἑῷ θηήσατο θυμῷ.
Τοὺς δ' ἦγε πρὸς δῶμα κάρη ξανθὸς Μενέλαος·
Ἑζέσθην δ' ἄρ ἔπειτα κατὰ κλισμούς τε θρόνους τε·
Χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα
Καλῇ, χρυσείῃ, ὑπὲρ ἀργυρέοιο λέβητος,
Νίψαθαι· παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν.
Σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα·
Εἴδατα πόλλ' ἐπιθεῖσα, χαριζομένη παρεόντων·
Πὰρ δὲ Βοηθοίδης κρέα δαίετο καὶ νέμε μοίρας·
Ὠνοχόει δ' υἱὸς Μενελάου κυδαλίμοιο.
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
Δὴ τότε Τηλέμαχος καὶ Νέστορος ἀγλαὸς υἱὸς
Ἵππους τε ζεύγνυτ', ἀνά θ' ἅρματα ποικίλ' ἔβαινον·
Ἐκ δ' ἔλασαν προθύροιο καὶ αἰθούσης ἐριδούπου.
Τοὺς δὲ μετ' Ἀτρείδης ἔκιε ξανθὸς Μενέλαος,
Οἶνον ἔχων ἐν χειρὶ μελίφρονα δεξιτερῆφιν,
Χρυσέῳ ἐν δέπαϊ, ὄφρα λείψαντε κιοίτην·
Στῆ δ' ἵππων προπάροιθε, δεδισκόμενος δὲ προσηύδα·
Χαίρετον, ὦ κούρω, καὶ Νέστορι ποιμένι λαῶν
Εἰπεῖν· ἦ γὰρ ἔμοιγε πατὴρ ὣς ἤπιος ἦεν,
Εἴως ἐν Τροίῃ πολεμίζομεν υἷες Ἀχαιῶν.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Καὶ λίην κείνῳ γε, Διοτρεφὲς, ὡς ἀγορεύεις,
Πάντα τάδ' ἐλθόντες, καταλέξομεν· αἲ γὰρ ἐγὼν ὣς
Νοστήσας Ἰθάκηνδε, κιὼν Ὀδυσῆ' ἐνὶ οἴκῳ
Εἴποιμ', ὡς παρὰ σεῖο τυχὼν φιλότητος ἁπάσης
Ἔρχομαι, αὐτὰρ ἄγω κειμήλια πολλὰ καὶ ἐσθλά.
Ὣς ἄρα οἱ εἰπόντι ἐπέπτατο δεξιὸς ὄρνις,
Αἰετὸς, ἀργὴν χῆνα φέρων ὀνύχεσσι πέλωρον,

του· ὁ δὲ ἐδέξατο ὑπομειδιῶν. Πεισίστρατος δ᾽ ἀγασάμενος ταῦθ᾽ ἱκανῶς, λαβὼν ἐπέθηκεν ἐπὶ τῆς πειρίνθης. Ἐκ δὴ τούτου ἀγαγὼν αὐτοὺς Μενέλαος ἐς τὸ δῶμα, ἐκάθισεν ἐφ᾽ ἑδρῶν ὡς εἰκός· ἡ δὲ θεραπαινὶς ἐνέχει νίψασθαι ἐκ προχόου χρυσῆς ἐν λέβητι ἀργυρῷ· εἶτα δὲ παρασκευασθείσης τραπέζης, παρέθηκεν ἡ σιτοφύλαξ ἄρτον. Ἐτεωνεὺς δ᾽ αὖ διατεμὼν τὰ κρέα εἰς μοίρας, παρετίθει ἑκάστῳ· ᾠνοχόει δὲ ὁ παῖς ὁ τοῦ Μενελάου· αὐτοὶ δὲ ἤσθιόν τε καὶ ἔπινον ἐπιεικῶς· κἀπειδή ποθ᾽ ἅλις αὐτοῖς εἶχε τούτου, Τηλέμαχος καὶ Πεισίστρατος, ζεύξαντές τε, καὶ ἀναβάντες, ἐξήλασαν τῶν προθύρων· ὅπου γε Μενέλαος ὑπέτεμεν αὐτοὺς προδραμὼν, ἔκπωμα πλῆρες οἴνου χρυσοῦν φέρων ἐν τῇ χειρὶ, ὅπως σπείσαντες, οὕτως ἀπίωσιν· Στὰς οὖν πρὸ τῶν ἵππων, χαίρετε ἔφη, ὦ νέοι, καὶ Νέστορι τῷ σοφῷ παρ᾽ ἐμοῦ κελεύετε τοῦτο· ὡς γὰρ πατὴρ ἔμοιγε οὗτος ἦν, ἐν Τροίᾳ ἔτι τὸν πόλεμον διαφέροντι.

Τηλέμαχος δὲ πρὸς ταῦτα, ἔςαι, ὦ Μενέλαε πάντα ταῦτα κεχαρισμένα· ἅμα γὰρ ἐλθόντες, ἐροῦμεν τὸ παρηγγελμένον· ἀλλὰ γένοιτο κἀμοὶ ἐλθόντ᾽ εἰς Ἰθάκην εἰπεῖν καὶ αὐτῷ Ὀδυσσεῖ ταῦθ᾽ ὁμοίως· καὶ ὡς ἥκω παρὰ σοῦ, φιλοφροσύνης τε τῆς ἄλλης οὐ τῆς τυχούσης τυχὼν, καὶ δὴ δῶρα ταῦτα τῶν τιμαλφεστάτων ἀπήειν φερόμενος.

Ταῦτα δ᾽ αὐτοῦ εἰπόντος, ἀπέπτη ἀετὸς δεξιὸς, χῆνα λευκὸν καὶ μεγάλον τοῖς ὄνυξι φέρων, ἐξ αὐλῆς τινος ἀναρ-

---

ἔσχατος ἐν τῷ πιθμένι τῆς κιβωτοῦ. 131. Πείρινθα] τὸ ἐπὶ τοῦ δίφρου πλέγμα. 132. Θηήσαντο] ἐθαύμασε. 147. Ἔκιε] μετέκια, εἵπετο τρέχων. 149. Λείψαντε] σπείσαντες, ἀπέλθωσι. 150. Δεδισκόμενος] ἀναδεικνύων, καὶ δεξιούμενος. 152. Εἰπεῖν] εἴπατε. 162. Ἰύζοντες] βοῶντες. 188. Ἄεσσαν] ἀ-

Ἥμερον ἐξ αὐλῆς· οἱ δ' ἰύζοντες ἕποντο
Ἀνέρες ἠδὲ γυναῖκες· ὁ δέ σφισιν ἐγγύθεν ἐλθὼν
Δεξιὸς ἤϊξε πρόσθ' ἵππων· οἱ δὲ ἰδόντες
Γήθησαν, καὶ πᾶσιν ἐνὶ φρεσὶ θυμὸς ἰάνθη.
Τοῖσι δὲ Νεστορίδης Πεισίστρατος ἤρχετο μύθων·
Φράζεο δὴ, Μενέλαε Διοτρεφὲς, ὄρχαμε λαῶν,
Ἢ νῶϊν τόδ' ἔφηνε θεὸς τέρας, ἠὲ σοὶ αὐτῷ.
Ὣς φάτο· μερμήριξε δ' Ἀρηΐφιλος Μενέλαος,
Ὅππως οἱ κατὰ μοῖραν ὑποκρίναιτο νοήσας.
Τὸν δ' Ἑλένη τανύπεπλος ὑποφθαμένη, φάτο μῦθον.
Κλῦτέ μευ· αὐτὰρ ἐγὼ μαντεύσομαι, ὡς ἐνὶ θυμῷ
Ἀθάνατοι βάλλουσι, καὶ ὡς τελέεσθαι ὀΐω.
Ὡς ὅδε χῆν' ἥρπαξ', ἀτιταλλομένην ἐνὶ οἴκῳ,
Ἐλθὼν ἐξ ὄρεος, ὅθι οἱ γενεή τε, τόκος τε·
Ὣς Ὀδυσσεὺς κακὰ πολλὰ παθὼν, καὶ πόλλ' ἐπαληθεὶς,
Οἴκαδε νοςήσει καὶ τίσεται· ἠὲ καὶ ἤδη
Οἴκοι, ἀτὰρ μνηςῆρσι κακὸν πάντεσσι φυτεύει.
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Οὕτω νῦν Ζεὺς θείη, ἐρίγδουπος πόσις Ἥρης·
Τῷ κέν τοι καὶ κεῖθι θεῷ ὡς εὐχετοῴμην.
Ἦ καὶ ἐφ' ἵπποιϊν μάςτιν βάλεν· οἱ δὲ μάλ' ὦκα
Ἤϊξαν πεδίονδε διὰ πτόλιος μεμαῶτες·
Οἱ δὲ πανημέριοι σεῖον ζυγὸν ἀμφὶς ἔχοντες.
Δύσετό τ' ἠέλιος, σκιόωντό τε πᾶσαι ἀγυιαί·
Ἐς Φηρὰς δ' ἵκοντο Διοκλῆος ποτὶ δῶμα·
Υἱέος Ὀρσιλόχοιο, τὸν ἀλφειὸς τέκε παῖδα.
Ἔνθα δὲ νύκτ' ἄεσαν· ὁ δὲ τοῖς πὰρ ξείνια θῆκεν·
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠὼς,
Ἵππους τε ζεύγνυντ', ἀνά θ' ἅρματα ποικίλ' ἔβαινον·
Ἐκ δ' ἔλασαν προθύροιο καὶ αἰθούσης ἐριδούπου·
Μάστιξεν δ' ἐλάαν, τὼ δ' οὐκ ἄκοντε πετέσθην.
Αἶψα δ' ἔπειθ' ἵκοντο Πύλου αἰπὺ πτολίεθρον·
Καὶ τότε Τηλέμαχος προσεφώνεε Νέστορος υἱόν·

πάσας· ὄπισθεν δ' ἄνδρες τε καὶ γυναῖκες ἐξεβόων διώκοντες·
ὁ δὲ δεξιόθεν αὐτοῖς προσιὼν, κατέπτη πρὸ τῶν ἵππων· ὃ
πρὸς τῇ ἡδονῇ καὶ εἰς θαυμασμὸν αὐτοὺς ὁρῶντας ἐνέβαλεν
οὐκ ὀλίγον· Πεισίστρατος δ' οὖν στραφεὶς, Μενέλαε, ἔφη,
τί φῂς αὐτὸς, πότερον πρὸς σοῦ, ἢ πρὸς ἡμῶν τοῦτ' ἔσεσθαι
οἰωνίζῃ.

Μενελάου δὲ διανοουμένου ὅ,τι ποτ' ἀποκρίναιτο κατὰ
τρόπον, ὑπολαβοῦσα ἡ Ἑλένη, ἀκούσατέ μου, ἔφη, ὦ ἄνδρες,
ὅ μοι ὅ,τε θεὸς εἰκάσαι ἐνέπνευσε, καὶ τὸ πρᾶγμ' αὐτὸ μαρ-
τυρεῖ μοι τὴν εἰκασίαν· ὥσπερ γὰρ ὁ ὄρνις οὗτος, ὁρμηθεὶς
ἐξ ὀρέων, ὅπῃ αὐτῷ διατριβή τε καὶ τέκνωσις εἴωθε γίγνεσ-
θαι, τὸν χῆν' ἐπιπτὰς ἀνήρπασε τρεφόμενον οἴκοι· οὕτω καὶ
Ὀδυσσεὺς πολλὰ παθὼν, καὶ ἐκ πολλῆς πλάνης ἀπονοστήσας,
ἀμυνεῖται τοὺς ἀλαζόνας μνηστῆρας· τάχα δ' εἴη ἂν καὶ νῦν
οἴκοι ἐλθὼν, ἄξια τἀπίχειρα ἐκείνοις βυσσοδομεύων.

Τηλέμαχος δὲ πρὸς ταῦτα· εἴη μοι τοῦτο παρὰ τοῦ Διός·
κασοι, ἐλθὼν ἅμ' εἰς Ἰθάκην, εὔξομαι ὡς θεῷ· καὶ ταῦτ'
εἰπὼν, ἐμάστιξε τοὺς ἵππους· οἳ διελθόντες τὴν πόλιν τα-
χέως, ἤνυτον πανημέριοι σπουδῇ διὰ τοῦ πεδίου ἐς δυόμε-
νον ἥλιον· ὡς δὲ συνεσκότιαζεν, ἀφικόμενοι εἰς Φηρὰς,
παρὰ Διοκλεῖ τῷ τοῦ Ὀρσιλόχου, οὗ πατὴρ ἐγένετο Ἀλφειός·
παρ' οὗ ξενίας τυχόντες ἀξίας, διηυλίσθησαν αὐτοῦ· ὡς δ'
ἐφάνη αὖθις ἐπὶ τοῦ ὁρίζοντος ἡ χρυσόθρονος Ἠὼς, ζεύξαντες
αὖ πάλιν, ἤλαυνον ἐπιβάντες εἰς Πύλον. Πλησίον δὲ τῆς πό-
λεως γενομένων, στραφεὶς Τηλέμαχος, Πεισίστρατε, ἔφη,

νεπαύθησαν, διενυκτέρευσαν. 196. Διαμπερὲς] εἰς ἅπαντα τὸν αἰῶνα. 198.

Νεστορίδη, πῶς κέν μοι ὑποσχόμενος τελέσειας
Μῦθον ἐμόν; ξεῖνοι δὲ διαμπερὲς εὐχόμεθ' εἶναι
Ἐκ πατέρων φιλότητος, αὐτὰρ καὶ ὁμήλικές εἰμεν·
Ἥδε δ' ὁδὸς καὶ μᾶλλον ὁμοφροσύνῃσιν ἐνήσει.
Μή με παρὲξ ἄγε νῆα, Διοτρεφές, ἀλλὰ λίπ' αὐτοῦ·
Μή μ' ὁ γέρων ἀέκοντα κατάσχῃ ᾧ ἐνὶ οἴκῳ,
Ἱέμενος φιλέειν· ἐμὲ δὲ χρεὼ θᾶσσον ἱκέσθαι.
Ὣς φάτο· Νεστορίδης δ' ἄρ' ἑῷ συμφράσσατο θυμῷ,
Ὅππως οἱ κατὰ μοῖραν ὑποσχόμενος τελέσειεν·
Ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι·
Στρέψ' ἵππους ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης·
Νηῒ δ' ἐνὶ πρύμνῃ ἐξαίνυτο κάλλιμα δῶρα,
Ἐσθῆτα χρυσόν τε, τά οἱ Μενέλαος ἔδωκεν·
Καί μιν ἐποτρύνων ἔπεα πτερόεντα προσηύδα·
Σπουδῇ νῦν ἀνάβαινε, κέλευέ τε πάντας ἑταίρους,
Πρὶν ἐμὲ οἴκαδ' ἱκέσθαι ἀπαγγεῖλαί τε γέροντι.
Εὖ γὰρ ἐγὼ τόδε οἶδα κατὰ φρένα καὶ κατὰ θυμόν·
Οἷος ἐκείνου θυμὸς ὑπέρβιος, οὔ σε μεθήσει,
Ἀλλ' αὐτὸς καλέων δεῦρ' εἴσεται· οὐδέ ἕ φημι
Ἂψ ἰέναι κενεόν· μάλα γὰρ κεχολώσεται ἔμπης.
Ὣς ἄρα φωνήσας, ἔλασεν καλλίτριχας ἵππους
Ἂψ Πυλίων εἰς ἄστυ, θοῶς δ' ἄρα δώμαθ' ἵκανεν.
Τηλέμαχος δ' ἑτάροισιν ἐποτρύνων, ἐκέλευσεν·
Ἐγκοσμεῖτε τὰ τεύχε', ἑταῖροι, νηῒ μελαίνῃ·
Αὐτοί τ' ἀμβαίνωμεν, ἵνα πρήσσωμεν ὁδοῖο.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον, ἠδ' ἐπίθοντο.
Αἶψα δ' ἄρ' εἴσβαινον, καὶ ἐπὶ κληῗσι κάθιζον.
Ἤτοι ὁ μὲν τὰ πονεῖτο καὶ εὔχετο, θῦε δ' Ἀθήνῃ
Νηῒ πάρα πρύμνῃ· σχεδόθεν δέ οἱ ἤλυθεν ἀνὴρ
Τηλεδαπός, φεύγων ἐξ Ἄργεος, ἄνδρα κατακτάς,
Μάντις· ἀτάρ γενεήν γε Μελάμποδος ἔκγονος ἦεν,

βουλοίμην ἄν σε ὑπακοῦσαί μου, ὅτου καὶ δεήσομαι· ἡμεῖς γὰρ ξενίαν ἤδη ἔκτε πατρῴας φιλίας ἀμφότεροι, καὶ ἐξ ἡλικίας τῆς αὐτῆς ἐπισυναγαγόντες τυγχάνομεν ἰσχυράν· ἡ δ' ὁδὸς αὕτη καὶ πλέον τι τῷ φίλτρῳ προσέθηκεν· οὐκοῦν μηκέτι με ἄγε τοῦ λοιποῦ πρὸς τὴν πόλιν· ἵνα μὴ ὁ γέρων τῷ ἄγαν ἐμὲ φιλεῖν ἐπὶ πλέον κατάσχῃ με οἴκοι, ἀνάγκης μοι οὔσης ἤδη ὅσον τάχιον προσμίξαι τοῖς οἴκοι.

Πεισίστρατος δὲ σκεψάμενος πρὸς ταῦτα μικρὸν, ὁπότερον πράττοι, ἔγνω ἄμεινον εἶναι χαρίσασθαι αὐτῷ τὰ εἰκότα· καὶ δὴ στρέψας τοὺς ἵππους, ἤλαυνεν ὡς ἐπὶ τὴν ναῦν· ὅπου ἐξελὼν, ἃ Τηλεμάχῳ παρὰ Μενελάου δεδώρηται, ἐπέθηκεν ἐν τῇ πρύμνῃ τῇ τῆς νεώς· καί φησι πρὸς Τηλέμαχον· οὐκοῦν σύ τε σπουδῇ ἀνάβαινε καὶ τοὺς ἄλλους κέλευε, ὥστε θᾶττον ἔξω τοῦ λιμένος γενέσθαι, ἢ ἐμὲ ἀφικόμενον οἴκαδε, ἔκδηλον τῷ πατρὶ τοῦτο ποιῆσαι· καὶ γὰρ σαφῶς ἔγωγ' ἐπίσταμαι τὸν τρόπον ἐκείνου· αὐτίκα γὰρ αὐτὸς ἐλθὼν δεῦρο, ἄκοντα ἄξει σε εἰς τὴν πόλιν, ἀπαξιώσας μάτην σοι ὡς ἡμᾶς τοσαύτην ὁδὸν γενέσθαι· μὴ πειθομένῳ δ' ἄλλως χολώσεται. Ταῦτα δὴ εἰπὼν, ἀπῄει μαστίξας ὡς ἐπὶ τὴν Πύλον.

Τηλέμαχος δὲ παρώτρυνε τοὺς ἑταίρους σπουδῇ, ὅσον οἷόν τε διαθέσθαι τὰ κατὰ τὴν ναῦν· δεῖν γὰρ δὴ τάχιον αὐτοὺς ἔξω τοῦ λιμένος γενέσθαι· οἱ δὲ ὀξέως δεξάμενοι τὸ παραγγελθὲν, ἐκαθέσθησαν εὐθὺς ἐπιβάντες ἐπὶ τῶν ἑδρῶν. ὁ δὲ ἔθυε τῇ Ἀθηνᾷ πρὸς τῇ πρύμνῃ τῆς νεὼς, κἀν τούτῳ κατηλεδαπός τις, φόνον ἐξ ἄργους φεύγων, ἐκ Μελάμποδος κα-

---

Ἐνήσει] ἐμβαλεῖ ἡμᾶς. 199. Παρὲξ νῆα] παρὰ τὴν ναῦν· ὅ ἐστι μὴ με ἀγα-
γῇς περαιτέρω, παρελθὼν τὸν λιμένα. ἐν ᾧ ὁρμεῖ ἡ ναῦς. 201. Ἱέμενος φι-
λέειν] ἐφιέμενος δεξιοῦσθαι καὶ ἑστιᾷν. 218. Τὰ τεύχεα] τὰ τῆς νεὼς ἐργα-
λεῖα. 219. Ἀμβαίνωμεν] ἀναβαίνωμεν, ἵνα περάσωμεν διὰ τῆς ὁδοῦ. 225.

Ὃς πρὶν μέν ποτ' ἔναιε Πύλῳ ἔνι, μητέρι μήλων,
Ἀφνειὸς Πυλίοισι μέγ' ἔξοχα δώματα ναίων·
Δὴ τότε γ' ἄλλων δῆμον ἀφίκετο, πατρίδα φεύγων,
Νηλέα τε μεγάθυμον, ἀγαυότατον ζωόντων,
Ὅς οἱ χρήματα πολλὰ τελεσφόρον εἰς ἐνιαυτὸν
Εἶχε βίῃ. ὁ δὲ τέως μὲν ἐνὶ μεγάροις Φυλάκοιο
Δεσμῷ ἐν ἀργαλέῳ δέδετο, κρατέρ' ἄλγεα πάσχων
Εἵνεκα Νηλῆος κούρης, ἄτης τε βαρείης,
Τήν οἱ ἐπὶ φρεσὶ θῆκε θεὰ δασπλῆτις Ἐριννύς.
Ἀλλ' ὁ μὲν ἔκφυγε Κῆρα καὶ ἤλασε βοῦς ἐριμύκους
Ἐς Πύλον ἐκ Φυλάκης, καὶ ἐτίσατο ἔργον ἀεικὲς
Ἀντίθεον Νηλῆα, κασιγνήτῳ δὲ γυναῖκα
Ἠγάγετο πρὸς δώμαθ'. ὁ δ' ἄλλων ἵκετο δῆμον,
Ἄργος ἐς ἱππόβοτον· τόθι γάρ νύ οἱ αἴσιμον ἦεν
Ναιέμεναι, πολλοῖσιν ἀνάσσοντ' Ἀργείοισιν·
Ἔνθα δ' ἔγημε γυναῖκα καὶ ὑψερεφὲς θέτο δῶμα,
Γείνατο δ' Ἀντιφάτην καὶ Μάντιον, υἷε κραταιώ.
Ἀντιφάτης μὲν ἔτικτεν Ὀϊκλῆα μεγάθυμον·
Αὐτὰρ Ὀϊκλείης λαοσσόον Ἀμφιάραον,
Ὃν πέρι κῆρι φίλει Ζεύς τ', αἰγίοχος καὶ Ἀπόλλων
Παντοίην φιλότητ'· οὐδ' ἵκετο γήραος οὐδὸν,
Ἀλλ' ὄλετ' ἐν Θήβῃσι γυναίων εἵνεκα δώρων.
Τοῦ δ' υἱεῖς ἐγένοντ' Ἀλκμαίων Ἀμφίλοχός τε.
Μάντιος αὖ τέκετο Πολυφείδεά τε, Κλεῖτόν τε·
Ἀλλ' ἤτοι Κλεῖτον χρυσόθρονος ἥρπασεν Ἠὼς
Κάλλεος εἵνεκα οἷο, ἵν' ἀθανάτοισι μετείη.
Αὐτὰρ ὑπέρθυμον Πολυφείδεα μάντιν Ἀπόλλων

Μελάμποδος] ἴδε ἀνωτέρω ἐν τῷ Λ. στίχ. 286, Σχολ. 230. Χρήματα] ὁ Νηλεὺς ἔσχε τὰ χρήματα τοῦ Μελάμποδος εἰς ἐνιαυτὸν, μέχρις οὗ ἤγαγε

ταγόμενος ἄνωθεν, ὃς κατῴκει ποτὲ ἐν πολυβότῳ Πύλῳ,
πλούσιος λίαν, καὶ οἰκίαν ὡς μάλα σεμνὴν κατοικῶν· ἀλλὰ
τότε φυγὼν τὴν πατρίδα διὰ Νηλέα, ἄνδρα γενόμενον ἀπη-
νῆ καὶ ἀμάλακτον τῷ ὅλον ἔτος τῆς οὐσίας ἐκείνου βίᾳ κατα-
κεκρατηκέναι, ἀπῆλθεν εἰς ἀλλοδαπήν· ἐλθὼν γὰρ εἰς Φυ-
λάκην τὰς βοῦς κατάγε τὰ ὑπεσχημένα, ἐξελάσων ἐκεῖθεν
ἕνεκα τῆς κόρης τῆς τοῦ Νηλέως· ἢ μᾶλλον εἰπεῖν τῆς φρε-
νοβλαβείας, εἰς ἣν ἐνέβαλεν αὐτὸν ἡ ἀμειδὴς καὶ ἀπρόσιτος
Ἐριννὺς, ἁλοὺς περιπίπτει εἱρκτῇ, καὶ δεσμοῖς παρὰ τοῦ
Φυλάκου· τελευτῶν δὲ μετὰ τὸ παθεῖν οὐκ ὀλίγα, ἐξέφυγε
τὸν κίνδυνον, ἐξελάσας τὰς βοῦς ἐς τὴν Πύλον· κἀπειδὴ
ἑώρα Νηλέα ψευδόμενον τὴν ὑπόσχεσιν, μάχῃ κρατήσας,
αὐτόν τε ἠμύνατο, καὶ τὴν κόρην λαβὼν, ἤγαγε τῷ ἑαυτοῦ
ἀδελφῷ ἐσομένην γυναῖκα· αὐτὸς δ' ἐς Ἄργος ἐλθὼν, πολλῶν
ἦρξεν αὐτοῦ Ἀργείων (βουλὴ γὰρ ἦν ὡς ἔοικε τοῦ θεοῦ τὰ
γενόμενα) ἔνθα γήμας, καὶ οἰκίαν οἰκοδομησάμενος εὖ μάλα
σεμνὴν, ἐγείνατο παῖδας Ἀντιφάτην καὶ Μάντιον· καὶ Ἀν-
τιφάτου μὲν ἐγένετο Οἰκλεύς· Οἰκλέως δὲ, Ἀμφιάραος· ὃν
Ζεύς τε καὶ Ἀπόλλων ἐφίλησε μάλιστα· τέθνηκε δὲ νέος ὢν
κομιδῇ ἐν Θήβαις διὰ τὸν τῆς Ἐριφύλης ὅρμον· Τούτου δ'
αὖ παῖδες ἐγένοντο Ἀλκμαίων τε καὶ Ἀμφίλοχος· Μαντίου
δὲ πάλιν Πολυφείδης καὶ Κλεῖτος· ὧν τὸν μὲν ἀνήρπασεν
ἡ χρυσόθρονος Ἠὼς, ἐν ἀθανάτοις διάγειν ἀξιώσασα αὐτὸν
διὰ κάλλος· Πολυφείδην δὲ, ἀποθανόντος ἤδη τοῦ Ἀμφια-
ράου, μάντιν ἄριστον Ἀπόλλων ἐποίησεν· ὃς δι' ὀργὴν πρὸς

Ἐτίσατο τὰς βοῦς παρ' Ἰφίκλου. 233 Κούρης] τῆς Τυροῦς. ἴδε αὐτόθι. 235.
τὰς βοῦς παρ' Ἰφίκλου. 233 Κούρης] τῆς Τυροῦς. ἴδε αὐτόθι. 235. Ἐτίσατο
ἔργον ἀεικές] ἐλθόντι γὰρ σὺν ταῖς Βουσὶν οὐκ ἐδίδου αὐτῷ τὴν Τυρῶ κατὰ
τὴν ὑπόσχεσιν ὁ Νηλεύς· διὸ τιμωρησάμενος αὐτὸν, ἀνθ' ὧν ἔπαθε ὅλον ἐνιαυ-
τὸν. ἔλαβε καὶ τὴν Τυρῶ βίαν τῷ ἀδελφῷ εἰς γυναῖκα. 247. Δώρων] ἔ-

Θῆκε βροτῶν ὄχ' ἄριστον, ἐπεὶ θάνεν Ἀμφιάραος·
Ὅς ῥ' Ὑπερησίηνδ' ἀπενάσσατο, πατρὶ χολωθεὶς,
Ἔνθ' ὅγε ναιετάων μαντεύετο πᾶσι βροτοῖσιν.
Τοῦ μὲν ἄρ' υἱὸς ἐπῆλθε, Θεοκλύμενος δ' ὄνομ' ἦεν,
Ὃς τότε Τηλεμάχου πέλας ἵστατο· τὸν δ' ἐκίχανεν
Σπένδοντ', εὐχόμενόν τε θοῇ παρὰ νηῒ μελαίνῃ·
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Ὦ φίλ', ἐπεί σε θύοντα κιχάνω τῷδ' ἐνὶ χώρῳ,
Λίσσομ' ὑπὲρ θυέων καὶ δαίμονος, αὐτὰρ ἔπειτα
Σῆς τ' αὐτοῦ κεφαλῆς καὶ ἑταίρων, οἵ τοι ἕπονται,
Εἰπέ μοι εἰρομένῳ νημερτέα, μηδ' ἐπικεύσῃς·
Τίς πόθεν εἶς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες;
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ' ἀτρεκέως ἀγορεύσω.
Ἐξ Ἰθάκης γένος εἰμὶ, πατὴρ δέ μοί ἐστιν Ὀδυσσεὺς,
Εἴ ποτ' ἔην· νῦν δ' ἤδη ἀπέφθιτο λυγρῷ ὀλέθρῳ.
Τοὔνεκα νῦν ἑτάρους τε λαβὼν καὶ νῆα μέλαιναν,
Ἦλθον πευσόμενος πατρὸς δὴν οἰχομένοιο.
Τὸν δ' αὖτε προσέειπε Θεοκλύμενος θεοειδής·
Οὕτω τοι καὶ ἐγὼν ἐκ πατρίδος ἄνδρα κατακτὰς
Ἔμφυλον· πολλοὶ δὲ κασίγνητοί τε, ἔται τε
Ἄργος ἀν' ἱππόβοτον, μέγα δὲ κρατέουσιν Ἀχαιῶν.
Τῶν ὑπαλευάμενος θάνατον καὶ Κῆρα μέλαιναν,
Φεύγω· ἐπεί νύ μοι αἶσα κατ' ἀνθρώπους ἀλάλησθαι.
Ἀλλά με νηὸς ἔφεσσαι, ἐπεί σε φυγὼν ἱκέτευσα,
Μή με κατακτείνωσι· διωκέμεναι γὰρ ὀΐω.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Οὐ μὲν δή σ' ἐθέλοντά γ' ἀπώσω νηὸς ἐΐσης·
Ἀλλ' ἕπευ· αὐτὰρ κεῖθι φιλήσεαι, οἷά κ' ἔχωμεν.

τὸν ἑαυτοῦ πατέρα, ἀπελθὼν μετῴκησεν εἰς Ὑπερησίαν, ἔνθα διεβίωσε μαντευόμενος τοῖς ἀνθρώποις. Τούτου τοίνυν ὁ παῖς, ᾧ Θεοκλύμενος ὄνομα, τὴν αὐτὴν καὶ αὐτὸς εὑράμενος τέχνην, Τηλεμάχῳ σπένδοντι ἤδη παρὰ τῇ νηῒ προσιὼν, φίλε, ἔφη, ἐπειδή σοι ἐνέτυχον θυομένῳ, πρῶτον δέομαί σου πρὸς τῆς θυσίας αὐτῆς καὶ τοῦ θεοῦ; ᾧ ἤδη τυγχάνεις θύων· ἔπειτα πρὸς τῆς κεφαλῆς τῆς σῆς καὶ τῶν ἑταίρων τῶν σῶν τουτωνὶ, εἰπεῖν μοι τἀληθῆ, μηδὲν προσποιούμενος, τίς ὢν τυγχάνεις; τίς δέ σοι πόλις; τίνες δέ σοι τοκεῖς ποτ' ἐγένοντο;

Τηλέμαχος δὲ πρὸς ταῦτα, ἐγώ σοι ἔφη, ὦ ξένε, ἐρῶ ἁπλῶς τἀληθὲς, μηδὲν ἀποκρυψάμενος· ἐμοὶ γὰρ πατρὶς μέν ἐστιν Ἰθάκη, πατὴρ δ' Ὀδυσσεύς ἐστιν, εἴτιν' Ὀδυσσέα ποτὲ μὲν ὄντα, νῦν δ' ἀπολωλότα ἀκούεις· περὶ οὗ μαθησόμενος εἰμὶ πεπλευκὼς μέχρι δεῦρο.

Θεοκλύμενος δὲ πρὸς ταῦτα· κᾀμοὶ, ἔφη, πατρὶς μὲν τὸ Ἄργος ἐστίν· ἀλλὰ νῦν εἰμι πεφευγὼς, ἄνδρα πολίτην αὐτοῦ ἀνελών· ᾧ πολλοὶ μὲν ἐν Ἄργει εἰσὶν ἀδελφοὶ, πλείους δὲ καὶ ἑταῖροι, μέγα πάντες δυνάμενοι· ὧν τῷ δέει καταλιπὼν τὴν πατρίδα, πλανῶμαι, τοῦτό μοι προστίμημα καταγνούσης τῆς μοίρας. Τέως δ' οὖν δέομαί σου, ὦ βέλτιστε Τηλέμαχε, δέξασθαί με ἱκετεύοντα εἰς τὴν ναῦν, ὑπὸ τῶν ἐμαυτοῦ ἤδη ἐχθρῶν διωκόμενον ἐπὶ φόνῳ.

Τηλέμαχος δὲ πρὸς ταῦτα, οὐκ ἔχω, ἔφη, ὅπως ἂν εὐπροσώπως τὴν σὴν ἀποφύγοιμι ἱκετείαν· ἕπου μοι τοίνυν, καὶ τεύξῃ παρ' ἡμῶν ὅ,τι ποθ' ὑπάρχει καὶ ἡμῖν ἀπὸ τῶν

νελα τοῦ ὅρμου τῆς Ἐριφύλης· ἴδε. Λ. στίχ. 325. σχόλ. 254. Ἀπενάσσατο μετῴκησε. 261. Ὑπὲρ θυέων] ὑπέρ τε τῆς θυσίας αὐτῆς καὶ τοῦ θεοῦ, ᾧ θύων τυγχάνεις. 277. Ἔφεσσαι, ἢ ἐφέσσαι] ἐπιβίβασον εἰς τὴν ναῦν ἀπαρέμ-

Ὣς ἄρα φωνήσας οἱ, ἐδέξατο χάλκεον ἔγχος,
Καὶ τόγ' ἐπ' ἰκριόφιν τάνυσεν νεὸς ἀμφιελίσσης·
Ἂν δὲ καὶ αὐτὸς νηὸς ἐβήσατο ποντοπόροιο.
Ἐν πρύμνῃ δ' ἄρ' ἔπειτα καθέζετο· πὰρ δὲ οἷ αὐτῷ
Εἷσε Θεοκλύμενον· τοὶ δὲ πρυμνήσι' ἔλυσαν·
Τηλέμαχος δ' ἑτάροισιν ἐποτρύνας ἐκέλευσεν,
Ὅπλων ἅπτεσθαι· τοὶ δ' ἐσσυμένως ἐπίθοντο.
Ἱστὸν δ' εἰλάτινον κοίλης ἔντοσθε μεσόδμης
Στῆσαν ἀείραντες, κατὰ δὲ προτόνοισιν ἔδησαν·
Ἕλκον δ' ἱστία λευκὰ ἐϋστρέπτοισι βοεῦσιν.
Τοῖσιν δ' ἴκμενον οὖρον ἵει γλαυκῶπις Ἀθήνη,
Λάβρον ἐπαιγίζοντα δι' αἰθέρος, ὄφρα τάχιστα
Νηῦς ἀνύσειε, θέουσα θαλάσσης ἁλμυρὸν ὕδωρ.
[Βὰν δὲ παρὰ Κρουνοὺς καὶ Χάλκιδα καλλιρέεθρον.]
Δύσσετό τ' ἠέλιος, σκιόωντό τε πᾶσαι ἀγυιαί·
Ἡ δὲ Φεὰς ἐπέβαλλεν, ἐπειγομένη Διὸς οὔρῳ,
Ἠδὲ παρ' Ἤλιδα δῖαν, ὅθι κρατέουσιν Ἐπειοί.
Ἔνθεν δ' αὖ νήσοισιν ἐπιπροέηκε θοῇσιν,
Ὁρμαίνων ἤ κεν θάνατον φύγοι, ἤ κεν ἁλῴη.

Τὼ δ' αὖτ' ἐν κλισίῃ Ὀδυσεὺς καὶ δῖος ὑφορβὸς
Δορπείτην· παρὰ δέ σφιν ἐδόρπεον ἀνέρες ἄλλοι.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
Τοῖς δ' Ὀδυσσεὺς μετέειπε, συβώτεω πειρητίζων,
Εἴ μιν ἔτ' ἐνδυκέως φιλέοι, μεῖναί τε κελεύοι
Αὐτοῦ ἐνὶ σταθμῷ, ἢ ὀτρύνειε πόλινδε·
Κέκλυθι νῦν, Εὔμαιε, καὶ ἄλλοι πάντες ἑταῖροι·
Ἠῶθεν προτὶ ἄστυ λιλαίομαι ἀπονέεσθαι
Πτωχεύσων, ἵνα μή σε κατατρύχω καὶ ἑταίρους.
Ἀλλά μοι εὖ θ' ὑπόθευ, καὶ ἅμ' ἡγεμόν' ἐσθλὸν ὄπασσον,
Ὅς κέ με κεῖσ' ἀγάγῃ· κατὰ δὲ πτόλιν αὐτὸς ἀνάγκῃ
Πλάγξομαι, αἴ κέν τις κοτύλην καὶ πύρνον ὀρέξῃ.

παρόντων· καὶ ταῦτ' εἰπὼν, δεξάμενος παρ' αὐτοῦ τὸ δόρυ, ἐπέθηκεν αὐτὸ ἐγκαρσίως ἐπὶ τῆς νεώς· εἶτ' ἀναβὰς, ἐκαθέσθη, παρακαθίσας ἅμα καὶ αὐτὸν Θεοκλύμενον· οἱ δ' αὖ ἑταῖροι, κελεύσαντος Τηλεμάχου, τά τε πρυμνήσια ἔλυσαν παραχρῆμα, καὶ τὸν ἱστὸν ἔστησαν ἐνθέντες αὐτῇ ἱστοδόκῃ, ὃν καὶ προτόνοις ἑκατέρωθεν ἐπεστήριξαν, καὶ τὰ ἱστία διὰ τῶν τροχαλιῶν ἀνεπέτασαν· ἡ δὲ Ἀθηνᾶ πνεῦμ' ὄπισθεν ἐπαφῆκεν αὐτοῖς δεξιὸν, ἵνα θᾶττον διαπεραιωθεῖεν εἰς τὴν Ἰθάκην· ἅμα δὲ δυομένῳ ἡλίῳ, ἡνίκα μάλιστα ἄρχεται συσκιάζειν, παρήλαττον τὰς Φεὰς, καὶ τὴν Ἦλιν, ἔνθα τὸ κράτος ἐςὶν Ἐπιοῖς· ἐντεῦθεν δὲ, ἵνα μὴ ἐνεδρεύουσι τοῖς μνηστῆρσιν ἐμπέσειεν, παρετράποντο τῆς εὐθείας, ὅπως ἂν βορειότερον τῇ Ἰθάκῃ προσμίξαιεν. Οὗτος μὲν οὕτω.

Ὁ δ' αὖ Ὀδυσσεὺς καὶ ὁ θεῖος ὑφορβὸς σὺν τοῖς ἄλλοις ἐδειπνοποιοῦντο ἐν τῷ σταθμῷ· κἀπειδὴ καλῶς αὐτοῖς σχοίη, Ὀδυσσεὺς ἀποπειρώμενος τοῦ Εὐμαίου, εἰ ἀληθῶς φιλῶν βούλοιτο ἔτι παρ' ἑαυτῷ διατρίψαι, ἀκούσατέ μου νῦν, ἔφη, ὑμεῖς γε, ὦ ἄνδρες· ἅμα γὰρ ἕῳ βούλομαι, ἐς τὴν πόλιν ἐλθὼν, προσαιτεῖν αὐτοῦ, ἵνα μὴ ὑμᾶς τῷ πλείονι τῆς διατριβῆς ἐνοχλοῖμι· διὸ συμβουλεύσας μοι αὐτὸς, ὦ Εὔμαιε, τὰ εἰκότα, δός μοι τὸν ἡγησόμενόν μοι ἀσφαλῶς πρὸς ἐκείνην, ἔνθα προσαιτοίην περιϊὼν, εἴπου τις δοίη ἄρτου τε τεμάχιον, καὶ οἴνου κοτύλην ἐκ τῶν περιόντων· προσιὼν δὲ τάχ' ἂν

φατον ἐκ τοῦ ἐφέζειν ἀντὶ προστακτικοῦ. 281. Οἷα κ' ἔχωμεν] ἐξ ὧν ἂν δυνώμεθα. 283. Ἰκριόφιν] ἐπὶ τῶν ἰκρίων τῆς νεώς. 293. Ἐπαιγίζοντα- σφοδρῶς πνέοντα. 296. Ἐπέβαλλεν] παρήλαττε, παραμείβετο. 297. Ἐπι- προέηκε] ἐπαφῆκε τὴν ναῦν ἰθύνας ἔξω τῶν νήσων κατὰ τὴν τῆς Ἀθηνᾶς ἐν- τολὴν, ἣν αὐτῷ ἐνετείλατο ἀνωτέρω στίχ. 33. Τὸ δὲ θοῇσιν, ἀντὶ τοῦ ὀξείαις διὰ τὸ σχῆμα, 309. Ὑπόθευ] συμβούλευσον· 318. Ἑρμείαο ἕκητι] ἕνεκα τοῦ

Καί κ' ἐλθὼν πρὸς δώματ' Ὀδυσσῆος θείοιο,
Ἀγγελίην εἴποιμι περίφρονι Πηνελοπείῃ·
Καί κε μνηστήρεσσιν ὑπερφιάλοισι μιγείην,
Εἴ μοι δεῖπνον δοῖεν, ὀνείατα μυρί' ἔχοντες.
Αἶψά κεν εὖ δρώοιμι μετὰ σφίσιν, ὅττ' ἐθέλοιεν.
Ἐκ γάρ τοι ἐρέω, σὺ δὲ σύνθεο, καί μευ ἄκουσον.
Ἑρμείαο ἕκητι διακτόρου, ὅς ῥά τε πάντων
Ἀνθρώπων ἔργοισι χάριν καὶ κῦδος ὀπάζει,
Δρηστοσύνῃ οὐκ ἄν μοι ἐρίσσειε βροτὸς ἄλλος
Πῦρ τ' εὖ νηῆσαι διά τε ξύλα δανὰ κεάσσαι,
Δαιτρεῦσαί τε, καὶ ὀπτῆσαι, καὶ οἰνοχοῆσαι·
Οἷά τε τοῖς ἀγαθοῖσι παραδρώωσι χέρηες.
  Τὸν δὲ μέγ' ὀχθήσας προσέφης, Εὔμαιε συβῶτα·
Ὤ μοι, ξεῖνε, τίη τοι ἐνὶ φρεσὶ τοῦτο νόημα
Ἔπλετο; ἦ σύγε πάγχυ λιλαίεαι αὐτόθ' ὀλέσθαι,
Εἰ δὴ μνηστήρων ἐθέλεις καταδῦναι ὅμιλον,
Τῶν ὕβρις τε, βίη τε σιδήρεον οὐρανὸν ἵκει.
Οὔτοι τοιοίδ' εἰσὶν ὑποδρηστῆρες ἐκείνων,
Ἀλλὰ νέοι, χλαίνας εὖ εἱμένοι ἠδὲ χιτῶνας,
Αἰεὶ δὲ λιπαροὶ κεφαλὰς καὶ καλὰ πρόσωπα·
Οἵ σφιν ὑποδρώωσιν· εὔξεστοι δὲ τράπεζαι
Σίτου καὶ κρειῶν ἠδ' οἴνου βεβρίθασιν.
Ἀλλὰ μέν· οὐ γάρ τίς τοι ἀνιᾶται παρεόντι,
Οὔτ' ἐγώ, οὔτε τὶς ἄλλος ἑταίρων, οἵ μοι ἔασιν·
Αὐτὰρ ἐπὴν ἔλθῃσιν Ὀδυσσῆος φίλος υἱὸς,
Κεῖνός σε χλαῖνάν τε, χιτῶνά τε, εἵματα ἕσσει,
Πέμψει δ', ὅππῃ σε κραδίη, θυμός τε κελεύει.

Ἑρμοῦ. ὡς κήρυκος ὄντος καὶ διακόνου τῶν θεῶν· τοιοῦτοι δὲ κήρυκες λέγονται καὶ οἱ τοῖς εὐδαίμοσιν ὑπηρετοῦντες· 321. Δρηστοσύνῃ] δραστηριότητι ἐν

καὶ τοῖς ἀνακτόροις τοῦ Ὀδυσσέως, εἴποιμι ἂν καὶ τῇ Πηνελόπῃ τοῦθ', ὅμοι δοκῶ ἀληθὲς εἰδέναι περὶ ἐκείνου· τοῖς τε μνηστῆρσιν αὐτοῦ συμμίξειν ὑπολαμβάνω, εἴμοι δοῖεν φαγεῖν, ἀφ' ὧν αὐτοί τε ἅλις, καὶ τῶν ἄλλων ἀπολαύουσιν οὐκ ὀλίγοι· ἐγὼ δὲ δοκῶ μοι καὶ ἱκανῶς ἂν ὑπουργῆσαι αὐτοῖς, εἴτι μου δέοιντο, ὡς μάλα προθύμως· ἴσθι γὰρ αὐτὸς, καὶ αὐχῶ πρὸς τοῦ Διακτόρου, ὃς πάντας ἀνθρώπους εὐτραπέλους καὶ δεξιοὺς ἀπεργάζεται πρὸς τὰ ἔργα, ὡς οὐδεὶς ἂν ἐμοῦ πρὸς τὸ ὑπουργεῖν δεξιώτερος εἴη, ξύλα σχίσαι, καὶ πῦρ ἀνακαῦσαι, δετρεῦσαί τε, καὶ ὀπτῆσαι, καὶ τἄλλ', ὅσ' οἱ ἥττονες τυγχάνουσι διακονοῦντες τοῖς κρείττοσιν.

Εὔμαιος δὲ πρὸς ταῦτα· ὤμοι, ὦ ξένε, ποῖον δὴ τοῦτον εἴρηκας λόγον; πόθεν δέ σοι τοιαῦτ' ἐπῆλθε φρονεῖν· εἰ γὰρ τοιούτοις ἀνδράσιν, ὧν ἡ ὕβρις καὶ ἀλαζονεία προσαράσσει τὸν οὐρανὸν, συνεῖναι ἐθέλεις, αὐτίχ', ὡς ἔγωγε φαίην, οἰμώξεις· εἰσὶ γὰρ, ὦ γέρον, εἰσὶν ἐκείνοις οἱ ὑπηρετήσοντες πολλοὶ κἀγαθοὶ, κοὐχ ὅμοιοι σοίγε, νέοι τε ἅπαντες, καὶ εὖ μὲν ἐσθῆτι ἠμφιεσμένοι, εὖ δὲ τὰς κεφαλὰς ἠσκημένοι, καὶ τὰ πρόσωπα λιπαρώτατοι· τράπεζαί τε παρ' ἐκείνοις πολυτελεῖς καὶ σεμναὶ, σίτων τε καὶ κρεῶν καὶ οἴνου ἡδέος πλήρεις· ἀλλὰ νῦν μὲν μένε παρ' ἡμῖν ὧδ' ἀτρέμας, κοὐδεὶς ἡμῶν ὑπὸ σοῦ ἐνοχλοῖτ' ἂν, ἢ τῶν παρόντων φθονήσειέ σε μετέχειν· ἐπειδὰν δὲ τάχισθ' ὁ φίλος παῖς Ὀδυσσέως (σὺν θεῷ δ' εἰρήσθω) παραγένηται, οὐ μόνον ἱμάτια καλὰ, χλαῖναν τε καὶ χιτῶνά σοι δώσει, ἀλλὰ καί σε αὐτὸν πέμψει, ὅποι δήποτ' ἂν βούλῃ.

τῷ διακονεῖν. 322. Νῆσαι] ἐναῦσαι, ἐπισωρεύσας τὰ ξύλα. — Κεάσαι] σχίσαι. 324. Παραδρώωσι] παρὰ τοῖς δυνατοῖς δρῶσι χείρονες. 320. Ὑποδρη-

Τὸν δ' ἠμείβετ' ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς·
Αἴθ' οὕτως, Εὔμαιε, φίλος Διὶ πατρὶ γένοιο,
Ὡς ἐμοὶ, ὅτι μ' ἔπαυσας ἄλης καὶ ὀϊζύος αἰνῆς.
Πλαγκτοσύνης δ' οὐκ ἔστι κακώτερον ἄλλο βροτοῖσιν·
Ἀλλ' ἕνεκ' οὐλομένης γαστρὸς κακὰ κήδε' ἔχουσιν
Ἀνέρες, ὅν κεν ἵκηται ἄλη καὶ πῆμα καὶ ἄλγος.
Νῦν δ' ἐπεὶ ἰσχανάᾳς, μεῖναί τέ με κεῖνον ἄνωγας,
Εἴπ' ἄγε μοι περὶ μητρὸς Ὀδυσσῆος θείοιο,
Πατρός θ', ὃν κατέλειπεν ἰὼν ἐπὶ γήραος οὐδῷ,
Εἴ που ἔτι ζώουσιν ὑπ' αὐγὰς ἠελίοιο,
Ἤ ἤδη τεθνᾶσι καὶ εἰν Ἀΐδαο δόμοισιν.
Τὸν δ' αὖτε προσέειπε συβώτης, ὄρχαμος ἀνδρῶν.
Τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ' ἀτρεκέως ἀγορεύσω.
Λαέρτης μὲν ἔτι ζώει, Διὶ δ' εὔχεται αἰεὶ
Θυμὸν ἀπὸ μελέων φθίσθαι οἷς ἐν μεγάροισιν·
Ἐκπάγλως γὰρ παιδὸς ὀδύρεται οἰχομένοιο,
Κουριδίης τ' ἀλόχοιο δαΐφρονος, ἥ ἑ μάλιστα
Ἤκαχ' ἀποφθιμένη καὶ ἐν ὠμῷ γήραϊ θῆκεν.
Ἡ δ' ἄχεϊ οὗ παιδὸς ἀπέφθιτο κυδαλίμοιο,
Λευγαλέῳ θανάτῳ· ὡς μὴ θάνοι, ὅστις ἔμοιγε
Ἐνθάδε ναιετάων φίλος εἴη καὶ φίλα ἔρδοι.
Ὄφρα μὲν οὖν δὴ κείνη ἔην, ἀχέουσά περ ἔμπης,
Τόφρα τί μοι φίλον ἔσκε μεταλλῆσαι καὶ ἐρέσθαι,
Οὕνεκά μ' αὐτὴ θρέψεν ἅμα Κτιμένῃ τανυπέπλῳ,
Θυγατέρ' ἰφθίμῃ, τὴν ὁπλοτάτην τέκε παίδων·
Τῇ ὁμοῦ ἐτρεφόμην, ὀλίγον δέ τί μ' ἧσσον ἐτίμα.
Αὐτὰρ ἐπεὶ ῥ' ἥβην πολυήρατον ἱκόμεθ' ἄμφω,
Τὴν μὲν ἔπειτα Σάμηνδ' ἔδοσαν καὶ μυρί' ἕλοντο.

ατῆρες] οἱ διάκονοι. 347. Ἰσχανάᾳς] ἐπίσχεις, κωλύεις. 348. Περὶ μητρὸς]

Ὀδυσσεὺς δὲ πρὸς ταῦτα· εἴη σοι, ὦ Εὔμαιε, φιλεῖσθαι οὕτως ὑπὸ τοῦ Διὸς, ὅσον γ' ὑπ' ἐμοῦ· ὅτι με τοιοῦτόν γ' ὄντα ἔπαυσας τοῦ μηκέτι πλανώμενον κακῶς πάσχειν· πολλὰ γὰρ ἕνεκα τῆς κάκως κακῆς ἀπολουμένης γαστρὸς ἀνάγκη τοὺς ἀγύρτας ταλαιπωρεῖσθαι, πανταχοῦ κακουμένους· νῦν τοίνυν, ἐπειδὴ κελεύσεις αὐτὸς παραμεῖναι Τηλέμαχον, οὐκ ἂν ἑκὼν εἶναί σου γενοίμην παρήκοος· ἀλλὰ νῦν γ' εἴποις μοι ἂν ἀσμένῳ περὶ τοῦ πατρὸς καὶ τῆς μητρὸς Ὀδυσσέως, οὓς ᾤχετο λιπὼν ἐπὶ γήρως οὐδῷ, πότερον ἐν τοῖς ζῶσίν ἐστιν, ἢ τεθνηκότες, κατέβησαν εἰς τὸν ᾅδην;

Εὔμαιος δὲ πρὸς ταῦτα· περὶ μὲν τούτων, ὦ ξένε, αὐτίκα εἰρήσεται πάντ' ἀληθῆ· Λαέρτης μὲν γὰρ περίεστιν ἔτι, εὐχόμενος ἀεὶ τῷ Διῒ καταστρέψαι, μὴ δυνάμενος ἔτι βλέπειν τὸ φῶς τοῦ ἡλίου, ἐφ' οἷς τήκεται ὁσημέραι τοῦ τε παιδὸς ἕνεκα καὶ τῆς γυναικός· ἣ ἀποθανοῦσα ἐπεβάρυνε κἀκείνῳ τὸ γῆρας· ἀχθομένη γὰρ τῇ τοῦ υἱοῦ ἀπουσίᾳ, καὶ πολλῷ ἐνδιδοῦσα τῷ πάθει, ἐλεεινῷ θανάτῳ κατέστρεψεν· ὡς μήτ' ἄλλος, ὦ Ζεῦ, τῶν φίλα μοι φρονούντων τε καὶ πραττόντων οὕτω ποτὲ τελευτήσειεν· Μέχρι μὲν οὖν ἐκείνη ἦν ἐν τοῖς ζῶσιν, ἐγὼ διετέλουν πυνθανόμενος, ὅπως αὐτῇ τὰ πράγματα ἔχοι, καὶ παραμυθούμενος τὰ εἰκότα, ὅτι με Κτιμένῃ τῇ νεωτάτῃ τῶν ἑαυτῆς συνανέθρεψε θυγατέρων, ἴσον μικροῦ δεῖν τὸ φίλτρον ἐμοὶ πρὸς ἐκείνην μερίζουσα· ὡς δ' ἐν ἡλικίᾳ ποτὲ γεγενήμεθα, ἐκείνην μὲν ἐξέδωκεν ἀνδρὶ ἐς τὴν

βουλόμενος μαθεῖν περὶ τοῦ Λαέρτου, εἰσάγει καὶ τὴν Ἀντίκλειαν, ἵνα μὴ γνωσθῇ, ἀποτόμως περὶ τοῦ ἑταίρου μόνον ποιούμενος τὴν ἐρώτησιν. 357. Ἤκαχεν] ἐλύπησεν αὐτόν. — Ὠμῷ γήραϊ] πρὶν τῆς ὥρας γηράσαι ἐποίησε. 362. Μεταλλῆσαι] φροντίσαι καὶ διακωλῆσαι. 368. Μυρία] ἕδνα δηλονότι.

Αὐτὰρ ἐμὲ χλαῖνάν τε, χιτῶνά τε, εἵματ' ἐκείνη
Καλὰ μάλ' ἀμφιέσασα, ποσὶν δ' ὑποδήματα δοῦσα,
Ἀγρόνδε προΐαλλε· φίλει δέ με κηρόθι μᾶλλον.
Νῦν δ' ἤδη τούτων ἐπιδεύομαι· ἀλλά μοι αὐτῷ
Ἔργον ἀέξουσιν μάκαρες θεοὶ, ᾧ ἐπιμίμνω·
Τῶν ἔφαγόν, τ', ἔπιόν τε, καὶ αἰδοίοισιν ἔδωκα.
Ἐκ δ' ἄρα δεσποίνης οὐ μείλιχον ἐστὶν ἀκοῦσαι
Οὔτ' ἔπος, οὔτε τι ἔργον, ἐπεὶ κακὸν ἔμπεσεν οἴκῳ,
Ἄνδρες ὑπερφίαλοι· μέγα δὴ δμῶες χατέουσιν
Ἀντία δεσποίνης φάσθαι, καὶ ἕκαστα πυθέσθαι,
Καὶ φαγέμεν, πιέμεν τε, ἔπειτα δὲ καί τι φέρεσθαι
Ἀγρόνδ', οἷά τε θυμὸν ἀεὶ δμώεσσιν ἰαίνει.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς.
Ὢ πόποι, ὡς ἄρα τυτθὸς ἐὼν, Εὔμαιε συβῶτα,
Πολλὸν ἀπεπλάγχθης σῆς πατρίδος ἠδὲ τοκήων.
Ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
Ἠὲ διεπράθετο πτόλις ἀνδρῶν εὐρυάγυια,
Ἧ ἔνι ναιετάασκε πατὴρ καὶ πότνια μήτηρ·
Ἤ σέγε μουνωθέντα παρ' οἴεσιν, ἢ παρὰ βουσὶν
Ἄνδρες δυσμενέες νηυσὶν λάβον, ἠδ' ἐπέρασσαν
Τοῦδ' ἀνδρὸς πρὸς δώμαθ', ὁ δ' ἄξιον ὦνον ἔδωκεν.
Τὸν δ' αὖτε προσέειπε συβώτης, ὄρχαμος ἀνδρῶν·
Ξεῖν', ἐπεὶ ἄρ δὴ ταῦτά μ' ἀνείρεαι, ἠδὲ μεταλλᾷς,
Σιγῇ νῦν ξυνίει καὶ τέρπεο, πῖνέ τε οἶνον,
Ἥμενος· αἵδε δὲ νύκτες ἀθέσφατοι· ἔστι μὲν εὕδειν
Ἔστι δὲ τερπομένοισιν ἀκούειν· οὐδέ τί σε χρὴ,
Πρὶν ὥρη, καταλέχθαι· ἀνίη καὶ πολὺς ὕπνος.
Τῶν δ' ἄλλων ὅτινα κραδίη καὶ θυμὸς ἀνώγει,
Εὑδέτω ἐξελθών· ἅμα δ' ἠοῖ φαινομένηφιν

Σάμην, πολλὰ δεξάμενοι ἕδνα· ἐμὲ δὲ χλαῖνάν τε καὶ χιτῶνα καλὸν ἡ δέσποινα ἀμφιέσασα, καὶ ὑποδήματα δοῦσα, ἐξέπεμψέ με ὧδ' ἐς τὸν ἀγρὸν τουτονὶ, οὐδὲν ἧττον φιλοῦσα· ἀλλὰ νῦν ἁπάντων ἐστέρημαι, πλὴν ὅτι τῶν ἐμπεπιστευμένων μοι τούτων θρεμμάτων θεῶν ἐπιμελείᾳ αὐξομένων ἀεὶ, ἐγώ τε ζῶ ἀπὸ τούτων, καὶ ἑτέροις, ὁπότε τύχοι, οὓς ἂν εἰδῶ ἀξίους, ἐπικουρῶ· παρὰ δ' αὖ τῆς δεσποίνης οὐκ ἔσθ' ὅπως οὔτε λόγον προφερόμενον ἐξ εὐνοίας ἀκούσω, οὔτ' ἔργον ἄξιον παρ' αὐτῆς διαπράξομαι, μεγάλου κακοῦ τῶν ὑπερφιάλων μνηστήρων ἐμπεσόντος τῷ οἴκῳ· πολὺ γὰρ ἔργον νῦν γε τοὺς οἰκέτας προσιέναι ἐκείνῃ, καὶ λόγον περὶ ἑκάστων διδόναι τε καὶ λαμβάνειν· εἶθ' οὕτω φαγόντας καὶ πιόντας, φέρεσθαι ἔν γε τι, ἃ χάριν, ὡς εἰκὸς, τοῖς οἰκέταις ἐν ἀγρῷ δίαιταν ἔχουσι, παρέχει διδόμενα.

Ὀδυσσεὺς δὲ πρὸς ταῦτα· βαβαί! ὡς κομιδῇ νέος δοκεῖς μοι, ὦ θαυμάσιε σύγε, τῆς τε πατρίδος καὶ τῶν γονέων ἀποπλανηθῆναι· ἀλλά γε δὴ εἰπέ μοι, πότερον, ἁλούσης τῆς πόλεως, ἢ ἄλλως ποιμαίνοντά πῃ, ἢ βουκολοῦντά σε ἄνδρες λῃσταὶ ἐπιφανέντες, ἀνήρπασαν εἰς τὴν ναῦν· εἶθ' οὕτω σε διεπόρθμευσαν δεῦρο, ὅπῃ σε πολλοῦ τυχὸν τῷ ἀνδρὶ ἀπέδοντο τούτῳ;

Εὔμαιος δὲ πρὸς ταῦτα· ἔσται σοι ταῦτ', ὦ ξένε, ἐπεὶ δι' ἐφέσεως ἔχεις τὰ κατ' ἐμὲ εἰδέναι· ἐν γὰρ οὕτω μακραῖς ταῖς νυξὶ ἔστι μὲν καὶ καθεύδειν, ἔστι δὲ καὶ εὐθυμοῦντας ἀκούειν· τὸ δὲ πρὸ ὥρας εἰς ὕπνον τραπέσθαι, ἀνιάσει μᾶλλον, ὡς ὀχληρὸν διὰ πάσης γιγνόμενον τῆς νυκτός· δεῖ τοίνυν σὲ μὲν ἐσθίοντα καὶ πίνοντα ἀτρέμας ἐμοῦ διεξιόντος μεταξὺ διακούειν· τῶν δ' ἄλλων εἴτις τουτωνὶ ἐθέλει κοιμᾶσθαι, ἀπίτω· ἡμέρας τε ὑποφαινομένης, ἀριστήσας, ἐξαγαγέτω τοὺς σῦς

Δειπνήσας, ἅμ' ὕεσσιν ἀνακτορίῃσιν ἑπέσθω.
Νῶϊ θ' ἐνὶ κλισίῃ πίνοντέ τε, δαινυμένω τε,
Κήδεσιν ἀλλήλων τερπώμεθα λευγαλέοισιν,
Μνωομένω· μετὰ γάρ τε καὶ ἄλγεσι τέρπεται ἀνὴρ,
Ὅστις δὴ μάλα πολλὰ πάθῃ καὶ πόλλ' ἐπαληθῇ.
Τοῦτο δέ τοι ἐρέω, ὅ μ' ἀνείρεαι ἠδὲ μεταλλᾷς.
Νῆσός τις Συρίη κικλήσκεται, εἴ που ἀκούεις,
Ὀρτυγίης καθύπερθεν, ὅθι τροπαὶ ἠελίοιο,
Οὔτι περιπληθὴς λίην τόσον, ἀλλ' ἀγαθὴ μὲν,
Εὔβοτος, εὔμηλος, οἰνοπληθὴς, πολύπυρος.
Πείνη δ' οὔποτε δῆμον ἐσέρχεται, οὐδέ τις ἄλλη
Νοῦσος ἐπὶ στυγερὴ πέλεται δειλοῖσι βροτοῖσιν·
Ἀλλ' ὅτε γηράσκωσι πόλιν κάτα φῦλ' ἀνθρώπων,
Ἐλθὼν ἀργυρότοξος Ἀπόλλων Ἀτρέμιδι ξὺν,
Οἷς ἀγανοῖς βελέεσσιν ἐποιχόμενος, κατέπεφνεν.
Ἔνθα δύω πόλιες, δίχα δέ σφισι πάντα δέδασται·
Τῇσιν δ' ἀμφοτέρῃσι πατὴρ ἐμὸς ἐμβασίλευεν,
Κτήσιος Ὀρμενίδης, ἐπιείκελος ἀθανάτοισιν.
Ἔνθα δὲ Φοίνικες ναυσίκλυτοι ἤλυθον ἄνδρες,
Τρῶκται, μυρί' ἄγοντες ἀθύρματα νηῒ μελαίνῃ.
Ἔσκε δὲ πατρὸς ἐμοῖο γυνὴ Φοίνισσ' ἐνὶ οἴκῳ,
Καλή τε, μεγάλη τε, καὶ ἀγλαὰ ἔργ' εἰδυῖα·
Τὴν δ' ἄρα Φοίνικες πολυπαίπαλοι ἠπερόπευον·
Πλυνούσῃ τις πρῶτα μίγη, κοίλῃ παρὰ νηΐ,
Εὐνῇ καὶ φιλότητι· τάτε φρένας ἠπεροπεύει
Θηλυτέρῃσι γυναιξὶ, καὶ ἥ κ' εὐεργὸς ἔῃσιν.

---

403. Συρίη] μία ἐστὶ τῶν Κυκλάδων νήσων, ἡ νῦν Σύρα λεγομένη ἴσως, ἐν ᾗ οἱ κατοικοῦντες εἰσὶ πάντες Παπίσται, Ἕλληνες ὄντες, καὶ τοῖς ἄλλοις μὴ κοινωνοῦντες τῆς νῦν ἐπὶ τὸν ἀθεώτατον Σουλτάνον ἐπαναστάσεως πρὸς

ἐπὶ τὴν νομήν· ἡμεῖς δὲ ἐσθίοντές τε καὶ πίνοντες εὐφραινώμεθα ὧδε, τῶν ἑαυτῶν πρὸς ἀλλήλους σὺν ἡδονῇ μιμνησκόμενοι· ἔνεστι γάρ τις ἡδονὴ κἀν κακοῖς, ὁπότε τις πολλὰ πλανηθεὶς, καὶ πολλῶν πειραθεὶς, ἐπικοινωνεῖ τῷγε λόγῳ αὐτὰ καὶ ἑτέρῳ ὁμοιοπαθεῖ· οὐκοῦν ἐπειδὴ ἀξιοῖς ἐξιστορῆσαί σοι τὰ κατ' ἐμαυτὸν, σύντεινόν μοι πρὸς τοῦτο τὸ οὖς.

Ἔστι τοίνυν νῆσός τις ὑπὲρ τὴν Ὀρτυγίαν, καλουμένη Συρία, εἴτινά πῃ Συρίαν ἀκήκοας, καθ' ἣν συμβαίνειν φασὶ τὴν τροπὴν τοῦ ἡλίου, μεγάλη μὲν οὔ· ἀγαθὴ δ' ἄλλως, ἅτε δὴ πολλῶν ἀγαθῶν οὖσα εὔφορος, ποιμνίων, οἴνου, καὶ σίτου πολλοῦ· ἔνθ' οὔτε λιμὸς συμβαίνει γίγνεσθαι πώποτε, οὔτε μὴν νόσος ἄλλη ἐπισκήπτει ποτὲ τοῖς κατοίκοις· ἀλλ' ὅτε τις εἰς βαθὺ ἐλάσειε γῆρας, ἐλθὼν Ἀπόλλων ὁ ἀργυρότοξος σὺν Ἀρτέμιδι, ἠπιωτάτῳ ἐπιτοξεύσας βέλει, ἀπαλλάττει τοῦ ζῆν· εἰσὶ δ' ἐκεῖ πόλεις δύο, δίχ' ἑαυταῖς τὴν γῆν ἐπιμεμερισμέναι· ὧν ἀμφοτέρων πατὴρ οὑμὸς ἐβασίλευε, Κτήσιος ὁ Ὀρμένου, ἀνὴρ θεοείκελος ὅλως. Τῇδε τοίνυν τῇ νήσῳ ἄνδρες ἀπὸ Φοινίκης προσχόντες, ναυτιλίᾳ μὲν θαυμαζόμενοι, πανοῦργοι δ' ἄλλως καὶ κακονούστατοι, ἀπέβησαν εἰς τὴν γῆν, μυρί' ὅσα τῶν ἀθυρμάτων φέροντες ἐν τῷ πλοίῳ.

Τέως δ' οὖν γυνή τις τηνικαῦτα ἦν οἴκοι παρὰ τῷ πατρὶ, Φοίνισσα γένει, μεγάλη τε καὶ καλὴ, καὶ σφόδρα δεξιὸς πρὸς τὰ ἔργα· ταύτην δὴ οἱ Φοίνικες ἄλλος ἄλλῃ ἐπείρων· ὡς δέ τις αὐτῶν πλυνούσῃ αὐτῇ κατεπράξατο συγγενέσθαι· ὃ συμβαίνει πολλάκις τῶν γυναικῶν μάλιστα ταῖς θηλυτέραις

ἐλευθερίαν. 404. Ὅθι τροπαὶ ἠλίου] σπήλαιόν φασιν εἶναι αὐτόθι ἡλίου, δι' οὗ σημειοῦνται τὰς τοῦ ἡλίου τροπάς. 409. Πόλιν κατὰ] κατὰ τὴν πόλιν. 411. Ἐποιχόμενος κατέπεφνεν] βάλλων, ἀπολλυσι· 416. Τρῶκται] πανοῦργοι, ἅρπαγες οἱ τἀλλότρια τρώγοντες. — Ἀθύρματα] παίγνια. 416. Ἔσκε δὲ] ἦν δέ. 419. Πολυπαίπαλοι] πανοῦργοι ἐξηπάτων,

Ἠρώτα δὴ ἔπειτα· τίς εἴη καὶ πόθεν ἔλθοι·
Ἡ δὲ μάλ' αὐτίκα πατρὸς ἐπέφραδεν ὑψερεφὲς δῶ·
Ἐκ μὲν Σιδῶνος πολυχάλκου εὔχομαι εἶναι·
Κούρη δ' εἴμ' Ἀρύβαντος ἐγὼ ῥυδὸν ἀφνειοῖο·
Ἀλλά μ' ἀνήρπαξαν Τάφιοι, ληΐστορες ἄνδρες,
Ἀγρόθεν ἐρχομένην· πέρασαν δέ τε δεῦρ' ἀγαγόντες
Τοῦδ' ἀνδρὸς πρὸς δώμαθ'· ὁ δ' ἄξιον ὦνον ἔδωκεν.
Τὴν δ' αὖτε προσέειπεν ἀνὴρ, ὃς ἐμίσγετο λάθρη·
Ἦ ῥά κε νῦν πάλιν αὖτις ἅμ' ἡμῖν οἴκαδ' ἕποιο,
Ὄφρα ἴδῃ πατρὸς καὶ μητέρος ὑψερεφὲς δῶ
Αὐτούς τ'; ἦ γὰρ ἔτ' εἰσὶ καὶ ἀφνειοὶ καλέονται.
Τὸν δ' αὖτε προσέειπε γυνὴ καὶ ἀμείβετο μύθῳ·
Εἴη κεν καὶ τοῦτ', εἴ μοι ἐθέλοιτέ γε, ναῦται,
Ὅρκῳ πιστωθῆναι, ἀπήμονά μ' οἴκαδ' ἀπάξειν.
Ὣς ἔφαθ'· οἳ δ' ἄρα πάντες ἐπώμνυον, ὡς ἐκέλευεν.
Αὐτὰρ ἐπεί ῥ' ὄμοσάν τε, τελεύτησάν τε τὸν ὅρκον,
Τοῖς δ' αὖτις μετέειπε γυνὴ καὶ ἀμείβετο μύθῳ·
Σιγῇ νῦν, μή τίς με προσαυδάτω ἐπέεσσιν
Ὑμετέρων ἑτάρων, ξυμβλήμενος ἢ ἐν ἀγυιῇ,
Ἤ που ἐπὶ κρήνῃ· μή τις ποτὶ δῶμα γέροντι
Ἐλθὼν ἐξείπῃ· ὁ δ' ὀϊσάμενος καταδήσῃ
Δεσμῷ ἐν ἀργαλέῳ, ὑμῖν δ' ἐπιφράσσετ' ὄλεθρον·
Ἀλλ' ἔχετ' ἐν φρεσὶ μῦθον, ἐπείγετε δ' ὦνον ὁδαίων.
Ἀλλ' ὅτε κεν δὴ νηῦς πλέη βιότοιο γένηται,
Ἀγγελίη μοι ἔπειτα θοῶς ἐς δώμαθ' ἱκέσθω·
Οἴσω γὰρ καὶ χρυσὸν, ὅστις χ' ὑποχείριος εἴη·
Καὶ δέ κεν ἄλλ' ἐπίβαθρον ἐγὼν ἐθέλουσά γε δοίην.
Παῖδα γὰρ ἀνδρὸς ἐῆος ἐνὶ μεγάροις ἀτιτάλλω,
Κερδαλέον δὴ τοῖον, ἅμα τροχόωντα θύραζε·
Τόν κεν ἄγοιμ' ἐπὶ νηός· ὁ δ' ὑμῖν μυρίον ὦνον
Ἄλφοι, ὅπῃ περάσητε κατ' ἀλλοθρόους ἀνθρώπους.

πάσχειν, κἄν τις αὐτῶν τύχῃ οὖσα κοσμιωτέρα, ἤρξατο διερωτᾶν αὐτὴν, τίς εἴη, καὶ πόθεν ἔλθοι· ἡ δ' ἑτοίμως διεξήει τὰ καθ' ἑαυτὴν, ὅτι πατρὶς μὲν αὐτῇ ἐστὶν ἡ Σιδὼν, πατὴρ δ' Ἀρύβας ὁ ὀλβιώτατος· ἀλλὰ τῶν Ταφίων τινὲς, ἄνδρες λῃστῆρες ἐρχομένην ἐξ ἀγροῦ, ἀναρπάσαντες, ἀπέδοντο πολλοῦ τουτωῒ τῷ ἀνδρὶ, ἀπαγαγόντες με δεῦρο· ὁ δὲ βούλει, ἔφη, ἀκολουθεῖν ἡμῖν οἴκαδε παρὰ τοὺς τεκόντας, ἵνα τούτους τε καὶ τἄλλα πάντ' ἐπανίδῃς; περίεισι γὰρ ἐκεῖνοι, καὶ πολὺς λόγος αὐτῶν παρὰ πᾶσίν ἐστιν ἐπὶ πλούτῳ.

Ἡ δὲ ὑπολαβοῦσα, εἴη μοι, ἔφη, τοῦτο, εἰ μόνον ὑμεῖς γ', ὦ ξένοι, πιστώσαισθε τοῦθ' ὅρκῳ, ἦ μὴν ἀσφαλῶς με οἴκαδε ἄξειν· ὁμοσάντων δ' ἐκείνων, νῦν γ', ἔφη, ἀπέχεσθέ μου πάμπαν σιγῇ, μήτε προσαγορεύοντες, μήτε προσβλέποντες εἰς ἐμὲ, μήτε ἐν πλατείᾳ, μήτ' ἐν κρήνῃ, εἴπου ποτέ μοι συμβάλοιτό τις ὑμῶν· ἵνα μὴ τὸ πρᾶγμα, γενόμενον ὕποπτον, ἐλθών τις ἐξείπῃ τῷ δεσπότῃ· ὁ δὲ ἐμέ τε δέσῃ δεσμοῖς, χ' ὑμῖν ἐπιβουλεύσῃ, ὥστε κακῶς ποιεῖν· ἐφ' ἡσυχίας τοίνυν τὸν γόμον παρασκευασάμενοι, τὴν ταχίστην ἀγγείλατέ μοι· πειράσομαι γὰρ καὶ χρυσὸν ἢ ὁ,τιοῦν ἀφελομένη, εἰ δυναίμην, ὑμῖν ἀποδοῦναι· μέλλω δὲ καὶ ἕτερον ἀποτολμῆσαι ὑμῖν πρὸς τὴν τοῦ ναύλου ἀπότισιν· βούλομαι γὰρ καὶ τὸν παῖδα τοῦ δεσπότου ὑμῖν ὑποκλέψασα παραδοῦναι· ὃν ἔγωγ' ἐμπεπίστευμαι ἀνατρέφειν, ἐνιαύσιον ἤδη ὄντα, κἀπιτροχάδην θύραζε βηματίζοντα· οὐ γὰρ ὀλίγου τοῦτον ὠνήσονται, ἐφ' οὓς ἂν αὐτὸν ἀγάγητε πλεύσαντες.

---

426. Ῥυδὸν ἀφνειοῖο] μάλα πλουσίου, χύδην ὄντος αὐτῷ τοῦ πλούτου. 445. Ἐπείγετε δὲ ὦνον ὁδαίων] σπουδάσατε ὠνήσασθαι τὰ φορτία. 448, Ὅστις κ'] ὅστις ἄν. 449. Ἐπίβαρον] ἐπιβατήρια, ναῦλον. 449. Εἶδος] ἴδε ἀκωτέρω. ἐν τῷ Ξ. στίχ. 505. — 451. Ἀματροχόωντα] σὺν ἐμοὶ τρέχοντα ἔξω. 453. Ἄλφοι]

Ἡ μὲν ἄρ' ὡς εἰποῦσ', ἀπέβη πρὸς δώματα καλά.
Οἱ δ' ἐνιαυτὸν ἅπαντα παρ' ἡμῖν αὖθι μένοντες
Ἐν νηῒ γλαφυρῇ βίοτον πολὺν ἐμπολόωντο·
Ἀλλ' ὅτε δὴ κοίλη νηῦς ἤχθετο τοῖσι νέεσθαι,
Καὶ τότ' ἄρ' ἄγγελον ἧκαν, ὃς ἀγγείλειε γυναικί.
Ἤλυθ' ἀνὴρ πολυΐδρις ἐμοῦ πρὸς δώματα πατρὸς,
Χρύσεον ὅρμον ἔχων, μετὰ δ' ἠλέκτροισιν ἔερτο·
Τὸν μὲν ἄρ' ἐν μεγάρῳ δμωαὶ καὶ πότνια μήτηρ
Χερσίν τ' ἀμφαφόωντο, καὶ ὀφθαλμοῖσιν ὁρῶντο,
Ὦνον ὑπισχόμενοι· ὁ δὲ τῇ κατένευσε σιωπῇ.
Ἤτοι ὁ καννεύσας κοίλην ἐπὶ νῆα βεβήκει·
Ἡ δ' ἐμὲ χειρὸς ἑλοῦσα δόμων ἐξῆγε θύραζε·
Εὗρε δ' ἐνὶ προδόμῳ ἠμὲν δέπα, ἠδὲ τραπέζας
Ἀνδρῶν δαιτυμόνων, οἵ μευ πατέρ' ἀμφεπένοντο·
Οἱ μὲν ἄρ' ἐς θῶκον πρόμολον, δήμοιό τε φῆμιν.
Ἡ δ' αἶψα τρί' ἄλεισα κατακρύψασ' ὑπὸ κόλπῳ
Ἔκφερεν· αὐτὰρ ἐγὼν ἑπόμην ἀεσιφροσύνῃσιν.
Δύσετό τ' ἠέλιος, σκιόωντό τε πᾶσαι ἀγυιαί·
Ἡμεῖς δ' ἐς λιμένα κλυτὸν ἤλθομεν ὦκα κιόντες,
Ἔνθ' ἄρα Φοινίκων ἀνδρῶν ἦν ὠκύαλος νηῦς.
Οἱ μὲν ἔπειτ' ἀναβάντες ἐπέπλεον ὑγρὰ κέλευθα,
Νὼ ἀναβησάμενοι· ἐπὶ δὲ Ζεὺς οὖρον ἴαλλεν.
Ἑξῆμαρ μὲν ὁμῶς πλέομεν νύκτας τε καὶ ἦμαρ·
Ἀλλ' ὅτε δὴ ἕβδομον ἦμαρ ἐπὶ Ζεὺς θῆκε Κρονίων,
Τὴν μὲν ἔπειτα γυναῖκα βάλ' Ἄρτεμις ἰοχέαιρα·
Ἄντλῳ δ' ἐνδούπησε πεσοῦσ' ὡς εἰναλίη κήξ·
Καὶ τὴν μὲν φώκῃσι καὶ ἰχθύσι κύρμα γενέσθαι
Ἔκβαλον· αὐτὰρ ἐγὼ λιπόμην, ἀκαχήμενος ἦτορ.

εὕροι ἄν, δοίη. 459. Ἤχθετο] ἐξεπρύνετο τοῖς φορτίοις. 460, Ἔερτο] συγκέκλεισκα

Ταῦτα δὲ εἰποῦσα, ᾤχετο οἴκαδε ἀπιοῦσα· οἱ δὲ ὅλον ἐνιαυτὸν ἐνδιατρίψαντες παρ' ἡμῖν, ἐποιοῦντο τὸν φόρτον. κἀπειδὴ, καλῶς αὐτοῖς ἤδη σχόντος, ἤμελλον ἀποπλευσεῖσθαι, ἔπεμψαν τὸν ἀγγελοῦντα τοῦτο τῇ γυναικὶ κατὰ τὰ ξυγκείμενα· ὁ δὲ πανοῦργός τις ὢν, καὶ οἷος ὁτιοῦν κατορθῶσαι παράγων καὶ παρακρουόμενος, λαβὼν ὅρμον χρυσοῦν, ἠλέκτρῳ περιηρμοσμένον πολλῷ, ἧκεν ἄγων οἴκαδε ὡς ἡμᾶς· τῆς δὲ μητρὸς καὶ τῶν ἀμφιπόλων, ὡς εἶδον, περιεργότερον θεωμένων τὸν κόσμον, καὶ δόκησιν παρεχομένων ὠνήσασθαι, ἐν τούτῳ ἐκεῖνος ἐπινεύσας τῇ γυναικὶ ἀφανῶς, λαβὼν τὸν ὅρμον, ᾤχετ' ἀπιὼν ἐς τὴν ναῦν.

Ἐκ δὴ τούτων λαβοῦσά με ἡ Φοίνισσα τῆς χειρὸς, ἐπεξήγαγε κατὰ μικρὸν τῆς οἰκίας· καὶ εὑροῦσα ἐν τῷ προδόμῳ τὴν τράπεζαν παρεσκευασμένην δειπνεῖν τῷ πατρὶ, τρία τῶν ἐκπωμάτων αὐτόθεν ἐγκαταθεῖσα τῷ κόλπῳ, τῶν δαιτυμόνων ἐκδραμόντων ἐς τὴν ἀγορὰν, ἔνθ' ὁ δῆμος ἐκδίδωσι τὰς φήμας, ἀπῄει φέρουσα· κἀγὼ δ' ὑπὸ νηπιότητος εἱπόμην ἐπιτροχάδην.

Ὡς οὖν ἅμα δυομένῳ ἡλίῳ ἀφικόμεθα εἰς τὸν λιμένα, ἀναλαβόντες ἡμᾶς οἱ Φοίνικες εἰς τὴν ναῦν παραχρῆμα, ἀνήγοντο· Ζεὺς δ' οὖρον ὄπισθεν ἀφῆκε πολύν· καὶ ἓξ μὲν ἡμέρας ἐπλέομεν εὐτυχῶς· τὴν δὲ ἑβδόμην ἀπροσδοκήτως ἡ Φοίνισσα, τόξῳ βληθεῖσα ὑπὸ τῆς Ἀρτέμιδος, κατέπεσεν ἄφωνος ἐν τῷ ἄντλῳ, ὥσπερ κὴξ θαλασσία· καὶ ἐξέβαλον οἱ ναῦται αὐτὴν εἰς τὴν θάλασσαν· ἐγὼ δὲ καταλέλειμμαι ἔρημος παρ' αὐτοῖς ὑποβρύχιος λύπῃ· καὶ ἐπειδὴ προσεπά-

---

πέριξ ἠλέκτρῳ. 462. Ἀμφαφόωντο] ἐψηλάφων. 464. καννεύσας] κατανεύσας 468. Πρόμολον] ἔδραμον εἰς τὸν θῶκον, ὅ ἐστιν εἰς τὴν ἀγορὰν, ἐκκλησίαν, βουλήν. ἔνθα ὁ δῆμος διαφημίζεται τὰ πρακτέα. 469. Ἄλεισα] ποτήρια. 470. Ἀεσιφροσύνῃσι] ἀφροσύνῃ. 479. Ἄντλῳ] τόπος τῆς νεώς, ἔνθα συνάγε-

Τοὺς δ' Ἰθάκῃ ἐπέλασσε φέρων ἄνεμός τε καὶ ὕδωρ·
Ἔνθα με Λαέρτης πρίατο κτεάτεσσιν ἑοῖσιν.
Οὕτω τήνδε τε γαῖαν ἐγὼν ἴδον ὀφθαλμοῖσιν.
Τὸν δ' αὖ Διογενὴς Ὀδυσεὺς ἠμείβετο μύθῳ·
Εὔμαι', ἦ μάλα δή μοι ἐνὶ φρεσὶ θυμὸν ὄρινας,
Ταῦτα ἕκαστα λέγων, ὅσα δὴ πάθες ἄλγεα θυμῷ.
Ἀλλ' ἤτοι σοὶ μὲν παρὰ καὶ κακῷ ἐσθλὸν ἔθηκεν
Ζεὺς, ἐπεὶ ἀνδρὸς δώματ' ἀφίκεο, πολλὰ μογήσας,
Ἠπίου, ὃς δή τοι παρέχει βρῶσίν τε, πόσιν τε
Ἐνδυκέως, ζώεις δ' ἀγαθὸν βίον· αὐτὰρ ἔγωγε
Πολλὰ βροτῶν ἐπὶ ἄστε' ἀλώμενος, ἐνθάδ' ἱκάνω.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
Καδδραθέτην δ' πολλὸν ἐπὶ χρόνον, ἀλλὰ μίνυνθα·
Αἶψα γὰρ Ἠὼς ἦλθεν ἐΰθρονος· Οἱ δ' ἐπὶ χέρσου
Τηλεμάχου ἕταροι λύον ἱστία· κὰδ δ' ἕλον ἱστὸν
Καρπαλίμως· τὴν δ' εἰς ὅρμον προέρυσσαν ἐρετμοῖς·
Ἐκ δ' εὐνὰς ἔβαλον, κατὰ δὲ πρυμνήσι' ἔδησαν·
Ἐκ δὲ καὶ αὐτοὶ βαῖνον ἐπὶ ῥηγμῖνι θαλάσσης,
Δεῖπνόν τ' ἐντύνοντο, κερῶντό τε αἴθοπα οἶνον.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
Τοῖσι δὲ Τηλέμαχος πεπνυμένος ἤρχετο μύθων·
Ὑμεῖς μὲν νῦν ἄστυδ' ἐλαύνετε νῆα μέλαιναν·
Αὐτὰρ ἐγὼν ἀγροὺς ἐπιείσομαι ἠδὲ βοτῆρας·
Ἑσπέριος δ' εἰς ἄστυ ἰδὼν ἐμὰ ἔργα κάτειμι.
Ἠῶθεν δέ κεν ὔμμιν ὁδοιπόριον παραθείμην,
Δαῖτ' ἀγαθὴν κρειῶν τε καὶ οἴνου ἡδυπότοιο.
Τὸν δ' αὖτε προσέειπε Θεοκλύμενος θεοειδής·
Πῆ γὰρ ἐγὼ, φίλε τέκνον, ἴω; τεῦ δώμαθ' ἵκωμαι
Ἀνδρῶν, οἳ κραναὴν Ἰθάκην κάτα κοιρανέουσιν;
Ἦ ἰθὺς σῆς μητρὸς ἴω καὶ σοῖο δόμοιο;

λασεν ὁ ἄνεμος τὴν ναῦν εἰς Ἰθάκην, ἐκβαλόντες με, ἀπέδοντο Λαερτίῳ· τοιαύτῃ σοι οὖν τύχῃ χρησάμενος, ἐς τήνδε κατέστην τὴν γῆν.

Ὀδυσσεὺς δὲ πρὸς ταῦτα· αἰσθάνομαι μὲν πολύ μοι ἐντεῦθεν ἐγγινόμενον πάθος, ἐξ ὧν τυγχάνεις παθὼν, νήπιος ἔτι ὢν, ὡς ὁ λόγος ὁ σός· ἀλλ' ὁ Ζεὺς καὶ ἀγαθόν τι τῷ κακῷ ἐν σοὶ δοκεῖ μῖξαι· ἐκ γὰρ τοιούτου πάθους ἀνδρὶ ἀπεμπόλησαι ἀγαθῷ, παρ' οὗ σοι ἄφθονα τἀπιτήδεια πρὸς τὸ ζῆν εὐτυχῶς· ἐγὼ δ' ὁ τάλας ἔτι καὶ νῦν πλανώμενος, κἀκ πόλεως εἰς πόλιν περιϊὼν ἀεὶ προσαιτῶ. Τοιαῦτα δὴ ὑπ' ἀλλήλων παραμυθούμενοι, ἐτράποντο εἰς ὕπνον, ἡνίχ' ἡ χρυσόθρονος Ἠὼς ἤρξατο ὑποσελαγίζειν· καὶ ταῦτα μὲν οὕτω.

Οἱ δ' ἀμφὶ τὸν Τηλέμαχον, ὡς ἔσχον τῇ γῇ, λύσαντες μὲν τὰ ἱστία, καθελόντες δὲ καὶ τὸν ἱστὸν, τὴν μὲν ναῦν προσώρμισαν ἐρετμοῖς· αὐτοὶ δὲ καθέντες μὲν τὰς ἀγκύρας, δήσαντες δὲ καὶ τὰ πρυμνήσια, ἐδειπνοποιοῦντο ἀποβάντες ἐπὶ τῆς ἀκτῆς· κἀπειδὴ αὐτοῖς καλῶς ἔσχε, Τηλέμαχος ἔφη τάδε· ὑμεῖς μὲν, ὦ ἄνδρες, ἴτε νῦν ἀνιόντες ἐπὶ τὴν πόλιν· ἐγὼ δὲ ἰὼν ἐς τὸν ἀγρὸν ὡς τὸν συβώτην ἐπισκεψόμενος τὰ ἐκεῖ, ἑσπέρας κάτειμι οἴκαδε· καὶ αὔριον ἅμα ἡμέρᾳ ἑστιάσω ὑμᾶς τὰ ὁδοιπόρια ἄξια, κρέα τε καὶ οἶνον ἡδὺν πάντ' ἄφθονα ὑμῖν παραθείς.

Ἐν δὲ τούτῳ ἀναστὰς Θεοκλύμενος, ἐγὼ δ', ἔφη, ὦ φίλον τέκνον, ποῖ δήποτ' ἀπέλθω; καὶ παρὰ τίνι τῶν ἐν Ἰθάκῃ κρατούντων ἔσται μοι καταλῦσαι ἐπιτηδείως; ἆρ' ἔξεστί μοι ὡς τὴν μητέρα εὐθὺς τὴν σὴν προσελθεῖν;

ται τὸ ὕδωρ. — Κὴξ] πτηνὸν ἐν θαλάττῃ, ἤτοι λάρος, ἢ αἴθεια. 494. Καδδραθέτην] καταδαρθέτην. κατεκοιμήθησαν. 499. Κὰδ δ' ἕλον] καθῆλον δέ. 497. Προέρυσσαν] ἤλασαν, ἤνεγκαν. 498. Ἐκ δὲ εὐνὰς ἔβαλον] κατήνεγκαν ἀφῆκαν τὰς ἀγκύρας. 506. Ὀδοιπόριον] τὸ διὰ τὴν ὁδὸν δεῖπνον πρὸς ἀν-

Τὸν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος αὐτίον ηὔδα·
Ἄλλως μέν σ᾽ ἂν ἔγωγε καὶ ἡμέτερόνδε κελοίμην
Ἔρχεσθ᾽· οὐ γάρ τι ξενίων ποθή· ἀλλὰ σοὶ αὐτῷ
Χεῖρον· ἐπεί τοι ἐγὼ μὲν ἀπέσσομαι, οὐδέ σε μήτηρ
Ὄψεται· οὐ μὲν γάρ τι θαμὰ μνηστῆρσ᾽ ἐνὶ οἴκῳ
Φαίνεται, ἀλλ᾽ ἄπο τῶν ὑπερωΐῳ ἱστὸν ὑφαίνει.
Ἀλλά τοι ἄλλον φῶτα πιφαύσκομαι, ὅν κεν ἵκηαι,
Εὐρύμαχον, Πολύβοιο δαΐφρονος ἀγλαὸν υἱόν,
Τὸν νῦν ἶσα θεῷ Ἰθακήσιοι εἰσορόωσιν·
Καὶ γὰρ πολλὸν ἄριςος ἀνὴρ μέμονέν τε μάλιςα
Μητέρ᾽ ἐμὴν γαμέειν, καὶ Ὀδυσσῆος γέρας ἕξειν.
Ἀλλὰ τάγε Ζεὺς οἶδεν Ὀλύμπιος, αἰθέρι ναίων,
Εἴ κέ σφι πρὸ γάμοιο τελευτήσει κακὸν ἦμαρ.
Ὣς ἄρα οἱ εἰπόντι ἐπέπτατο δεξιὸς ὄρνις,
Κίρκος, Ἀπόλλωνος ταχὺς ἄγγελος· ἐν δὲ πόδεσσιν
Τίλλε πέλειαν ἔχων, κατὰ δὲ πτερὰ χεῦεν ἔραζε,
Μεσσηγὺς νηός τε καὶ αὐτοῦ Τηλεμάχοιο.
Τὸν δὲ Θεοκλύμενος ἑτάρων ἀπονόσφι καλέσσας,
Ἔν τ᾽ ἄρα οἱ φῦ χειρὶ, ἔπος τ᾽ ἔφατ᾽, ἔκ τ᾽ ὀνόμαζεν·
Τηλέμαχ᾽, οὔ τοι ἄνευ θεοῦ ἔπτατο δεξιὸς ὄρνις·
Ἔγνων γάρ μιν ἐσάντα ἰδὼν οἰωνὸν ἐόντα.
Ὑμετέρου δ᾽ οὐκ ἔστι γένος βασιλεύτερον ἄλλο
Ἐν δήμῳ Ἰθάκης, ἀλλ᾽ ὑμεῖς καρτεροὶ αἰεί·
Τὸν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Αἲ γὰρ τοῦτο, ξεῖνε, ἔπος τετελεσμένον εἴη·
Τῷ κε τάχα γνοίης φιλότητά τε, πολλά τε δῶρα
Ἐξ ἐμεῦ, ὡς ἄν τίς σε συναντόμενος μακαρίζοι.
Ἦ καὶ Πείραιον προσεφώνεε, πιστὸν ἑταῖρον.

ταρειδὴν. 513. Ἡμέτερον οἶκον· ἐχρήσατο δὲ καὶ ἀλλαχῇ τῇ ἐλλείψει· 514.

Τηλέμαχος δὲ πρὸς ταῦτα· εἰ μὲν, ὦ ξένε, ἄλλως ἡμῖν, ἢ ὡς νῦν, τὰ πράγματα εἶχεν, οὐκ ἂν ἔγωγ' ἠνεσχόμην παρ' ἄλλῳ τῳ καταλύσαντά σε ἰδεῖν· καὶ ἦν ἄν σοι ξενίων πολλὴ ἀφθονία· νῦν δ' οὐ καλῶς ἡμῖν ἐκείνων ἐχόντων, ἀξύμφορον καί σοι αὐτῷ ἔσται παρ' ἐμοὶ καταλῦσαι· ἐγώ τε γὰρ οὐκ ἐπιδημῶ, καὶ ἡ μήτηρ οὐκ ἂν ῥᾳδίως εἰς ὄψιν ἔλθοι, ἐν ἀπόπτῳ πῃ ἀπὸ τῶν μνηστήρων ἐν τῷ ὑπερῴῳ τὸν ἱστὸν ἐξυφαίνουσα· ὡς δὲ Εὐρύμαχον τὸν Πολύβου εἰ ἔλθοις, οὐκ ἂν ἁμάρτοις· ἔστι γὰρ ὡνὴρ ἐν μεγάλῳ ἀξιώματι παρὰ πάντων, ὡς θεὸν αὐτὸν τῶν Ἰθακησίων ὁρώντων· διὸ καὶ περὶ πλείστου ποιεῖται τὴν ἐμὴν ἀγαγέσθαι μητέρα, τὸ τοῦ Ὀδυσσέως ἑαυτῷ προμνώμενος σκῆπτρον· ἀλλὰ Ζεὺς ὁ ἐν οὐρανοῖς κατοικῶν οἶδε μόνος, εἰμὴ πάντες ἀπόλοιντο πρὸ τοῦ γάμου.

Ἐπὶ οὖν τῷ λόγῳ τούτῳ δεξιὸς ἀπέπτη ἱέραξ, ἄγγελος ταχὺς παρ' Ἀπόλλωνος, περιστερὰν ἐν τοῖς ὄνυξιν ἔχων· ἧς τίλλων τὰ πτερὰ, διέῤῥιπτεν εἰς τὴν γῆν ἄλλῃ ἄλλα μεταξὺ τῆς νεὼς καὶ τοῦ Τηλεμάχου· Θεοκλύμενος δὲ ἐκ τούτου μεταστήσας τὸν νέον μικρὸν ἀπὸ τῶν ἑταίρων, καὶ λαβόμενος τῶν χειρῶν αὐτοῦ, χαῖρε, ἔφη, Τηλέμαχε· χαῖρε, τέκνον· ἅμα γὰρ τὸν ὄρνιν ἰδὼν, ἔγνων οἰωνὸν τοῦτον ὄντα· καὶ οὐκ ἄνευ θεοῦ σοι ἐνταῦθα γεγενημένον· τὸ γὰρ γένος τὸ σὸν τῶν ἐν Ἰθάκῃ βασιλικώτερον, καὶ τούτου ἔσαι ἀεὶ τὸ κράτος.

Τηλέμαχος δ' πρὸς ταῦτα· εἴθ', ὦ ξένε, τοῦθ' οὕτω σχοίη· ἀντὶ δὲ τούτων ἔσταί σοι παρ' ἐμοὶ γ' εὔνοιά τε πολλὴ καὶ δῶρα, οἷα ἰδών τις, μακαρίσει τὸν κεκτημένον.

Ταῦτα δ' εἰπὼν, ἐφώνησε Πείραιον τὸν τῶν ἑταίρων αὐ-

Ποθὴ] ἔλλειψις. 517. Ἄπο τῶν] μακρὰν τῶν μνηστήρων ἐν τῷ ὑπερῴῳ. 521. Μέμονεν] ἐλπίζει. 527. Ἔραζε] εἰς τὴν γῆν. 532. Εἰσάντα] ἐνώπιον.

Πείραιε Κλυτίδη, σὺ δέ μοι, τάπερ ἄλλα μάλιστα
Πείθῃ ἐμῶν ἑτάρων, οἵ μοι Πύλον εἰς ἅμ' ἕποντο,
Καὶ νῦν μοι τὸν ξεῖνον ἄγων ἐν δώμασι σοῖσιν
Ἐνδυκέως φιλέειν καὶ τιέμεν, εἰσόκεν ἔλθω·
Τὸν δ' αὖ Πείραιος δουρικλυτὸς ἀντίον ηὔδα·
Τηλέμαχ', εἰ γάρ κεν σὺ πολὺν χρόνον ἐνθάδε μίμνοις,
Τόνδε τ' ἐγὼ κομιῶ, ξενίων δέ οἱ οὐ ποθὴ ἔσται.
Ὣς εἰπὼν ἐπὶ νηὸς ἔβη, ἐκέλευσε δ' ἑταίρους
Αὐτούς τ' ἀμβαίνειν, ἀνά τε πρυμνήσια λῦσαι.
Οἱ δ' αἶψ' εἴσβαινον, καὶ ἐπὶ κληῖσι κάθιζον.
Τηλέμαχος δ' ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα,
Εἵλετο δ' ἄλκιμον ἔγχος, ἀκαχμένον ὀξέϊ χαλκῷ,
Νηὸς ἀπ' ἰκριόφιν· τοὶ δὲ πρυμνήσι' ἔλυσαν.
Οἱ μὲν ἀνώσαντες, πλέον ἐς πόλιν, ὡς ἐκέλευσεν
Τηλέμαχος, φίλος υἱὸς Ὀδυσσῆος θείοιο.
Τὸν δ' ὦκα προβιβῶντα πόδες φέρον, ὄφρ' ἵκετ' αὐλὴν,
Ἔνθα οἱ ἦσαν ὕες μάλα μυρίαι, ᾗσι συβώτης
Ἐσθλὸς ἐὼν, ἐνίαυεν, ἀνάκτεσιν ἤπια εἰδώς·

αὐτοῖς ὀφθαλμοῖς. 553. Ἀνώσαντες] ἄνω πρὸς τὴν πόλιν πλεύσαντες. 558.

τῷ γεγενημένον πιστότατον, Πείραιε, εἰπὼν πρὸς αὐτὸν οἶδά σε τά τ' ἄλλα μοι γενόμενον εὐπειθῆ πρὸς τὴν Πύλον, καὶ νῦν χαριούμενόν μοι οὐχ ἧττον· ἄγε μοι τουτονὶ λαβὼν παρὰ σεαυτῷ· ἔσο δὲ φιλῶν αὐτὸν καὶ τιμῶν τὰ εἰκότα, μέχρις ἂν αὐτὸς ἀφίκωμαι οἴκαδε ἐξ ἀγροῦ.

Πείραιος δὲ πρὸς ταῦτα, κἂν αὐτὸς, ὦ Τηλέμαχε, ἔφη, ἐν ἀγρῷ διατρίψῃς, ἔγωγ' οὐκ ἂν παυσαίμην ἐπιμελούμενος τούτου, καὶ θεραπεύων τὰ δυνατά· ἔσται γὰρ αὐτῷ ξενίων πολλὴ ἀφθονία.

Ταῦτα δ' εἰπὼν, ἐπέβη τῆς νεὼς, κελεύσας τοῦτο καὶ τοὺς ἑταίρους· οἱ δὲ ἀναβάντες προθύμως, καὶ λύσαντες τὰ πρυμνήσια, ἔτεινον ὡς ἐπὶ τὴν πόλιν· Τηλέμαχος δὲ ὑποδησάμενος, καὶ τὸ δόρυ ἀναλαβὼν, ἤνυτε μακροῖς βήμασιν ἀνιὼν πρὸς τὴν ἔπαυλιν, τὰ ἑαυτοῦ ἐπισκεψόμενος θρέμματα· ἃ Εὔμαιος ὁ συβώτης εὐνοῶν τοῖς δεσπόταις, ἐφύλαττε νήφων.

Προβιβῶντα] σπουδαίως βαίνοντα. 557. Ἐνίαυεν] ἐνδιέτριβεν, φίλα ταῖς δεσπόταις φρονῶν.

ΥΠΟΘΕΣΙΣ

Τηλέμαχος ἀφικόμενος εἰς τὴν ἔπαυλιν, πέμπει Εὔμαιον εἰς τὴν πόλιν ἀγγελοῦντα τῇ μητρὶ τὴν ἑαυτοῦ ἀπὸ τῆς Πύλου καταγωγήν· κἀν τούτῳ γίγνεται ἀναγνωρισμὸς Ὀδυσσέως πρὸς Τηλέμαχον κατὰ βούλησιν Ἀθηνᾶς, καὶ βολὴ ἑξῆς, ὅπως ἂν ἄριστα αὐτοῖς ἐν τοιούτῳ κρισίμῳ καιρῷ τὰ πράγματα σχοίη· πρὸς δὲ τούτοις διέξεισι

ΟΔΥΣΣΕΙΑΣ Π.

Τὼ δ' αὖτ' ἐν κλισίῃ Ὀδυσεὺς καὶ δῖος ὑφορβὸς
Ἐντύνοντο ἄριστον ἅμ' ἠοῖ, κειαμένω πῦρ,
Ἔκπεμψάν τε νομῆας ἅμ' ἀγρομένοισι σύεσσιν·
Τηλέμαχον δὲ περίσσαινον κύνες ὑλακόμωροι,
Οὐδ' ὕλαον προσιόντα· νόησε δὲ δῖος Ὀδυσσεὺς
Σαίνοντάς τε κύνας, περί τε κτύπος ἦλθε ποδοῖϊν.
Αἶψα δ' ἄρ' Εὔμαιον ἔπεα πτερόεντα προσηύδα·
Εὔμαι', ἦ μάλα τίς τοι ἐλεύσεται ἐνθάδ' ἑταῖρος
Ἢ καὶ γνώριμος ἄλλος· ἐπεὶ κύνες οὐχ ὑλάουσιν,
Ἀλλὰ περισσαίνουσι· ποδῶν δ' ὑπὸ δοῦπον ἀκούω.
Οὔπω πᾶν εἴρητο ἔπος, ὅτε οἱ φίλος υἱὸς
Ἔστη ἐνὶ προθύροισι· ταφὼν δ' ἀνόρουσε συβώτης·

ΤΟΥ Π.

τὴν ἀπὸ τῆς ἐνέδρας τῶν μνηστήρων ἐπιστροφήν· καὶ τὴν ἑξῆς αὐτῶν βουλὴν δευτέρας ἐπιβουλῆς κατὰ Τηλεμάχου· ἣν Πηνελόπη μαθοῦσα, ἐξῆλθε τοῦ θαλάμου, καὶ ἐπικαταβᾶσα, ἐπιτιμᾷ Ἀντινόῳ ἐπ' ἀχαριστίᾳ· οὗ τὸν πατέρα κινδυνεύσαντα διέσωσε ποτὲ Ὀδυσσεύς·

ΟΔΥΣΣΕΙΑΣ Π.

Ἐν δὲ τῇ ἐπαύλῃ αὖθις Ὀδυσσεύς τε καὶ Εὔμαιος, ἀνακαύσαντες πῦρ, παρεσκευάζοντο ἤδη ἄριστον· τοὺς δ' ἄλλους ὑφορβοὺς ἀπέπεμψαν ἀπάξοντας τὰς σῦς εἰς νομήν· κᾀν τούτῳ ἐλθόντα Τηλέμαχον ἰδόντες οἱ κύνες, προσέδραμον σαίνοντες· τοῦτο δ' ἰδὼν Ὀδυσσεὺς, καὶ ἅμα ποδῶν κροτούντων αἰσθόμενος, ὡς εἴτις βαδίζοι, Εὔμαιε, ἔφη, ἑταῖρός τις, ἢ γνώριμος οὗτος, ἥκει σοι προσιὼν, ὅσον ἐκ τοῦ σαίνειν τοὺς κύνας, καὶ τοῦ κτύπου τῶν ποδῶν ἐστὶν εἰκάσαι· οὐκ ἔφθη δὲ ταῦτ' εἰπὼν Ὀδυσσεὺς, καὶ ὁ φίλος υἱὸς ἐπέστη ἐπὶ τοῦ προθύρου· ὃν ἅμ' ἰδὼν ὁ συβώτης, ἀνεπήδησε σὺν ἐκπλήξει·

2 Ἄριστον] τὸ παρ' ἡμῖν λεγόμενον πρόγευμα, ἔπαλαι ποτὲ ἀκράτισμα ἐκαλεῖτο. 5. Ὕλαον] ὑλάκτουν. 12. Ταφὼν] ἐκπλαγεὶς, παρὰ τὸ θήπω, ἔθα-

Ἐκ δ' ἄρα οἱ χειρῶν πέσον ἄγγεα, τοῖς ἐπονεῖτο,
Κιρνὰς αἴθοπα οἶνον· ὁ δ' ἀντίος ἦλθεν ἄνακτος·
Κύσσε δέ μιν κεφαλήν τε, καὶ ἄμφω φάεα καλὰ,
Χεῖράς τ' ἀμφοτέρας· θαλερὸν δέ οἱ ἔκπεσε δάκρυ.
Ὡς δὲ πατὴρ ὃν παῖδα φίλα φρονέων, ἀγαπάζει
Ἐλθόντ' ἐξ ἀπίης γαίης δεκάτῳ ἐνιαυτῷ,
Μοῦνον τηλύγετον, τῷ ἐπ' ἄλγεα πολλὰ μογήσῃ·
Ὡς τότε Τηλέμαχον θεειδέα δῖος ὑφορβὸς
Πάντα κύσεν περιφὺς, ὡς ἐκ θανάτοιο φυγόντα·
Καί ῥ' ὀλοφυρόμενος, ἔπεα πτερόεντα προσηύδα·
Ἦλθες, Τηλέμαχε, γλυκερὸν φάος. οὔ σ' ἔγωγε
Ὄψεσθαι ἐφάμην, ἐπεὶ ᾤχεο νηῒ Πύλονδε·
Ἀλλ' ἄγε νῦν εἴσελθε, φίλον τέκος, ὄφρα σε θυμῷ
Τέρψομαι εἰσορόων, νέον ἄλλοθεν ἔνδον ἐόντα.
Οὐ μὲν γάρ τι θάμ' ἀγρὸν ἐπέρχεαι οὐδὲ νομῆας,
Ἀλλ' ἐπιδημεύεις· ὣς γάρ νύ τοι εὔαδε θυμῷ
Ἀνδρῶν μνηστήρων ἐσορᾷν ἀΐδηλον ὅμιλον.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Ἔσσεται οὕτως, ἄττα· σέθεν δ' ἕνεκ' ἐνθάδ' ἱκάνω,
Ὄφρα σέ τ' ὀφθαλμοῖσιν ἴδω, καὶ μῦθον ἀκούσω,
Εἴ μοι ἔτ' ἐν μεγάροις μήτηρ μένει, ἠέ τις ἤδη
Ἀνδρῶν ἄλλος ἔγημεν, Ὀδυσσῆος δέ που εὐνὴ
Χήτει ἐνευναίων κάκ' ἀράχνια κεῖται ἔχουσα.
Τὸν δ' αὖτε προσέειπε συβώτης, ὄρχαμος ἀνδρῶν·
Καὶ λίην κείνη γε μένοι τετληότι θυμῷ
Σοῖσιν ἐνὶ μεγάροισιν· οἰζυραὶ δέ οἱ αἰεὶ
Φθίνουσιν νύκτες τε καὶ ἤματα δακρυχεούσῃ.
Ὡς ἄρα φωνήσας οἱ ἐδέξατο χάλκεον ἔγχος·

φον. καὶ ἔταφον, ὁ ταφὼν ὅθεν καὶ τάφος τὸ θαῦμα. 14. Κιρνὰς] κερνῶν,

ἐξέπεσε δὲ τῆς χειρὸς τὰ σκεύη, ἐν οἷς ἔτυχε τὸν οἶνον κιρνῶν· προσελθὼν οὖν ἐφίλησε τήν τε κεφαλὴν αὐτοῦ καὶ τὰς χεῖρας, καὶ φάεα καλὰ, δάκρυα τῶν ὀφθαλμῶν ἀποθλίβων ἠρέμα· καθάπερ γὰρ πατήρ τις δεκάτῳ μηνὶ, τὸν ἑαυτοῦ υἱὸν μακρόθεν δεξάμενος, ὃς μονογενὴς αὐτῷ, καὶ ἐφ' ὅτου τῇ ἀποδημίᾳ λελύπηται σφόδρα, περιπτύσσεται ἀσπαζόμενος καὶ καταφιλῶν· οὕτως Εὔμαιος προσφὺς Τηλεμάχῳ, κατεφίλει, ὡς διαφυγόντα ἤδη τὰς τῶν μνηστήρων ἐπιβουλάς· καὶ δὴ ἀπομορξάμενος, ὃ κατέλειβε δάκρυ, ἔφη πρὸς αὐτόν. Ἦλθες, Τηλέμαχε, ἥδιστον ἔμοιγε φάος; ἐγὼ δ' οὕτω σφόδρα περί σοι ἐδεδίειν, μή τι πάθῃς ἐν Πύλῳ, ὥστ' οὐκέτι σε προσεδόκησα ὄψεσθαι· ἀλλ' ἄγε νῦν εἴσελθε, φίλον τέκος, ἵνα μᾶλλον ὁρῶν σε εὐφραίνωμαι, ὡς ἄλλοθεν ἐλθόντα· οὐ γὰρ ἂν εἴποιμι οἴκοθεν, ἀήθους σοι ὄντος τούτου θαμίζειν ἐς τοὺς ἀγρούς· ἥδιστα γὰρ ἐπιχωριάζεις, ἀνάγκην ὁρῶν ἐνοῦσαν τοὺς κακῶς κακοὺς ἀπολουμένους μνηστῆρας παραφυλάττειν.

Τηλέμαχος δὲ πρὸς ταῦτα· ταῦτα μὲν, ὦ τέττα, οὕτως ἕξει· νῦν δ' ἥκω σοι ὧδε σέ τε αὐτὸν ἐπισκεψόμενος, καὶ περὶ τῆς μητρὸς πευσόμενος, πότερον οἴκοι ἔτι παραμένει, ἢ συνέζευκται γάμῳ· ἡ δὲ τοῦ Ὀδυσσέως εὐνὴ χήτει τῶν εὐναζομένων κατηραχνίωται;

Εὔμαιος δὲ πρὸς ταῦτα· μὰ Δί', ἔφη, ἀλλὰ παραμένει, πολλὰ ὑπομένουσα· οὐ γὰρ ἔσθ' ὅτ' ἐκείνη διημερεύει, οὔτε διανυκτερεύει ἀδακρυτί· καὶ ταῦτ' εἰπὼν, ἐδέξατο τὸ δόρυ·

κατὰ τὸ ἱστὰς ἐκ τοῦ κίρνημι. 28. Εὔαδε] ἤρεσκε παρὰ τὸ ἁδεῖν, ἅδον ἔαδον, καὶ εὔαδον. 29 Αἴθηλον] τὸν φθοροποιόν. 31. Ἄττα πρόσφθεγμα νωτέρου πρὸς πρεσβύτερον. 35. Ἐνευναίων] τῶν εὐνησομένων. 42. Ὑπόειξεν]

Αὐτὰρ ὅγ' εἴσω ἴεν καὶ ὑπέρβη λάϊον οὐδόν.
Τῷ δ' ἕδρης ἐπιόντι πατὴρ ὑπόειξεν Ὀδυσσεύς·
Τηλέμαχος δ' ἑτέρωθεν ἐρήτυε, φώνησέν τε.
Ἧσ', ὦ ξεῖν'· ἡμεῖς δὲ καὶ ἄλλοθι δήομεν ἕδρην
Σταθμῷ ἐν ἡμετέρῳ· πάρα δ' ἀνὴρ, ὃς καταθήσει.
Ὣς φάθ'· ὁ δ' αὖτις ἰὼν κατ' ἄρ' ἕζετο· τῷ δὲ συβώτης
Χεῦεν ὕπο χλωρὰς ῥῶπας καὶ κῶας ὕπερθεν·
Ἔνθα καθέζετ' ἔπειτα Ὀδυσσῆος φίλος υἱός.
Τοῖσιν δ' αὖ κρειῶν πίνακας παρέθηκε συβώτης
Ὀπταλέων, ἅ ῥα τῇ προτέρῃ ὑπέλειπον ἔδοντες·
Σῖτον δ' ἐσσυμένως παρενήνεεν ἐν κανέοισιν,
Ἐν δ' ἄρα κισσυβίῳ κίρνη μελιηδέα οἶνον·
Αὐτὸς δ' ἀντίον ἶζεν Ὀδυσσῆος θείοιο.
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
Δὴ τότε Τηλέμαχος προσεφώνεε δῖον ὑφορβόν·
Ἄττα, πόθεν τοι ξεῖνος ὅδ' ἵκετο; πῶς δέ ἑ ναῦται
Ἤγαγον εἰς Ἰθάκην; τίνες ἔμμεναι εὐχετόωνται;
Οὐδὲν γάρ τί ἑ πεζὸν οἴομαι ἐνθάδ' ἱκέσθαι.
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
Τοιγὰρ ἐγώ τοι, τέκνον, ἀληθέα πάντ' ἀγορεύσω.
Ἐκ μὲν Κρηταών γένος εὔχεται εὐρειάων·
Φησὶ δὲ πολλὰ βροτῶν ἐπὶ ἄστεα δινηθῆναι
Πλαζόμενος· ὣς γάρ οἱ ἐπέκλωσεν τάγε δαίμων.
Νῦν αὖ Θεσπρωτῶν ἀνδρῶν ἐκ νηὸς ἀποδρὰς,
Ἤλυθ' ἐμὸν πρὸς σταθμὸν, ἐγὼ δέ τοι ἐγγυαλίξω·
Ἕρξον ὅπως ἐθέλεις· ἱκέτης δέ τοι εὔχεται εἶναι.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Εὔμαι', ἦ μάλα τοῦτο ἔπος θυμαλγὲς ἔειπες·
Πῶς γὰρ δὴ τὸν ξεῖνον ἐγὼν ὑποδέξομαι οἴκῳ;
Αὐτὸς μὲν νέος εἰμὶ, καὶ οὔπω χερσὶ πέποιθα

ὁ δ' ὑπερβὰς τὴν φλιὰν, εἰσῄει· ἐπιβαλλόμενον δὲ τὸν Ὀδυσσέα ὑποχωρῆσαι αὐτῷ τῆς ἕδρας, ἐκώλυσεν ὑπειπών· ἔχ' ἀτρέμας, ὦ ξένε, καθήμενος αὐτοῦ ἡσυχῇ· ἡμῖν δ' ἔςαι καὶ ἄλλη ἐπαναπαύσασθαι, ἐν τοῖς ἑαυτῶν οὖσίγε· καίγε πάρεστιν ἀνὴρ οὑτωσὶν, ὅς μοι ταῦτα παρασκευάσει.

Ταῦτα δ' αὐτοῦ εἰπόντος, ἐκάθισε πάλιν Ὀδυσσεύς· Τηλεμάχῳ δὲ ὑπέστρωσεν ὁ συβώτης στιβάδα· εἶθ' οὕτως ἐπέβαλε δέρματα, ἐφ' ὧν καθεσθεὶς ὁ Τηλέμαχος, ἀνεπαύετο· Εὔμαιος δ' ἄριστον παρεσκεύαζεν αὐτοῖς, κρέα ὀπτὰ, ἀφ' ὧν καταλέλειπτο αὐτοῖς ἐκ τῆς προτεραίας, καὶ σῖτον ἐκ κανῶν παραθέμενος, καὶ οἶνον κιρνῶν ἐν τῷ κισσυβίῳ· καὶ ταῦθ' εὐτρεπίσας, παρεκαθέζετο καὶ αὐτὸς ἐναντίον τοῦ Ὀδυσσέως. Οὕτως οὖν καθήμενοι, ἤσθιόν τε καὶ ἔπινον ἄσμενοι· ὡς δὲ αὐτοῖς ἅλις ἦν, ἤρετο Τηλέμαχος Εὔμαιον, τέττα, πόθεν ὁ ξένος ὅδε σοι τυγχάνει ἐλθών; πῶς δ' αὐτὸν καὶ τίνες εἰς τὴν Ἰθάκην ἐξήγαγον; οὐ γὰρ δυνατὸν ἄλλως πεζῇ αὐτὸν δεῦρ' ἐλθεῖν.

Εὔμαιος δὲ πρὸς ταῦτα. Κρὴς, ὦ τέκνον, εἶναί φησι, πολλὰ πλανηθεὶς κατάτε πόλεις καὶ ἔθνη, ὡς αὐτῷ ὁ δαίμων ἐπέκλωσε· νῦν δ' ἀποδρὰς ἐκ νεὼς ἀνδρῶν Θεσπρωτῶν, ἧκεν εἰς τὸν σταθμὸν παρ' ἐμέ· σὺ δὲ νῦν δεξάμενος ὡς ἱκέτην παρὰ σεαυτῷ, ποίησον αὐτὸν ὅ,τι βούλῃ.

Τηλέμαχος δὲ πρὸς ταῦτα· Εὔμαιε, ποῖον τοῦτον εἴρηκας λόγον; πῶς γὰρ ἂν ἔγωγ' αὐτὸν ἀγάγοιμι οἴκαδε, μήπω τελέως πεποιθὼς τῷ βραχίονι, ὥςε καὶ ἀποκρούσασθαι, εἴποτε

παρεχώρησεν, ὑπεξανέστη τῆς ἕδρας. 43· Ἐρήτυεν] ἐκώλυσεν ·44· Δήομεν] εὑρήσομεν . 52 . παρενήνεεν] ἐπεσώρευεν ἐκ τῶν κανῶν . 52. Κίρνη] ἐκίρνα, κατὰ τὸ ἵστη · 66· Ἐγκυαλίξω] δώσω αὐτόν . 74 · κομίζῃ] ἐπιμελῆται. 82.

Ἄνδρ' ἀπαμύνασθαι, ὅτε τις πρότερος χαλεπήνῃ·
Μητρὶ δ' ἐμῇ δίχα θυμὸς ἐνὶ φρεσὶ μερμηρίζει,
Ἢ αὐτοῦ παρ' ἐμοί τε μένῃ, καὶ δῶμα κομίζῃ,
Εὐνήν τ' αἰδομένη πόσιος δήμοιό τε φῆμιν·
Ἢ ἤδη ἅμ' ἕπηται Ἀχαιῶν, ὅστις ἄριστος
Μνᾶται ἐνὶ μεγάροισιν ἀνὴρ καὶ πλεῖστα πόρῃσιν.
Ἀλλ' ἤτοι τὸν ξεῖνον, ἐπεὶ τεὸν ἵκετο δῶμα,
Ἕσσω μιν χλαῖνάν τε, χιτῶνά τε, εἵματα καλά·
Δώσω δὲ ξίφος ἄμφηκες καὶ ποσσὶ πέδιλα,
Πέμψω δ', ὅππῃ μιν κραδίη, θυμός τε κελεύει.
Εἰ δ' ἐθέλεις, σὺ κόμισσον, ἐνὶ σταθμοῖσιν ἐρύξας·
Εἵματα δ' ἐνθάδ' ἐγὼ πέμψω καὶ σῖτον ἅπαντα
Ἔδμεναι, ὡς ἂν μή σε κατατρύχῃ καὶ ἑταίρους.
Κεῖσε δ' ἂν οὔ μιν ἔγωγε μετὰ μνηστῆρας ἐῴμι
Ἔρχεσθαι· λίην γὰρ ἀτάσθαλον ὕβριν ἔχουσιν·
Μή μιν κερτομέωσιν, ἐμοὶ δ' ἄχος ἔσσεται αἰνόν.
Πρῆξαι δ' ἀργαλέον τι μετὰ πλεόνεσσιν ἐόντα
Ἄνδρα καὶ ἴφθιμον· ἐπειὴ πολὺ φέρτεροί εἰσιν.
Τὸν δ' αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς·
Ὦ φίλ', ἐπεί θήν μοι καὶ ἀμείψασθαι θέμις ἐστὶν,
Ἦ μάλα μευ καταδάπτετ' ἀκούοντος φίλον ἦτορ,
Οἷά φατε μνηστῆρας ἀτάσθαλα μηχανάασθαι
Ἐν μεγάροις, ἀέκητι σέθεν, τοιούτου ἐόντος.
Εἰπέ μοι, ἠὲ ἑκὼν ὑποδάμνασαι, ἤ σέγε λαοὶ
Ἐχθαίρουσ' ἀνὰ δῆμον, ἐπισπόμενοι θεοῦ ὀμφῇ·
Ἤ τι κασιγνήτοις ἐπιμέμφεαι· οἷσίπερ ἀνὴρ
Μαρναμένοισι πέποιθε, καὶ εἰ μέγα νεῖκος ὄρηται.
Αἲ γὰρ ἐγὼν οὕτω νέος εἴην τῷδ' ἐπὶ θυμῷ,
Ἢ παῖς ἐξ Ὀδυσῆος ἀμύμονος ἠὲ καὶ αὐτός·
Ἔλθοι ἀλητεύων· ἔτι γὰρ καὶ ἐλπίδος αἶσα·

δέοι, εἴτις οἱ ἐπιπηδήσειέ ποτε χαλεπήνας; ἡ δὲ μήτηρ καὶ
αὐτὴ διχῇ τῇ γνώμῃ μεμέρισται, ἤτοι μένουσα αὐτοῦ τὸν
οἶκον κοσμεῖν, τήντε τοῦ Ὀδυσσέως εὐνὴν αἰδουμένη, καὶ
τὴν τῶν πολλῶν δυσφημίαν παραιτουμένη· ἢ χαίρειν εἰ-
ποῦσα τούτοις, ἑτέρῳ ἀνδρὶ συζευχθῆναι, ὃς ἂν ἄριστος ὢν,
πλείω δῷ· ἀλλ' ἐπειδὴ ἀφίκετο παρά σε, οὐκ ἂν αὐτῷ ἀχά-
ριστα εἴη, εἰ χλαῖναν καὶ χιτῶνα καλὸν λαβόντα, ξίφος τε
δίστομον καὶ πέδηλα καλὰ τοῖς ποσὶ, πέμψαιμι αὐτὸν, ὅποι
δήποτ' ἐθέλοι· εἰ δ' αὖ αὐτὸς ἀνέχῃ θεραπεύειν καθήμενον
ὧ δε, ἔχε· ἐγὼ δὲ τὰ θ' ἱμάτια, καὶ τροφὴν οἱ ὅσον ἱκανὸν,
ἵνα μή σε καὶ τοὺς ἑταίρους, ἐντεῦθεν τρεφόμενος, παραβ-
λάπτοι, οἴκοθεν πέμψω πάντα· ἐκεῖσε δὲ ἐλθεῖν οὐκ ἂν
φαίην, ἐν μέσῳ τῶν μνηστήρων γενόμενον· ἵνα μὴ ἐκ πολ-
λῆς αὐτὸν προπηλακίζοντες ὕβρεως, ἐμὲ ἀτιμῶσιν· ἀντι-
στῆναι δ' αὖ πολλοῖς ἕνα ὄντα χαλεπὸν καὶ τῷ ῥωμα-
λαιωτάτῳ.

Ὀδυσσεὺς δὲ πρὸς ταῦτα· ὦ φίλοι ὑμεῖς γε· δότε γὰρ
κἀμοὶ λόγον, καλῶς ποιοῦντες· τί ταῦτ' ἀκούω; ἦπού γε
δεινῶς δάκνει μου τὴν καρδίαν λεγόμενα, εἰ τοιαῦτά γε
δρῶσιν οἴκοι μνηστῆρες βίᾳ, τηλικούτου σου ὄντος· μήτι
ἑκὼν καθυφίης, ἢ ὁ δῆμος ἐκ χρησμοῦ τινος μισῶν σε τυγ-
χάνει; ἢ καὶ ἄλλως ἀδελφοῖς τοῖς σαυτοῦ καταμέμφῃ, ὡς
μὴ ἀξίως προμαχομένοις; καὶ γὰρ πολλὴ ἂν εἴη σοι ῥοπὴ
πρὸς τὰ πράγματα ἀπὸ τούτων· ἠβουλόμην μὲν οὖν ἔγωγε
ἴσον ἔχειν τὸ τῆς ἡλικίας τῇ τόλμῃ· ἢ γοῦν παῖς ἐκείνου
τοῦ Ὀδυσσέως γενέσθαι· ἢ μᾶλλον αὐτόν που Ὀδυσσέα
πλανώμενον νῦν ἀπονοστῆσαι· πολλὴ γὰρ τούτου γ' ἐλπὶς

Κόμισον ἐρύξας] ἐπιμελήθητι αὐτοῦ κατασχὼν, 109. Στυφελιζομένους] ὑ

Αὐτίκ' ἔπειτ' ἀπ' ἐμεῖο κάρη τάμοι ἀλλότριος φὼς,
Εἰ μὴ ἐγὼ κείνοισι κακὸν πάντεσσι γενοίμην,
Ἐλθὼν ἐς μέγαρον Λαερτιάδεω Ὀδυσῆος.
Εἰ δ' αὖ με πληθυῖ δαμασαίατο, μοῦνον ἐόντα,
Βουλοίμην κ' ἐν ἐμοῖσι κατακτάμενος μεγάροισιν
Τεθνάμεν, ἢ τάδε γ' αἰὲν ἀεικέα ἔργ' ὁράασθαι,
Ξείνους τε στυφελιζομένους, δμωάς τε γυναῖκας
Ῥυστάζοντας ἀεικελίως κατὰ δώματα καλὰ,
Καὶ οἶνον διαφυσσόμενον καὶ σῖτον ἔδοντας
Μὰψ αὔτως, ἀτέλεστον, ἀνηνύστῳ ἐπὶ ἔργῳ.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ' ἀτρεκέως ἀγορεύσω.
Οὔτε τί μοι πᾶς δῆμος ἀπεχθόμενος, χαλεπαίνει·
Οὔτε κασιγνήτοις ἐπιμέμφομαι, οἷσίπερ ἀνὴρ
Μαρναμένοισι πέποιθε, καὶ εἰ μέγα νεῖκος ὄρηται.
Ὧδε γὰρ ἡμετέρην γενεὴν μούνωσε Κρονίων·
Μοῦνον Λαέρτην Ἀρκείσιος υἱὸν ἔτικτεν,
Μοῦνον δ' αὖτ' Ὀδυσῆα πατὴρ τέκεν· αὐτὰρ Ὀδυσσεὺς
Μοῦνον ἔμ' ἐν Μεγάροισι τεκὼν λίπεν, οὐδ' ἀπόνητο.
Τῷ νῦν δυσμενέες μάλα μυρίοι εἴσ' ἐνὶ οἴκῳ.
Ὅσσοι γὰρ νήσοισιν ἐπικρατέουσιν ἄριστοι,
Δουλιχίῳ τε, Σάμῃ τε, καὶ ὑλήεντι Ζακύνθῳ,
Ἠδ' ὅσσοι κραναὴν Ἰθάκην κάτα κοιρανέουσιν,
Τόσσοι μητέρ' ἐμὴν μνῶνται, τρύχουσι δὲ οἶκον.
Ἡ δ' οὔτ' ἀρνεῖται στυγερὸν γάμον, οὔτε τελευτὴν
Ποιῆσαι δύναται· τοὶ δὲ φθινύθουσιν ἔδοντες
Οἶκον ἐμόν· τάχα δή με διαῤῥαίσουσι καὶ αὐτόν.
Ἀλλ' ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται.
Ἄττα, σὺ δ' ἔρχεο θᾶσσον, ἐχέφρονι Πηνελοπείῃ
Εἴφ', ὅτι οἱ σῶς εἰμὶ καὶ ἐκ Πύλου εἰλήλουθα.
Αὐτὰρ ἐγὼν αὐτοῦ μενέω, σὺ δὲ δεῦρο νέεσθαι,

ἐπιβόσκεται· καὶ τότε μὴ εἴη μοι ἡ κεφαλὴ ἐπὶ τῶν ὤμων ὀρθὴ, ἀποτμηθεῖσα ὑπ' ἀνδρὸς πολεμίου, εἰμὴ ἔγωγε παρελθὼν, καὶ ἄλλον ἄλλοσε διασκεδάσας τῷ ξίφει, ἀπολέσαιμι πάντας· εἰ δ' αὖ ὑπερβληθεὶς τῷ πλήθει, αὐτὸς ἀποθάνοιμι, ἄμεινον ἔμοιγ' ὑπὲρ τῶν ἐμαυτοῦ παθεῖν τοῦτο, ἢ τοιαῦθ' ὁσημέραι ὁρᾶν γενόμενα ἐν αὐτοῖς, ξένους ὑβριζομένους, θεραπαινίδας προπηλακιζομένας, καὶ τὰ ἐμαυτοῦ ἀφειδῶς καὶ ἀπαύστως ἀναλισκόμενα.

Τηλέμαχος δὲ πρὸς ταῦτα· ἐγὼ μὲν, ὦ ξένε, οὔθ' ὑπὸ τοῦ δήμου τυγχάνω μισούμενος, οὔτ' αὖ ἀδελφοῖς τισιν ἐγκαλῶ· ἐξ ὧν ἂν εἴη μοι ἐπικουρία τις πρὸς τὰ πράγματα· τὸ γὰρ γένος τοὐμὸν μονομερὲς ἄνωθεν Διὸς βουλῇ ἐςι κατιόν. Ἀρκεσίῳ γὰρ Λαέρτης μόνος ἐγένετο παῖς· Λαέρτῃ δ' αὖ μόνος ὁ Ὀδυσσεύς· καὶ Ὀδυσσεῖ πάλιν μόνος ἐγώ· οὗ ἐκεῖνος οὔπω τυγχάνει ὀνάμενος· ἐκ τούτου ἄρα τοσοῦτοι καὶ τηλικοῦτοι ἐπανέςησαν ἐφ' ἡμᾶς· οἵ τε γὰρ ἐκ Δουλιχίου Σάμης τε καὶ Ζακίνθου εὐδαίμονες, καὶ οἱ ἐξ Ἰθάκης κράτιστοί τε καὶ πλουσιώτατοι, συνελθόντες ὧδε, τὴν ἐμὴν μητέρα μνηστεύοντες, καταφθείρουσί μοι τὸν οἶκον· ἡ δὲ μήτηρ οὔτε τὸν γάμον αὐτοῖς ἀπειπεῖν· οὔτε μὴν τέλος αὐτῷ δύναται ἐπιθεῖναι· οἱ δὲ τἀμὰ καταφθείροντες, τάχ' ἂν κἀμὲ αὐτὸν τῷ χρόνῳ συναπολέσαιεν· ἀλλὰ τοῦτό γ' ἐν γούνασι τῶν θεῶν μάλιστα κεῖται. Σὺ δέ γε, τέττα, ἴθι ἰὼν ὡς τὴν Πηνελόπην αὐτίκα μάλα ἀγγελῶν σῶν ἐμὲ ἥκοντα ἀπὸ τῆς θαλάσσης· καὶ ὅπως μηδεὶς τῶν ἄλλων Ἑλ-

βρίζοντας, σπαράττοντας, ἕλκοντας. 110. Διαφυσόμενον] ἐξαντλούμενον καὶ φθειρόμενον. 111. Ἀτέλεστον] ἀεί. 130. Ἄντα πρὸς τὸ Εὔμαιον τοῦτό φησι. 131. Εἶφ'] εἰπέ. 132. Νέεσθαι] ἐλθὲ, ἀντὶ γὰρ προστακτικοῦ. 141. Καὶ

Οἴη ἀπαγγείλας· τῶν δ' ἄλλων μήτις ἀχαιῶν
Πευθέσθω· πολλοὶ γὰρ ἐμοὶ κακὰ μηχανόωνται.
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
Γιγνώσκω· φρονέω· τάγε δὴ νοέοντι κελεύεις.
Ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
Ἢ καὶ Λαέρτῃ αὐτὴν ὁδὸν ἄγγελος ἔλθω
Δυσμόρῳ; ὃς τείως μὲν Ὀδυσσῆος μέγ' ἀχεύων,
Ἔργα τ' ἐποπτεύεσκε, μετὰ δμώων τ' ἐνὶ οἴκῳ
Πῖνε καὶ ἦσθ, ὅτε θυμὸς ἐνὶ στήθεσσιν ἀνώγοι·
Αὐτὰρ νῦν, ἐξ οὗ σύγε ᾤχεο νηῒ Πύλονδε,
Οὔπω μίν φασιν φαγέμεν καὶ πιέμεν αὔτως,
Οὐδ' ἐπὶ ἔργα ἰδεῖν· ἀλλὰ στοναχῇ τε, γόῳ τε
Ἧσται ὀδυρόμενος, φθινύθει δ' ἀμφ' ὀστεόφι χρώς.
Τὸν δ' Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Ἄλγιον, ἀλλ' ἔμπης μιν ἐάσομεν, ἀχνύμενοί περ.
Εἰ γάρ πως εἴη αὐτάγρετα πάντα βροτοῖσιν,
Πρῶτόν κεν τοῦ πατρὸς ἑλοίμεθα νόστιμον ἦμαρ.
Ἀλλὰ σύγ' ἀγγείλας ὀπίσω κίε, μηδὲ κατ' ἀγροὺς
Πλάζεσθαι μετ' ἐκεῖνον· ἀτὰρ πρὸς μητέρα εἰπεῖν,
Ἀμφίπολον ταμίην ὀτρυνέμεν ὅττι τάχιστα
Κρύβδην· κείνη γάρ κεν ἀπαγγείλειε γέροντι.
Ἦρα καὶ ὦρσε συφορβόν· ὁ δ' εἵλετο χερσὶ πέδιλα,
Δησάμενος δ' ὑπὸ ποσὶ πόλινδ' ἴεν· οὐδ' ἄρ' Ἀθήνην
Λῆθεν ἀπὸ σταθμοῖο κιὼν Εὔμαιος ὑφορβός·
Ἀλλ' ἥγε σχεδὸν ἦλθε· δέμας δ' ἤϊκτο γυναικὶ,
Καλῇ τε, μεγάλῃ τε, καὶ ἀγλαὰ ἔργ' εἰδυίῃ·
Στῆ δὲ κατ' ἀντίθυρον κλισίης Ὀδυσῆϊ φανεῖσα·
Οὐδ' ἄρα Τηλέμαχος ἴδεν ἀντίον, οὐδ' ἐνόησεν.
Οὐ γάρ πω πάντεσσι θεοὶ φαίνονται ἐναργεῖς.
Ἀλλ' Ὀδυσσεύς τε, κύνες τε ἴδον, καί ῥ' οὐχ ὑλάοντο,

λήνων πεύσηται τοῦτο· πολλοὶ γάρ μοι πολλὰ καὶ δεινὰ τολυπεύουσι σκευωροῦντες.

Εὔμαιος δὲ πρὸς ταῦτα. Ταῦτα μὲν οἶδ' ὅπως χρή σοι γενέσθαι· σὺ δ' ἐκεῖνό μοι λέγε, εἰ καὶ Λαερτίῳ τῷ δυστυχεῖ ἐλθόντα με δέοι ἀγγεῖλαι ταῦτά· ὃς πρῴην πόθῳ Ὀδυσσέως τηκόμενος, τοῖς οἰκέταις συνδιῃτᾶτο, τά τ' ἔργα ἐπισκοπῶν αὐτῶν, καὶ σιτούμενος σὺν ἐκείνοις· ἐξ ὅτου δέ σε μεμάθηκε πλεύσαντ' εἰς Πύλον, οὐκέτι, φασὶ, οὔτε σίτου ἠξίωσεν ἅψασθαι, οὔτε πρὸς τὰ ἔργα τραπέσθαι ἐπισκεψόμενος, ἀλλὰ κεκαλυμμένος οἴκοι, διαῤῥεῖ ὀδυρόμενος.

Τηλέμαχος δὲ πρὸς ταῦτα· χαλεπὸν μὲν εἴρηκας τοῦτο· ἀλλ' ἐῶμεν αὐτὸν ἔν γε τῷ παρόντι, καίτοι τὰ μάλιστα ὀδυνώμενον· εἴθε γὰρ ἦν ἡμῖν πάντα κατὰ βούλησιν γίγνεσθαι· πρῶτον γὰρ ἂν, αὐτὸν εἴπερ, εἴδομεν Ὀδυσσέα ἐλθόντα· σὺ δ' οὖν ἅμ' ἀγγείλας ταῦτα τῇ μητρὶ, τρέπου εὐθὺς ἐπὶ τάδε, μηδαμοῦ ἄλλοσε πλανώμενος περὶ τοὺς ἀγρούς· ἡ δὲ μήτηρ πεμψάτω ἐκεῖθεν τὴν ταμίαν ὡς μάλιστ' ἀφανῶς τοῖς μνηστῆρσιν ἀγγελοῦσαν τοῦτο τῷ γέροντι.

Τούτων δ' οὕτω ῥηθέντων, Εὔμαιος εὐθὺς ὑποδησάμενος, ἀπῄει πρὸς τὴν πόλιν ἀνύτων· καὶ παραχρῆμα ἡ Ἀθηνᾶ ἐπιστᾶσα ἐν τῷ προθύρῳ, ὡς γυνὴ καλή τε καὶ μεγάλη, καὶ πολλῶν ἔργων ἴδρις, μόνῳ ἐπεφάνη τῷ Ὀδυσσεῖ· οἱ γὰρ θεοὶ οὐ πᾶσιν, ἀλλ' οἷς μὲν, οἷς δ' οὐκ ἐθέλουσιν ἐπιφαίνεσθαι· εἶδον δ' αὐτὴν καὶ οἱ κύνες, ἀλλ' οὐχ ὑλάκτησαν·

ἦσθ'] καὶ ἤσθιε. 145. Ἧσται] κάθηται. — Ὀστεόφιν] περὶ τοῖς ὀστέοις. 145. Εἰ γὰρ αὐτάγρετα] εἴθε ἦν ἡμῖν πάντα αὐτόληπτα· καὶ ἄνευ πραγμάτων γενέσθαι, οὕτω γὰρ πρῶτον καὶ τ. λ. 162· Οὐχ ὑλάοντο] οὐχ ὑλάκτουν τὴν

Κνυζηθμῷ δ' ἑτέρωσε διὰ σταθμοῖο φόϐηθεν.
Ἡ δ' ἄρ' ἐπ' ὀφρύσι νεῦσε· νόησε δὲ δῖος Ὀδυσσεὺς,
Ἐκ δ' ἦλθεν μεγάροιο παρὲκ μέγα τειχίον αὐλῆς,
Στῆ δὲ πάροιθ' αὐτῆς· τὸν δὲ προσέειπεν Ἀθήνη·
Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Ἤδη νῦν σῷ παιδὶ ἔπος φάο, μηδ' ἐπίκευθε,
Ὡς ἂν μνηστῆρσιν θάνατον καὶ Κῆρ' ἀραρόντε,
Ἔρχησθον προτὶ ἄστυ περικλυτόν· οὐδ' ἐγὼ αὐτὴ
Δηρὸν ἀπὸ σφῶϊν ἔσομαι μεμαυῖα μάχεσθαι.
Ἦ καὶ χρυσείῃ ῥάϐδῳ ἐπεμάσσατ' Ἀθήνη·
Φᾶρος μέν οἱ πρῶτον ἐϋπλυνὲς, ἠδὲ χιτῶνα
Θῆκ' ἀμφὶ στήθεσσι· δέμας δ' ὤφελλε καὶ ἥϐην.
Ἂψ δὲ μελαγχροιὴς γένετο, γναθμοὶ δὲ τάνυσθεν·
Κυάνεαι δ' ἐγένοντο γενειάδες ἀμφὶ γένειον.
Ἡ μὲν ἄρ' ὣς ἔρξασα, πάλιν κίεν· αὐτὰρ Ὀδυσσεὺς
Ἤϊεν ἐς κλισίην· θάμϐησε δέ μιν φίλος υἱός·
Ταρϐήσας δ' ἑτέρωσε βάλ' ὄμματα, μὴ θεὸς εἴη,
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·

Ἀλλοῖός μοι, ξεῖνε, φάνης νέον ἠὲ πάροιθεν,
Ἄλλα δὲ εἵματ' ἔχεις, καί τοι χρὼς οὐκέθ' ὁμοῖος.
Ἦ μάλα τις θεός ἐσσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν.
Ἀλλ' ἵληθ', ἵνα τοὶ κεχαρισμένα δώομεν ἱρὰ
Ἠδὲ χρύσεα δῶρα, τετυγμένα· φείδεο δ' ἡμέων.

Τὸν δ' ἠμείϐετ' ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς·
Οὔτις τοι θεός εἰμι· τί μ' ἀθανάτοισι ἐΐσκεις;
Ἀλλὰ πατὴρ τεός εἰμι, τοῦ εἵνεκα σὺ στεναχίζων
Πάσχεις ἄλγεα πολλὰ, βίας ὑποδέγμενος ἀνδρῶν·

θεόν. 163. Κνυζηθμῷ] ποιάτις φωνὴ κυνῶν τοῦτο, κνυζόντων, κλαυθμυρι-

ἀλλὰ κνυζῶντες ἀμεσγέπως, ἀνεχώρησαν δέει· ἡ δ' οὖν θεὸς προσβλέψασα πρὸς τὸν Ὀδυσσέα, ἐπένευσεν αὐτῷ ἐξιέναι· ὁ δὲ νοήσας, ἔστη πρὸς τῷ περιβόλῳ εὐθὺς ἐξιὼν παρ' αὐτῇ· τότε δὴ φησὶ πρὸς αὐτόν. Διογενὲς Λαερτιάδη πολυμήχανε Ὀδυσσεῦ· νῦν σε χρὴ ἐκφῆναι τῷ σαυτῷ παιδὶ πάντα, ἵν' ἐλθόντες οἴκαδε, τὸν ὄλεθρον τοῖς μνηστῆρσιν τυρεύσητε· ἕξετε δὲ κἀμὲ οὐ μικρὰν σύμμαχον ὑμῖν ἐσομένην. Ταῦτα δ' εἰποῦσα, ἔθιγεν αὐτοῦ χρυσῇ ῥάβδῳ· καὶ παραχρῆμα Ὀδυσσεὺς ἐφάνη ἀλλοῖος, φάρος ἔχων καθαρὸν, χειτῶνά τε φαεινὸν, τό τ' ἀνάστημα τοῦ σώματος καὶ τὴν ἥβην, γνάθους τ' εὐτραφεῖς, καὶ ὀφθαλμοὺς πῦρ ὅλως βλέποντας, κόμην τε ἠρέμα καθειμένην περὶ τὸ γένειον, καὶ πάντα ἥρωϊ πρέποντα· ἡ μὲν οὖν θεὸς ἐκ τούτου, ᾤχετο ἀποπτᾶσα.

Ὁ δ' Ὀδυσσεὺς εἰσῆλθε πάλιν εἰς τὴν καλύβην σὺν μεγαλοφροσύνῃ· πρὸς ὃ, ἅμ' ἰδὼν ὁ φίλος υἱὸς, ἐξεπλάγη, καὶ ἔστρεψε τοὺς ἑαυτοῦ ὀφθαλμοὺς ἑτέρωσε, δεδιὼς μή τις εἴη θεῶν· εἶτα δὲ μόλις φωνήσας, ἔφη· ἀλλοῖος μοι φαίνῃ, ὦ ξένε, νῦν ἢ πρότερον· τάτε γὰρ ἱμάτια ἑτεροῖα ὁρῶ σε νῦν ἀμπεχόμενον, καὶ τὸ εἶδος πολλῷ τοῦ πρώτου διάφορον· ἤπού γε θεῶν τις τῶν τὸν οὐρανὸν κατοικούντων ἔοικας εἶναι· ἀλλ' ἱλήκοις ἡμῖν, ὅςτις εἴης· ἔσται δέ σοι παρ' ἡμῶν ἀντὶ τούτων ἱεράτε καλὰ καὶ χρυσᾶ ἀναθύματα, εὖ κατεσκευασμένα.

Ὁ δὲ πολύτλας Ὀδυσσεὺς πρὸς ταῦτα· τί με ἀθανάτοις εἰκάζεις, θνητόν γε ὄντα; οὐ μανθάνεις τὸν σαυτοῦ πατέρα, φίλον τέκνον, ἐμὲ αὐτὸν ὄντα, ὑπὲρ οὗ πολλὰ πάσχων διατελεῖς, αὐτός τε οἴκοθεν στένων, καὶ ἔξωθεν πολλὴν βίαν

ζόντων, καὶ προσαινόντων τοῖς κυρίοις ἑαυτῶν. — Φόβηθεν] ἔφυγον. 168. Φάσ] φάθι, λέγε. 169. Ἀραρόντε] προσαρμόσαντες, κατασκευάσαντες. 174. Ἄφελλε] ηὔξησε. 175. Μελαγχροιὴς] μελάντερος τὸ χρῶμα, φοβερὸς. γενναῖος. 161. Νέον] νεωστί. 185. Ἵληθ'] ἵλαθί μοι. ἱλάσθητι. 189. Ὑποδέγμενη

Ὣς ἄρα φωνήσας υἱὸν κύσε κὰδ δὲ παρειῶν
Δάκρυον ἧκε χαμᾶζε· πάρος δ' ἔχε νωλεμὲς αἰεί.
Τηλέμαχος δ'· οὐ γάρ πω ἐπείθετο ὃν πατέρ' εἶναι·
Ἐξαῦτίς μιν ἔπεσσιν ἀμειβόμενος, προσέειπεν·
Οὐ σύγ' Ὀδυσσεύς ἐσσι, πατὴρ ἐμός· ἀλλάμε δαίμων
Θέλγει, ὄφρ' ἔτι μᾶλλον ὀδυρόμενος στεναχίζω·
Οὐ γάρ πως ἂν θνητὸς ἀνὴρ τάδε μηχανόῳτο
Ὧ αὐτοῦ γε νόῳ, ὅτε μὴ θεὸς αὐτὸς ἐπελθὼν
Ῥηϊδίως ἐθέλων θείη νέον, ἠὲ γέροντα.
Ἦ γάρ τοι νέον ἦσθα γέρων, καὶ ἀεικέα ἕσσο·
Νῦν δὲ θεοῖσιν ἔοικας· οἳ οὐρανὸν εὐρὺν ἔχουσιν.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς.
Τηλέμαχ', οὐ σε ἔοικε φίλον πατέρ' ἔνδον ἐόντα
Οὔτε τι θαυμάζειν περιώσιον, οὔτ' ἀγάασθαι.
Οὐ μὲν γάρ τοι ἔτ' ἄλλος ἐλεύσεται ἐνθάδ' Ὀδυσσεύς·
Ἀλλ' ὅδ' ἐγὼ τοιόσδε, παθὼν κακὰ, πολλὰ δ' ἀληθεὶς,
Ἤλυθον εἰκοστῷ ἔτεϊ ἐς πατρίδα γαῖαν.
Αὐτάρ τοι τόδε ἔργον Ἀθηναίης ἀγελείης,
Ἥτε με τοῖον ἔθηκεν, ὅπως ἐθέλει· δύναται γάρ·
Ἄλλοτε μὲν πτωχῷ ἐναλίγκιον, ἄλλοτε δ' αὖτε
Ἀνδρὶ νέῳ καὶ καλὰ περὶ χροῒ εἵματ' ἔχοντι.
Ῥηΐδιον δὲ θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
Ἠμὲν κυδῆναι θνητὸν, βροτὸν ἠδὲ κακῶσαι.
Ὣς ἄρα φωνήσας κατ' ἄρ' ἕζετο· Τηλέμαχος δὲ
Ἀμφιχυθεὶς πατέρ' ἐσθλὸν ὀδύρετο, δάκρυα λείβων.
Ἀμφοτέροισι δὲ τοῖσιν ὑφ' ἵμερος ὦρτο γόοιο·
Κλαῖον δὲ λιγέως, ἀδινώτερον, ἤ τ' οἰωνοὶ,

νος] ὑπομένων. 191. Πάρος δ' ἔχε] πρότερον δὲ κατεῖχεν ἑαυτὸν ἰσχυρῶς τοῦ μὴ δακρύοντα φαίνεσθαι 195· Θέλγει] ἐξαπατᾷ. 203. Περιώσιον] πε-

ὑπ' ἀνδρῶν δεχόμενος ὑβριστῶν; καὶ ταῦτ' εἰπὼν, κατεφίλει περιχυθεὶς τὸν φίλον υἱόν· καὶ ἃ ἰσχυρῶς μέχρι τέως κατέσχε δάκρυα, ἀθρόα νῦν κατὰ τῶν παρειῶν ἐπαφῆκε. Τηλέμαχος δ' οὖν· οὔπω γὰρ ἐδύνατο πιστεῦσαι αὐτὸν εἶναι τὸν Οδυσσέα· φθεγξάμενος αὖθις, οὐ δύναμαι, ἔφη, πείθεσθαι τὸν ἐμὸν πατέρα σὲ εἶναι· ἀλλὰ θεῶν τις εἶ, ἐθέλων ἐξαπατᾷν, ἵνα πόνον ἐν πόνοις, καὶ ὀδύνας προσθεὶς ὀδύναις, μεῖζόν μοι τὸ ἄλγος ποιῇς, ἐπιξαίνων οὕτω τὰ τραύματα· θνητὸς γὰρ αὐτὸς ἀφ' ἑαυτοῦ οὐκ ἂν τοιαῦτά γε μηχανῷτο, εἰ μή τις θεῶν ἐπιστὰς οὐρανόθεν, ἐκ νέου γέροντα, κἀκ γέροντος πάλιν νέον τινὰ ἀπεργάσαιτο· σὺ γὰρ ἀρτίως ἡμῖν γέρων ὢν, καὶ φαυλότατα ἀμπεχόμενος, νῦν αἴφνης ὡς ἀπὸ μηχανῆς θεοῦ ὅμοιος τοῖς τὸν οὐρανὸν κατοικοῦσιν, ἡμῖν ἀνεφάνης.

Ὀδυσσεὺς δὲ πρὸς ταῦτα· Τηλέμαχε, ἐμὸν φίλον τέκνον, οὐκέτι σε δεῖ περὶ ἐμοῦ θαυμάζοντ' ἀπιστεῖν· ἀλλὰ δέξαι τὸν σαυτοῦ φίλον πατέρα παραγενόμενον, μηκέτι μηδένα μηδαμῶς περιμένων ἕτερον ἥξοντα Ὀδυσσέα· ἀλλ' ἴσθι αὐτὸν τοῦτον ἐμὲ αὐτὸν ὄντα, ὃς πολλῶν καὶ δεινῶν πειραθεὶς, εἰκοστῷ ἤδη ἔτει εἰς φίλην ἧκον πατρίδα· ἡ δ' ἐν ἐμοὶ ἤδ' ἀλλοίωσις ἔργον ἐστὶν Ἀθηνᾶς· ἥτις οἵα ἐστι καὶ ἀγύρτῃ πτωχῷ ὅμοιον ἀπεργάσασθαι, καὶ νέῳ ἀνδρὶ καὶ εὐπαρύφῳ οὑτωσὶ παρεικάσαι· ἃ πάνθ' ὁρᾷς ὑπ' ἐκείνης ἐμοὶ νῦν μεμηχανημένα· ῥᾴδιον γὰρ θεοῖς καὶ τιμῆσαι τῶν θνητῶν, ὃν ἂν βούλωνται, καὶ κακῶσαι αὖ ἕτερον.

Ταῦτα δ' εἰπὼν ἐκαθέσθη. Τηλέμαχος δ' εὐθὺς περιφὺς αὐτῷ, κατεφίλει· κἀντεῦθεν θρῆνος καὶ κοπετὸς ἀμφετέροις περιπτυσσομένοις ἀλλήλους, πολὺς ξυνέῤῥωγε, δάκρυά τε ἀπ' ὀφθαλμῶν, καὶ στεναγμοὺς ἀφιεῖσιν ἀποκαρδίας· ἦν δ' ὁ γόος αὐτοῖς πολλῷ τῷ μέτρῳ οἰκτίων, ἢ φήναις καὶ αἰε-

---

ρισσόν. ἢ κατὰ τὸ προσῆκον, οἷον περὶ τὸ ὅσιον. — Ἀγάασθαι] ἐκπλή-

Φῆναι, ἢ αἰγυπιοὶ γαμψώνυχες, οἷσίτε τέκνα
Ἀγρόται ἐξείλοντο πάρος πετεηνὰ γενέσθαι·
Ὣς ἄρα τοίγ' ἐλεεινὸν ὑπ' ὀφρύσι δάκρυον εἶβον.
Καί νύ κ' ὀδυρομένοισιν ἔδυ φάος ἠελίοιο,
Εἰ μὴ Τηλέμαχος προσεφώνεεν ὃν πατέρ' αἶψα·
Ποίῃ γὰρ νῦν δεῦρο, πάτερ φίλε, νηΐ σε ναῦται
Ἤγαγον εἰς Ἰθάκην; τίνες ἔμμεναι εὐχετόωνται;
Οὐ μὲν γάρ τί σε πεζὸν ὀΐομαι ἐνθάδ' ἱκέσθαι.
Τὸν δ' αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς·
Τοιγὰρ ἐγώ τοι, τέκνον, ἀληθείην καταλέξω.
Φαίηκές μ' ἄγαγον ναυσίκλυτοι, οἵτε καὶ ἄλλους
Ἀνθρώπους πέμπουσιν, ὅτις σφέας εἰσαφίκηται·
Καί μ' εὕδοντ' ἐν νηΐ θοῇ ἐπὶ πόντον ἄγοντες,
Κάτθεσαν εἰς Ἰθάκην· ἔπορον δέ μοι ἀγλαὰ δῶρα,
Χαλκόν τε, χρυσόν τε ἅλις, ἐσθῆτά θ' ὑφαντήν·
Καὶ τὰ μὲν ἐν σπήεσσι θεῶν ἰότητι κέονται.
Νῦν αὖ δεῦρ' ἱκόμην ὑποθημοσύνῃσιν Ἀθήνης,
Ὄφρα κε δυσμενέεσσι φόνου πέρι βουλεύσωμεν.
Ἀλλ' ἄγε μοι μνηστῆρας ἀριθμήσας, κατάλεξον,
Ὄφρ' εἰδέω, ὅσσοι τε καὶ οἵτινες ἀνέρες εἰσίν·
Καί κεν ἐμὸν κατὰ θυμὸν ἀμύμονα μερμηρίξας,
Φράσσομαι, εἴ κεν νῶϊ δυνησόμεθ' ἀντιφέρεσθαι,
Μούνω ἄνευθ' ἄλλων, ἦ καὶ διζησόμεθ' ἄλλους.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Ὦ πάτερ, ἤτοι σεῖο μέγα κλέος αἰὲν ἄκουον,
Χεῖράς τ' αἰχμητὴν ἔμεναι καὶ ἐπίφρονα βουλήν·
Ἀλλὰ λίην μέγα εἶπες· ἄγη μ' ἔχει· οὐδέ κεν εἴη
Ἄνδρε δύω πολλοῖσι καὶ ἰφθίμοισι μάχεσθαι.
Μνηστήρων δ' οὔτ' ἂρ δεκὰς ἀτρεκὲς, οὔτε δύ' οἶαι,

τοῖς, ὧν ἂν τοὺς νεοσσοὺς ἀνὴρ θηρευτὴς ἐξ αὐτῆς τῆς νεοσσιᾶς ἀναρπάσῃ, ἔτι ἀπτῆνας τυγχάνοντας· καὶ δὴ ἐς δυόμενον οὕτως ἂν ἐκόψαντο ἥλιον, εἰ μὴ Τηλέμαχος φθεγξάμενος μόλις, ἤρετο τὸν πατέρα ἐκεῖνα. Τίς, ἔφη, ὦ φίλε πάτερ, ναῦς; τίνες δὲ καὶ τῶν ναυτῶν ἐξήγαγον ὡς ἡμᾶς; οὐ γάρ ἐστι πεζὸν ἐνταῦθα περαιωθῆναι.

Ὀδυσσεὺς δὲ πρὸς ταῦτα· Φαίακες, ἔφη, ὦ φίλον τέκος, οἱ παρὰ πᾶσι κλεϊζόμενοι ἐπὶ ναυτιλίᾳ· οὗτοι γὰρ ἄλλους τε πολλούς, οἳ ἂν γένωνταί ποτε παρ' αὐτούς, πέμπουσιν οἴκαδε, κἀμὲ ὑπνώττοντα ἐν νηῒ ἄγοντες, κατέθεσαν ἐς τὴν νῆσον, πολλὰ δόντες δῶρα χρυσόν τε, χαλκόν τε, καὶ ἐσθῆτα λαμπράν· ἃ ἐν τῷ σπηλαίῳ ἀθρόα νῦν θεῶν βουλῇ κεῖται· καὶ νῦν εἰμὶ ἐνταῦθα Ἀθηνᾶς ὑποθήκῃ, ἵνα μετ' ἀλλήλων τὸν τῶν μνηστήρων βουλεύσωμεν ὄλεθρον· ἀλλ' ἄγε λέγε μοι τὸ πλῆθος αὐτῶν, ὅσον, καὶ οἷοί τινές εἰσι τὰς ψυχάς, ἵν' εἰδῶ, εἰ μόνοις ἡμῖν εἴη ἐπιχειρητέα, ἢ καὶ ἄλλους μεταπεμπτέα.

Τηλέμαχος δὲ πρὸς ταῦτα, ὦ πάτερ, πολὺ μὲν τὸ κλέος πρός τε ἐμὲ καὶ πρὸς ἄλλους ἀφῖκται τὸ σόν, ἔντε βουλαῖς καὶ μάχαις ἄριστόν σε γενέσθαι· ἀλλὰ τοῦθ' ὑπερφυές μοι δοκεῖς εἰπεῖν, δύο ὄντας ἡμᾶς τοσούτοις καὶ τοιούτοις ἀνδράσιν ἐπιχειρεῖν ἐπιθέσθαι· οὐ γὰρ δέκ', ὦ πάτερ, οὐδὲ

πτεσθαι. 216. Ἀδινώτερον] οἰκτρότερον. 239. Διζησόμεθα] ζητήσομεν. 243. Ἄγη] θάμβος. ἔκπληξις.

Μνηστῆρες	Ἐκ μὲν Δουλιχίου.	52.	ὧν ὑπηρέται. 6
	Ἐκ δὲ Σάμης.	24.	
	Ἐκ δὲ Ζακίνθου.	20.	
	Ἐκ δὲ Ἰθάκης.	12.	4
		108	10

Ἐκ τούτων οὖν τοσούτων ὄντων δύο περιεσώθησαν Μέδων, ὁ κήρυξ καὶ Φή-

Ἀλλὰ πολὺ πλέονες· τάχα δ' εἴσεαι ἐνθάδ' ἀριθμόν.
Ἐκ μὲν Δουλιχίοιο δύω καὶ πεντήκοντα
Κοῦροι κεκριμένοι, ἓξ δὲ δρηστῆρες ἕπονται·
Ἐκ δὲ Σάμης πίσυρές τε καὶ εἴκοσι φῶτες ἔασιν,
Ἐκ δὲ Ζακύνθου ἔασιν ἐείκοσι κοῦροι Ἀχαιῶν,
Ἐκ δ' αὐτῆς Ἰθάκης δυοκαίδεκα πάντες ἄριστοι,
Καί σφιν ἅμ' ἐστὶ Μέδων κήρυξ καὶ θεῖος ἀοιδὸς
Καὶ δοιὼ θεράποντε, δαήμονε δαιτροσυνάων.
Τῶν εἴ κεν πάντων ἀντήσομεν ἔνδον ἐόντων,
Μὴ πολύπικρα καὶ αἰνὰ βίας ἀποτίσεαι ἐλθών.
Ἀλλὰ σύγ', εἰ δύνασαί τιν' ἀμύντορα μερμηρίξαι,
Φράζευ, ὅ κέν τις νῶϊν ἀμύνοι πρόφρονι θυμῷ.
Τὸν δ' αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς·
Τοιγὰρ ἐγὼν ἐρέω, σὺ δὲ σύνθεο, καί μευ ἄκουσον·
Καὶ φράσαι, εἴ κεν νῶϊν Ἀθήνη σὺν Διὶ πατρὶ
Ἀρκέσει, ἠέ τιν' ἄλλον ἀμύντορα μερμηρίξω.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Ἐσθλώ τοι τούτω γ' ἐπαμύντορε, τοὺς ἀγορεύεις,
Ὕψι περ ἐν νεφέεσσι καθημένω· ὥτε καὶ ἄλλοις
Ἀνδράσι τε κρατέουσι καὶ ἀθανάτοισι θεοῖσιν.
Τὸν δ' αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς·
Οὐ μέν τοι κείνω γε πολὺν χρόνον ἀμφὶς ἔσεσθον
Φυλόπιδος κρατερῆς· ὁπότε μνηστῆρσι καὶ ἡμῖν
Ἐν μεγάροισιν ἐμοῖσι μένος κρίνηται Ἄρηος.
Ἀλλὰ σὺ μὲν νῦν ἔρχευ ἅμ' ἠοῖ φαινομένηφιν,
Οἴκαδε καὶ μνηστῆρσιν ὑπερφιάλοισιν ὁμίλει·
Αὐτὰρ ἐμὲ προτὶ ἄστυ συβώτης ὕστερον ἄξει,
Πτωχῷ λευγαλέῳ ἐναλίγκιον ἠδὲ γέροντι·
Εἰ δέ μ' ἀτιμήσουσι δόμον κάτα, σὸν δὲ φίλον κῆρ
Τετλάτω ἐν στήθεσσι, κακῶς πάσχοντος ἐμεῖο.
Ἤνπερ καὶ διὰ δῶμα ποδῶν ἕλκωσι θύραζε,
Ἢ βέλεσιν βάλλωσι· σὺ δ' εἰσορόων ἀνέχεσθαι.
Ἀλλ' ἤτοι παύεσθαι ἀνωγέμεν ἀφροσυνάων,
Μειλιχίοις ἐπέεσσι παραυδῶν· οἱ δέ τοι οὔτι

δὶς τοσοῦτοι ἐκεῖνοι εἰσὶ τὸ πλῆθος· καὶ εἰ βούλει μου ἀριθμοῦντος ἀνέχεσθαι, ἐκ μὲν δολιχίου δύο καὶ πεντήκοντά εἰσι νέοι· οἷς ὑπηρέται ἕξ· ἐκ δὲ Σάμης τέσσαρές τε καὶ εἴκοσιν, ἐκ δὲ Ζακύνθου εἴκοσιν ἅπαντες· σὺν οἷς καὶ Μέδων ὁ κήρυξ, καὶ ἕτερος ἀοιδὸς, καὶ δύο γε δαιτυμόνες· οἷς εἰ ἄμ' ἐθελήσαιμεν ἐπιθέσθαι, δέος μήτι σφαλέντες, πικρᾶς τῆς τόλμης ὀναίμεθα· ἀλλ' εἴτινα καὶ βοηθὸν ποθὲν ἐπαξοίμεθα, ὃς προθύμως ἡμῖν συναρεῖται εἰς τὸν ἀγῶνα, τοῦτο ἤδη σκεπτέον.

Ὀδυσσεὺς δὲ πρὸς ταῦτα· τί δέ; Ζεὺς καὶ Ἀθηνᾶ οὐχ ἱκανοὶ ἡμῖν ἔσονται σύμμαχοι, ἀλλ' ἐπακτέον οἴῃ καὶ ἄλλους εἶναι;

Τηλέμαχος, μὰ Δι', ἔφη, ἀλλ' ἀντὶ πάντων οὗτοί γε δήπου, καθήμενοι ἐν νεφέλαις· διὸ πάντων θνητῶν τε καὶ ἀθανάτων κρατοῦσι.

Ὀδυσσεὺς δὲ πρὸς ταῦτα· ἴσθι τοίνυν, ὁπόθ' ὁ Ἄρης ἀρεῖ ἐν τῷ ἡμετέρῳ οἴκῳ τὰ τοῦ πολέμου σημεῖα, αὐτίκα τοὺς θεοὺς τούτους ἀμφοτέρους ἐν τῇ μάχῃ παρεσομένους, καὶ συναντιληψομένους ἡμῖν ἀξίως· ἀλλὰ σύγε σπεῦσον οἴκαδε ἅμα ἕῳ, κᾀκεῖ συμφέρου πρᾴως, συγχρωματιζόμενος τοῖς ἀλαζόσιν ἐκείνοις· ἔπειθ' ὁ συβώτης καθ' ἡσυχίαν ἄξει κᾀμὲ, πτωχῷ ἐλεεινῷ καὶ ἐς βαθὺ γῆρας ἐληλακότι ὅμοιον ὄντα· ἔνθ' εἰ ἴδοις με ἀτιμώμενον παρὰ τῶν ἐχθρῶν, πάσῃ σιγῇ ἀνέχου, κᾂν βέλεσι βάλωσι· τάχα γὰρ ἂν γένοιντο καὶ τοιαῦτα· παύσασθαι γεμὴν αὐτοὺς ἐξυβρίζοντας παραπείθειν πρᾴως τε καὶ ἠπίως οὐθὲν ἂν κωλύοι· ἀλλ' ἴσθι

μιος ὁ ἀοιδός. 253. Δαιτροσυνάων] μαγειρικῶν ἔργων. 254. Ἀντήσομεν] μετάσχωμεν, ἀπαντήσωμεν, 256, Ἀμύντορα] βοηθὸν ἔξωθεν. 264. Ὦτε] οἵτε, δυϊκῶς ληφθήτω. 267. Ἀμφὶς μακράν. 276. Διὰ δῶμα] διὰ τοῦ δώματος 279. Παραυδῶν] παραπείθων· 280, Αἴσιμον ἦμαρ] τὸ εἱμαρμένον ἁπλῶς.

Πείσονται· δὴ γάρ σφι παρίσταται αἴσιμον ἦμαρ.
Ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
Ὁππότε κεν πολύβουλος ἐνὶ φρεσὶ θήσει Ἀθήνη,
Νεύσω μέν τοι ἐγὼ κεφαλῇ. σὺ δ' ἔπειτα νοήσας,
Ὅσσα τοι ἐν Μεγάροισιν Ἀρήϊα τεύχεα κεῖται,
Ἐς μυχὸν ὑψηλοῦ θαλάμου καταθεῖναι ἀείρας
Πάντα μάλ'· αὐτὰρ μνηστῆρας μαλακοῖς ἐπέεσσιν
Παρφάσθαι, ὅτε κέν σε μεταλλῶσιν ποθέοντες·
Ἐκ καπνοῦ κατέθηκ'· ἐπεὶ οὐκέτι τοῖσιν ἐῴκει,
Οἷά ποτε Τροίηνδε κιὼν, κατέλειπεν Ὀδυσσεὺς,
Ἀλλὰ κατήκισται, ὅσσον πυρὸς ἵκετ' ἀϋτμή.
Πρὸς δ' ἔτι καὶ τόδε μεῖζον ἐνὶ φρεσὶ θῆκε Κρονίων,
Μή πως οἰνωθέντες, ἔριν στήσαντες ἐν ὑμῖν,
Ἀλλήλους τρώσητε, καταισχύνητέ τε δαῖτα
Καὶ μνηστύν· αὐτὸς γὰρ ἐφέλκεται ἄνδρα σίδηρος.
Νῶϊν δ' οἴοισιν δύο φάσγανα καὶ δύο δοῦρε
Καλλιπέειν καὶ δοιὰ βοάγρια χερσὶν ἑλέσθαι,
Ὡς ἂν ἐπιθύσαντες ἑλοίμεθα· τοὺς δέ κ' ἔπειτα
Παλλὰς Ἀθηναίη θέλξει καὶ μητίετα Ζεύς.
Ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
Εἰ ἐτεόν γ' ἐμός ἐσσι καὶ αἵματος ἡμετέροιο,
Μήτις ἔπειτ' Ὀδυσσῆος ἀκουσάτω ἔνδον ἐόντος,
Μήτ' οὖν Λαέρτης ἴστω τόγε, μήτε συβώτης,
Μήτε τις οἰκήων, μήτ' αὐτὴ Πηνελόπεια·
Ἀλλ' οἷοι, σύ τ', ἐγώ τε, γυναικῶν γνώομεν ἰθύν·
Καί κέ τεο δμώων ἀνδρῶν ἔτι πειρηθεῖμεν,
Ἡμὲν ὅπου τις νῶ τίει καὶ δείδιε θυμῷ,
Ἠδ' ὅτις οὐκ ἀλέγει, σὲ δ' ἀτιμᾷ, τοῖον ἐόντα.

---

287. Παρφάασθαι] παραπείθειν, ἐξαπατᾷν. 288. Ἐκ καπνοῦ. 290. Κατήκισται] ἠφάνισται, ἐβλάβησαν ἀμεληθέντα οὕτω μᾶλλον, ὅσον ὁ καπνὸς κα-

ἐκείνους οὐδ' οὕτω σοι πεισομένους· τὸ γὰρ τέλος αὐτῶν ἐγγύς ἐστιν ἤδη. Πρὸς δὲ τούτοις μέμνησό μοι κἀκεῖνο· ἐπειδὰν γὰρ τάχιστ' ἴδῃς με νεύοντά σοι τῇ κεφαλῇ, τῆς Ἀθηνᾶς κελευσάσης μοι τοῦτο, τότε δὴ ἄρας αὐτὸς, ὅσα τῶν ὅπλων ἐν τῷ δώματι κεῖται, μετάθες αὐτὰ ἄνω εἰς τὸ ὑπερῷον κατὰ τὸ μυχαίτατον· καὶ εἴτις ἔροιτο, τί τοῦτο ποιεῖς, ἐρεῖς αὐτῷ διὰ τὸν καπνόν· οὐκέτι γὰρ ὁρῶ αὐτὰ, οἷα ἦν, Ὀδυσσέως ἐπὶ Τροίαν ἀπάραντος· διέφθαρται γὰρ ὅλως ὑπὸ τοῦ καπνοῦ· ἔπειτα κἀκεῖνό μοι ἐπῆλθεν ὑπὸ τοῦ Διὸς ἐνθυμηθῆναι, μήποθ' ὑμῶν τινες οἰνωθέντες, ἔλθητε εἰς ἔριν τινὰ πρὸς ἀλλήλους· εἶτα τρωθέντες, τήν τε τράπεζαν καταισχύνητε, καὶ τὴν μνηστείαν αὐτὴν, ἐφ' ᾗ τυγχάνετε συνελθόντες, ἀπεργάσησθε ἀτυχῆ· σιδήρου γὰρ φύσις καὶ ἄκοντας πολλάκις εἰς μάχην ὑποκναίει τοὺς ἄνδρας· τοιούτοις λόγοις ἐκείνους παράγων, ἀνάπαυε· μέμνησο δὲ καταλιπεῖν τινα τούτων ἡμῖν γ' αὐτοῖς ξίφη τε, καὶ δόρατα, καὶ ἀσπίδας ἀνὰ δύο ἑκάστων, ἵν' ἔνοπλοι ἀνόπλοις αὐτοῖς ἐπιπέσωμεν· ῥᾳδίως δὲ λήσεις ταῦτα κατασκευάζων, παραγομένων ἐκείνων ὑπό τε τοῦ Διὸς καὶ τῆς Ἀθηνᾶς, ὡς πορρωτάτω ἀπὸ τοῦ πράγματος, ὥστ' μηδ' ἐς νοῦν αὐτοῖς ἐλθεῖν τῶν σκευωρουμένων μηδέν· Πρόσχες δ' οὖν μοι κἀκεῖνο, εἰ ἀληθῶς ἐμὸς παῖς εἶ, κἀκ τοὐμοῦ συμπέπηγας αἵματος, μηδένα μηδαμῶς ταῦτ' εἰδέναι οὕτως ὑφ' ἡμῶν τυρευόμενα, μήτε Λαέρτιον τὸν πατέρα, μήτε Πηνελόπην, μήτ' Εὔμαιον, μήθ' ὅλως τῶν οἰκετῶν ὁντινοῦν, μήτε τὰ σκευωρούμενα, μήτ' Ὀδυσσέα παραγενόμενον· δεῖ γὰρ πρῶτον πεῖραν λαβόντας τῶν τ' ἀνδρῶν καὶ τῶν γυναικῶν ἔνδον, γνῶναι, ὅστις μὲν αὐτῶν πιστὸς ὢν, αἰδεῖταί σε καὶ τιμᾷ· ὅστις δὲ τοὐναντίον καταφρονεῖ.

τελάμβανεν αὐτά. 296. Βοάγρια] δύο ἀσπίδας ἐκ δέρματος ἀγρίων βοῶν. 304. Ἰθὺν] τὴν προαίρεσιν. 305. Καί κεν τέο δμώων] καίτινος τῶν δμώων

Τὸν δ' ἀπαμειβόμενος προσεφώνεε φαίδιμος υἱός·
Ὦ πάτερ, ἤτοι ἐμὸν θυμὸν καὶ ἔπειτά γ', ὀΐω,
Γνώσεαι· οὐ μὲν γάρ τι χαλιφροσύναι μέ γ' ἔχουσιν·
Ἀλλ' οὔτοι τόδε κέρδος ἐγὼν ἔσεσθαι ὀΐω
Ἡμῖν ἀμφοτέροισι· σὲ δὲ φράζεσθαι ἄνωγα.
Δηθὰ γὰρ αὔτως εἴσῃ ἑκάστου πειρητίζων,
Ἔργα μετερχόμενος· τοὶ δ' ἐν μεγάροισιν ἕκηλοι
Χρήματα δαρδάπτουσιν ὑπέρβιον, οὐδ' ἔπι φειδώ.
Ἀλλ' ἤτοι σε γυναῖκας ἐγὼ δεδάασθαι ἄνωγα,
Αἵτε σ' ἀτιμάζουσι, καὶ αἳ νηλιτεῖς εἰσίν·
Ἀνδρῶν δ' οὐκ ἂν ἔγωγε κατὰ σταθμοὺς ἐθέλοιμι
Ἡμέας πειράζειν, ἀλλ' ὕστερα ταῦτα πένεσθαι,
Εἰ ἐτεόν γέ τι οἶσθα Διὸς τέρας αἰγιόχοιο.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Ἡ δ' ἄρ' ἔπειτ' Ἰθάκηνδε κατήγετο νηῦς εὐεργής,
Ἣ φέρε Τηλέμαχον Πυλόθεν καὶ πάντας ἑταίρους·
Οἱ δ' ὅτε δὴ λιμένος πολυβενθέος ἐντὸς ἵκοντο,
Νῆα μὲν οἵγε μέλαιναν ἐπ' ἠπείροιο ἔρυσσαν,
Τεύχεα δέ σφ' ἀπένεικαν ὑπέρθυμοι θεράποντες·
Αὐτίκα δ' ἐς Κλυτίοιο φέρον περικαλλέα δῶρα.
Αὐτὰρ κήρυκα πρόεσαν δόμον εἰς Ὀδυσσῆος,
Ἀγγελίην ἐρέοντα περίφρονι Πηνελοπείῃ,
Οὕνεκα Τηλέμαχος μὲν ἐπ' ἀγροῦ, νῆα δ' ἀνώγει
Ἄστυδ' ἀποπλείειν· ἵνα μὴ δείσασ' ἐνὶ θυμῷ
Ἰφθίμη βασίλεια, τέρεν κατὰ δάκρυον εἴβοι.
Τῷ δὲ συναντήτην κῆρυξ καὶ δῖος ὑφορβὸς
Τῆς αὐτῆς ἕνεκ' ἀγγελίης, ἐρέοντε γυναικί.
Ἀλλ' ὅτε δή ῥ' ἵκοντο δόμον θείου βασιλῆος,
Κῆρυξ μέν ῥα μέσῃσι μετὰ δμωῇσιν ἔειπεν·
Ἤδη τοι, βασίλεια, φίλος παῖς ἐλήλουθεν.
Πηνελοπείῃ δ' εἶπε συβώτης ἄγχι παραστὰς

Τηλέμαχος δὲ πρὸς ταῦτα· οἷος μὲν ἐγὼ, ὦ πάτερ, τάχ' ἂν ἔπειτα γνοίης, εἰ ἄξιός σοι παῖς ἐγενόμην· οὐ γὰρ βλάξ τις ἔγωγ', οὐδ' ἠλίθιος· ἀλλ' ὧν με κελεύεις, οὐ πάνθ' ὁρῶ συνοίσοντα ἡμῖν εἰς τὰ πράγματα· διὸ καλὸν ἂν εἴη σκέψασθαι αὖθις περὶ τούτων ἀκριβέστερον ἐξετάσαντας· τὸ γὰρ τῶν οἰκετῶν ἑκάστου ἐθέλειν πεῖραν λαβεῖν, διαγινώσκοντας ὅ,τι ἕκαστος πράττοι, διατρίβειν ἐστὶ τὸν χρόνον· οἱ δὲ, καθήμενοι φθείρουσι τὰ ἡμέτερα, ἐσθίοντές τε, καὶ πίνοντες· τὰς μὲν οὖν γυναῖκας διασκέψασθαι ὅ,τι γε καὶ ποιοῦσι, τάς τ' αἰδουμένας, καὶ μὴ, κἀγώ φημι· περὶ δὲ τῶν ἀνδρῶν οὐκ ἂν εἴποιμι ἔν γε τῷ παρόντι· ἐπειδὰν δὲ τάχιστα καλῶς ἡμῖν τἄλλα σχῇ, εἴγ' ἀληθῶς τέρας τι ἐφάνη σοι παρὰ τοῦ Διὸς, τότε δὴ ἐξετάσομεν καὶ τούτους ἐν μέρει καὶ ἐπ' ἀδείας. Οὗτοι μὲν δὴ οὕτω πρὸς ἀλλήλους διαλεγόμενοι, ἔπραττον.

Ἡ δὲ ναῦς ἡ ἀπὸ τῆς Πύλου ἀγαγοῦσα Τηλέμαχον, κατήχθη ἤδη εἰς τὴν Ἰθάκην· ἔνθ' οἱ ἑταῖροι ἀνελκύσαντες αὐτὴν, συνέστειλαν τὰ ἱστία· καὶ ἀνελόμενοι τὰ δῶρα, ἐκόμισαν αὐτὰ ἐς Κλυτίου· καὶ παραχρῆμα ἔπεμψαν τὸν ἀγγελοῦντα τῇ Πηνελόπῃ Τηλέμαχον ἐπανήκοντα μὲν ἐκ Πύλου, ἀπελθόντα δὲ ἐς τὸν ἀγρὸν ὡς τὸν Ἔρμαιον, ἵνα μὴ ἡ μήτηρ ἀκούσασα περὶ τῆς νεὼς, εἰς ὑπόνοιαν ἔλθῃ περὶ τοῦ υἱοῦ, καὶ ταραττομένη λυπῆται.

Ὁ μὲν οὖν κήρυξ ἐρχόμενος, συμβέβληται καθ' ὁδὸν τῷ Εὐμαίῳ, ἐπὶ ταὐτὰ καὶ αὐτῷ ἀνύτοντι πρὸς τὴν πόλιν· ὡς οὖν ἄμφω ἐντὸς τῶν βασιλείων ἐγένοντο, ὁ μὲν κήρυξ εἰσελθὼν ἐν μέσαις ταῖς γυναιξὶ πρὸς τὴν Πηνελόπην, βασίλισσα,

---

310. χαλιφρεσύναι] ἔκλυτοι φρένες. 315. Ἔπι] ἐστί. 316. Νηλητεῖς] ἀνα-

Πάνθ', ὅσα οἱ φίλος υἱὸς ἀνώγει μυθήσασθαι.
Αὐτὰρ ἐπειδὴ πᾶσαν ἐφημοσύνην ἀπέειπεν,
Βῆ ῥ' ἴμεναι μεθ' ὕας, λίπε δ' ἕρκεά τε, μέγαρόν τε.
Μνηστῆρες δ' ἀκάχοντο, κατήφησάν τ' ἐνὶ θυμῷ·
Ἐκ δ' ἦλθον μεγάροιο παρὲκ μέγα τειχίον αὐλῆς,
Αὐτοῦ δὲ προπάροιθε θυράων ἑδριόωντο.
Τοῖσιν δ' Εὐρύμαχος, Πολύβου παῖς, ἦρχ' ἀγορεύειν·
Ὦ φίλοι, ἦ μέγα ἔργον ὑπερφιάλως τετέλεσται
Τηλεμάχῳ ὁδὸς ἥδε· φάμεν δέ οἱ οὐ τελέεσθαι.
Ἀλλ' ἄγε, νῆα μέλαιναν ἐρύσσομεν, ἥτις ἀρίστη,
Ἐς δ' ἐρέτας ἁλιῆας ἀγείρομεν, οἵ κε τάχιστα
Κείνοις ἀγγείλωσι θοῶς οἴκονδε νέεσθαι.
Οὔπω πᾶν εἴρηθ', ὅτ' ἄρ' Ἀμφίνομος ἴδε νῆα,
Στρεφθεὶς ἐκ χώρης, λιμένος πολυβενθέος ἐντὸς,
Ἱστία τε στέλλοντας, ἐρετμά τε χερσὶν ἔχοντας.
Ἡδὺ δ' ἄρ' ἐκγελάσας μετεφώνεεν οἷς ἑτάροισιν·
Μή τιν' ἔτ' ἀγγελίην ὀτρύνομεν· οἵδε γὰρ ἔνδον·
Ἤ τίς σφιν τόδ' ἔειπε θεῶν, ἢ εἴσιδον αὐτοὶ
Νῆα παρερχομένην, τὴν δ' οὐκ ἐδύναντο κιχῆναι.
Ὣς ἔφαθ'· οἱ δ' ἀνστάντες, ἔβαν ἐπὶ θῖνα θαλάσσης·
Αἶψα δὲ νῆα μέλαιναν ἐπ' ἠπείροιο ἔρυσσαν,
Τεύχεα δέ σφ' ἀπένεικαν ὑπέρθυμοι θεράποντες.
Αὐτοὶ δ' εἰς ἀγορὴν κίον ἀθρόοι, οὐδέ τιν' ἄλλον
Εἴων οὔτε νέων μεταΐζειν, οὔτε γερόντων·
Τοῖσιν δ' Ἀντίνοος μετέφη, Εὐπείθεος υἱός·
Ὢ πόποι, ὡς τόνδ' ἄνδρα θεοὶ κακότητος ἔλυσαν.

μάρτητοι. 340. Ἐφημοσύνην] ἐφετμὴν, ἐντολήν. — Ἀπέειπε] ἐτελείωσε. 341. Μεθ' ὕας] εἰς τοὺς σύας. — Ἕρκεα] τὰ βασίλεια. 342. Ἀκάχοντο] ἐλυποῦντο, καὶ ἐσκυθρώπαζον. 343. Παρὲκ μέγα τειχίον] ἔξω τῆς αὐλῆς

ἔφη, ὁ σὸς παῖς ἐπανῆκεν ἀπὸ τῆς Πύλου· ἔπειτα Εὔμαιος προσιὼν ἐκοινώσατο αὐτῇ πρὸς τὸ οὖς πάνθ', ὡς προστέτακται αὐτῷ παρὰ Τηλεμάχου· ταῦτ' εἰπὼν ἤνυτεν αὖ πάλιν ὡς ἐπὶ τὸν σταθμόν· οἱ δὲ μνηστῆρες, ὡς διηκούσθη ταῦτα, ἐγένοντο σκυθρωποὶ, καὶ ἐξελθόντες ἐκεῖθεν, συνήχθησαν πρὸ τῶν θυρῶν παρὰ τὸ τειχίον· ἔνθ' Εὐρύμαχος ὁ Πολύβου ἦρξ' αὐτοῖς λόγου τοιούτου. Μέγα μὲν, ὦ φίλοι, ἔμοιγε δοκεῖ καὶ σφόδρα ὑπεροπτικὸν πρὸς ἡμᾶς Τηλεμάχῳ πεπρᾶχθαι ἡμεῖς δ', ὥσπερ εὐήθεις τινὲς ἐπανήξειν αὐτὸν οὐδέποτ' φόμεθα. Ἄγετ' οὖν καθελκύσαντες τῶν νεῶν τὴν ταχίστην, πέμπωμεν πρὸς τοὺς ἡμετέρους τοὺς ἐροῦντας αὐτοῖς ἐπανήκειν.

Ὁ μὲν οὖν οὐκ ἔφθη ταῦτ' εἰπὼν καὶ Ἀμφίνομος, στραφεὶς πρὸς τὸν λιμένα, ἰδὼν τὴν ναῦν, ἐφ' ἣν ἤμελλον ἄλλην πέμψειν, καὶ ἧς τὰ ἱστία οἱ ἐν ἐκείνῃ, συστείλαντες ἤρεσσον, γελάσας ἡδὺ, παυώμεθα, ἔφη, ὦ οὗτοι, τῆς σπουδῆς ταύτης· οἵδε γὰρ ἔνδον εἰσὶ τοῦ λιμένος, εἴτε θεῶν τινὸς εἰπόντος, εἴτε αὐτοὶ ἰδόντες αὐτοῖς ὀφθαλμοῖς παραλλάξασαν τὴν τοῦ Τηλεμάχου πρὸς σωτηρίαν.

Ταῦτα δ' ἀκούσαντες ὥρμησαν ὁμοθυμαδὸν ἐπὶ τὸν λιμένα· καὶ οἱ μὲν ναῦται ἀνελκύσαντες, συνέστειλαν αὐτῇ τὰ ἱστία· αὐτοὶ δὲ συνελθόντες εἰς ἀγορὰν καταμόνας, μηδενὶ τῶν ἄλλων, οὐ νέῳ, οὐ γέροντι, οὐδ' ὅτῳ δήποτε ἐπιτρέποντες παρακαθεσθῆναι, ἐβουλεύοντο περὶ τῶν παρόντων· ἐν οἷς Ἀντίνοος ὁ Εὐπείθους ἀναςὰς, ἔφη πρὸς αὐτούς. Ὢ πόποι, θεοὶ ἄρα τὸν ἄνδρ' ἐκεῖνον ἀπαλλάξαι τοῦ κινδύνου δοκοῦσιν·

πρὸς τῷ περιβόλῳ πρὸ τῶν θυρῶν 349. Ἐρέτας ἁλιῆας] ἐκ παραλλήλου, ὡς ἄμφω ταὐτὸν δυνάμενα. 355. Ἀγγελίαν] ἀντὶ ἀγγέλους, κατὰ μετωνυμίαν τὸ ἀφῃρημένον ἀντὶ τοῦ συγκεκριμένου. 357. Κιχῆναι] ἀπαντῆσαι. 362. Μεταΐζειν] καθέζεσθαι μεταξύ. 367. Ἄσαμεν ἐκοιμήθημεν. 372. Ἦμας]

Ἤματα μὲν σκοποὶ ἶζον ἐπ' ἄκριας ἠνεμοέσσας,
Αἰὲν ἐπασσύτεροι· ἅμα δ' ἠελίῳ καταδύντι
Οὔποτ' ἐπ' ἠπείρου νύκτ' ἄσαμεν, ἀλλ' ἐνὶ πόντῳ
Νηῒ θοῇ πλείοντες, ἐμίμνομεν Ἠῶ δῖαν,
Τηλέμαχον λοχόωντες, ἵνα φθίσωμεν ἑλόντες
Αὐτόν· τὸν δ' ἄρα τέως μὲν ἀπήγαγεν οἴκαδε δαίμων.
Ἡμεῖς δ' ἐνθάδε οἱ φραζώμεθα λυγρὸν ὄλεθρον
Τηλεμάχῳ· μηδ' ἧμας ὑπεκφύγοι· οὐ γὰρ ὀΐω
Τούτου γε ζώοντος ἀνύσσεσθαι τάδε ἔργα.
Αὐτὸς μὲν γὰρ ἐπιστήμων βουλῇ τε νόῳ τε·
Λαοὶ δ' οὐκέτι πάμπαν ἐφ' ἡμῖν ἦρα φέρουσιν.
Ἀλλ' ἄγετε, πρὶν κεῖνον ὁμηγυρίσασθαι Ἀχαιοὺς
Εἰς ἀγορήν· οὐ γάρ τι μεθησέμεναί μιν ὀΐω,
Ἀλλ' ἀπομηνίσει, ἐρέει δ' ἐν πᾶσιν ἀναστὰς,
Οὕνεκά οἱ φόνον αἰπὺν ἐράπτομεν, οὐδ' ἐκίχημεν·
Οἱ δ' οὐκ αἰνήσουσιν ἀκούοντες κακὰ ἔργα·
Μήτι κακὸν ῥέξωσι, καὶ ἡμέας ἐξελάσωσιν
Γαίης ἡμετέρης, ἄλλων δ' ἀφικώμεθα δῆμον
Ἀλλὰ φθέωμεν ἑλόντες ἐπ' ἀγροῦ νόσφι πόληος.
Ἢ ἐν ὁδῷ, βίοτον δ' αὐτοὶ καὶ κτήματ' ἔχωμεν,
Δασσάμενοι κατὰ μοῖραν ἐφ' ἡμέας, οἰκία δ' αὖτε
Κείνου μητέρι δοῖμεν ἔχειν, ἠδ' ὅστις ὀπυίοι.
Εἰ δ' ὑμῖν ὅδε μῦθος ἀφανδάνει, ἀλλὰ βούλεσθε
Αὐτόν τε ζώειν, καὶ ἔχειν πατρώϊα πάντα,
Μή οἱ χρήματ' ἔπειτα ἅλις θυμηδέ' ἔδωμεν,
Ἐνθάδ' ἀγειρόμενοι, ἀλλ' ἐκ μεγάροιο ἕκαστος
Μνάσθω ἐέδνοισιν διζήμενος· ἡ δέ κ' ἔπειτα
Γήμαιθ', ὅς κε πλεῖστα πόροι καὶ μόρσιμος ἔλθοι.

ἡμᾶς. 375. Ἦρα] χάριν. 377. Μεθησέμεναι] παραβλέψειν, καταλείψειν τὸ

ἡμῖν γὰρ οὐδὲν τῶν πρὸς τοῦτο ἠμέληται, τὴν θ' ἡμέραν ἑκάστην ἐπὶ τῶν ἄκρων ἄλλους ἐπ' ἄλλοις τοῖς ἄκροις ἀεὶ καθιζόντων ἡμῶν, καὶ τὰς νύκτας αὐτὰς ἅμα δυομένῳ ἡλίῳ ἐπιπλεόντων, καὶ ἐνεδρευόντων, ὅπως μὴ λαθὼν παραλλάξῃ· ὁ δὲ, οὐκ οἶδ' ὅπως διαδρὰς, ἔνδον ἐστίν· ὥρα οὖν ἡμῖν βουλεύσασθαι περὶ τῶν παρόντων, ὅπως τάχισθ' ὅτῳ τρόπῳ ἀποκτενοῦμεν ἐκεῖνον· ἄλλως γὰρ οὐχ ὁρῶ τὰ πράγμαθ' ἡμῖν μὴ οὐχὶ ἐσόμενα πονηρά· τί γὰρ ἂν καὶ πράξαιμεν, ὧν σπουδάζομεν ἤδη, ζῶντος αὐτοῦ, καὶ ἐπὶ γῆς δερκομένου, ἀνδρὸς ἤδη καθεστηκότος αὐτοῦ, εὖ μὲν βουλεύεσθαι, εὖ δὲ καὶ πράττειν ἐπισταμένου; καὶ ταῦτα τῶν πολλῶν ὄντων ἡμῖν ὑπόπτων κεχαρισμένα αὐτῷ ποιήσειν; ταῦτ' οὖν δεῖ ταχέως σκοπεῖν ἡμᾶς, πρὶν ἢ ἐκεῖνον σύλλογον ποιησάμενον τῶν Ἰθακησίων, κοινῶσαι αὐτοῖς, ἃ ἡμῖν μεμελέτηται μὲν, πέπρακται δ' οὔ· οὐ γὰρ ἔσθ' ὅπως ὁρῶ αὐτὸν καθυφήσοντα, εἴγε δύναιτο· οἱ δὲ ἀκούσαντες, πῶς οὐκ ἂν ὁρμηθέντες κακῶς ἡμᾶς ποιῆσαι θελήσειαν, εἴξαντες ὀργῇ; καὶ εἰ μὴ ἄλλο, ἀλλάγε ἐξελάσαι ἡμᾶς ἐντεῦθεν ἐς ἀλλοδαπήν; ἐπιθώμεθα τοίνυν αὐτῷ πόῤῥω τῆς πόλεως ἔτι ἐπὶ τοῦ ἀγροῦ, ἢ ὅπῃ γ' ἐντύχοιμεν αὐτῷ βαδίζοντι ὡς ἐπὶ τὴν πόλιν· τῶν δὲ κτημάτων αὐτοῦ, τὰ μὲν ἡμεῖς γ' αὐτοὶ δασάμενοι πρὸς ἀλλήλους, νεμώμεθα· τὴν δὲ οἰκίαν καταλίπωμεν Πηνελόπῃ, καὶ ὃς ἂν αὐτῇ εἰς γάμον ἀγάγηται· εἰ δ' αὖ ὑμῖν οὐκ ἀρέσκει ταῦτα, αἱρουμένοις ἐκεῖνον ζῶντα, τῶν πατρῴων κύριον εἶναι, μηκέτι ἐνδιατρίβωμεν ᾧδε, ἀλλὰ τὴν ταχίστην ἀπαλλαττοίμεθα ἕκαστος οἴκαδε, κἀκεῖθεν πράττωμεν τὸ περὶ τὸν γάμον· ἡ δὲ ἑλέσθω, ᾧ ἂν ἀρέσκηται, ἤτοι τῷ τὰ πλείω διδόντι, ἢ ὃν εἵμαρται αὐτῇ ἀγαγέσθαι.

πάθος. 387. Ἀφανδάνει] ἀπαρέσκει. 392. Μόρσιμος] ἐκ τῆς Μοίρας ὡρισ-

Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.
Τοῖσιν δ' Ἀμφίνομος ἀγορήσατο καὶ μετέειπεν,
Νίσου φαίδιμος υἱὸς, Ἀρητιάδαο ἄνακτος·
Ὅς ῥ' ἐκ Δουλιχίου πολυπύρου, ποιήεντος,
Ἡγεῖτο μνηστῆρσι, μάλιστα δὲ Πηνελοπείῃ
Ἥνδανε μύθοισι· φρεσὶ γὰρ κέχρητ' ἀγαθῇσιν·
Ὅ σφιν ἐϋφρονέων, ἀγορήσατο καὶ μετέειπεν·
Ὦ φίλοι, οὐκ ἂν ἔγωγε κατακτείνειν ἐθέλοιμι
Τηλέμαχον· δεινὸν δὲ γένος βασιλήϊόν ἐστιν
Κτείνειν· ἀλλὰ πρῶτα θεῶν εἰρώμεθα βουλάς.
Εἰ μέν κ' αἰνήσωσι Διὸς μεγάλοιο θέμιστες,
Αὐτός τε κτενέω, τούς τ' ἄλλους πάντας ἀνώξω·
Εἰ δέ κ' ἀποτρωπῶσι θεοὶ, παύσασθαι ἄνωγα.
Ὣς ἔφατ' Ἀμφίνομος· τοῖσιν δ' ἐπιήνδανε μῦθος.
Αὐτίκ' ἔπειτ' ἀνστάντες ἔβαν δόμον εἰς Ὀδυσῆος·
Ἐλθόντες δ' ἐκάθιζον ἐπὶ ξεστοῖσι θρόνοισιν.
Ἡ δ' αὖτ' ἄλλ' ἐνόησε περίφρων Πηνελόπεια,
Μνηστήρεσσι φανῆναι ὑπέρβιον ὕβριν ἔχουσιν.
Πεύθετο γὰρ οὗ παιδὸς ἐνὶ μεγάροισιν ὄλεθρον·
Κῆρυξ γάρ οἱ ἔειπε Μέδων, ὃς ἐπεύθετο βουλάς.
Βῆ δ' ἰέναι μέγαρόνδε σὺν ἀμφιπόλοισι γυναιξίν·
Ἀλλ' ὅτε δὴ μνηστῆρας ἀφίκετο δῖα γυναικῶν,
Στῆ ῥα παρὰ σταθμὸν τέγεος πύκα ποιητοῖο,
Ἄντα παρειάων σχομένη λιπαρὰ κρήδεμνα·
Ἀντίνοον δ' ἐνένιπτεν ἔπος τ' ἔφατ', ἔκτ' ὀνόμαζεν·
Ἀντίνο' ὕβριν ἔχων, κακομήχανε, καὶ δέ σέ φασιν
Ἐν δήμῳ Ἰθάκης μεθ' ὁμήλικας ἔμμεν' ἄριστον
Βουλῇ καὶ μύθοισι· σὺ δ' οὐκ ἄρα τοῖος ἔησθα.
Μάργε, τίη δὲ σὺ Τηλεμάχῳ θάνατόν τε, μόρον τε
Ῥάπτεις, οὐδ' ἱκέτας ἐμπάζεαι, οἷσιν ἄρα Ζεὺς

Ταῦτα δ' αὐτοῦ εἰπόντος, οἱ μὲν ἄλλοι διὰ πάσης ἐγένοντο σιωπῆς· Ἀμφίνομος δὲ ὁ Νήσου υἱωνὸς Ἀρητιάδου· ὃς ἥγεῖτο μὲν τῶν ἐκ Δουλιχίου μνηστήρων· ἐκεχάριστο δὲ μᾶλλον τῇ Πηνελόπῃ, ἐφ' οἷς ἐπὶ πᾶσιν ἐχρῆτο ὀρθοτέρῳ τῷ λόγῳ· οὗτος δὴ ἀναστὰς ἔφη. Ἔγωγε μὲν, ὦ φίλοι, οὐκ ἂν φαίην ἀποκτεῖναι Τηλέμαχον· δεινὸν γὰρ δοκεῖ ἔμοιγε καὶ ἀνόσιον ἄνδρ' ἐκ γένους βασιλικοῦ ἀνελεῖν· ἀλλὰ πρῶτον χρησώμεθα, ὥς εἰκὸς, τοῖς θεοῖς· καὶ εἰ μὲν Ζεὺς ἡμῖν ἐπινεύσειε τοῦτο, ἐγώ τε πρῶτον τὴν χεῖρα ἐπιβαλῶ, καὶ ὑμῖν τοῦτο παρακελεύσομαι· εἰ δ' ἀποφαίη ἐκεῖνος, παύσασθαι καὶ ἡμᾶς φημὶ δεῖν ταῦτα φρονοῦντας. Τούτων οὖν οὕτως εἰρημένων, ἐπῄνεσαν πάντες· καὶ ἀναστάντες ἐβάδιζον πρὸς τὴν οἰκίαν τοῦ 'Οδυσσέως· ἔνθα γενόμενοι ἐκαθέσθισαν ἐπὶ θρόνων.

Ἐν δὲ τούτῳ Πηνελόπη, ἀγγελθείσης αὐτῇ παρὰ Μέδοντος τοῦ κήρυκος τῆς ἐπιβουλῆς, ἔγνω ἐπιφανῆναι τοῖς ἀλαζόσι μνηστῆρσι, καὶ ἐπιτιμῆσαι αὐτοῖς τὰ εἰκότα· Ἐξελθοῦσα τοίνυν τῆς γυναικωνήτιδος, πολλὴν ἀπαγομένη γυναικῶν θεραπείαν, παρῆλθεν, ἔνθ' ἦσαν οἱ μνηστῆρες καθήμενοι ἐπὶ τοῦ σταθμοῦ, κρηδέμνοις τὸ πρόσωπον ἐπικεκαλυμμένη· καὶ δὴ καθαπτομένη Ἀντινόου, ἔφη πρὸς αὐτὸν, 'Ατίνοε, ὑβριστὰ, κακομήχανε, εἰς μάτην ἄρα φασὶν ἐν ὁμίληξιν ἄριστόν σε ἔντε βουλαῖς καὶ λόγοις γενέσθαι· τόδε γὰρ οὐ δοκεῖ τοῖς πράγμασι συνῳδὸν εἶναι· μαινόμενε, τί ποτε σύγε φόνον Τηλεμάχῳ συῤῥάπτεις, μηδὲν μεμνημένος τῆς ἱκετείας, ἧς μάρτυς αὐτὸς ἔσθ' ὁ Ζεύς;

μένος 505. Ἀποτροπώσωσι] ἐποτρέψωσι. 406. Ἐπιήνδανε] ἤρεσε. 411. Ὄλεθρον] τὸν μελετώμενον δηλ. ἐκείνοις. 416, Ἄντα παρειάων] ἔχουσα πρὸ τῶν παρειῶν. 417. 'Ενένιπτε] ἐπέπληττεν 421. Μάργε] μαινόμενε. — Τίη] διὰ τί. 422, Οὐδ' ἱκέτας ἐμπάζεαι] οὐ δὲ φροντίζεις τῶν, πρὸς οὓς ἐποιεῖσο

Μάρτυρος; οὐδ᾽ ὁσίη κακὰ ῥάπτειν ἀλλήλοισιν.
Ἦ οὐκ οἶσθ᾽, ὅτε δεῦρο πατὴρ τεὸς ἵκετο φεύγων,
Δῆμον ὑποδδείσας; δὴ γὰρ κεχώλατο λίην,
Οὕνεκα ληϊστῆρσιν ἐπισπόμενος Ταφίοισιν,
Ἤκαχε Θεσπρωτούς· οἱ δ᾽ ἡμῖν ἄρθμιοι ἦσαν·
Τόν ῥ᾽ ἔθελον φθῖσαι καὶ ἀποῤῥαῖσαι φίλον ἦτορ,
Ἠδὲ κατὰ ζωὴν φαγέειν μενοεικέα πολλήν·
Ἀλλ᾽ Ὀδυσσεὺς κατέρυκε καὶ ἔσχεθεν ἱεμένους περ.
Τοῦ νῦν οἶκον ἄτιμον ἔδεις, μνάᾳ δὲ γυναῖκα
Παῖδά τ᾽ ἀποκτείνεις, ἐμέ τε μεγάλως ἀκαχίζεις·
Ἀλλά σε παύσασθαι κέλομαι, καὶ ἀνωγέμεν ἄλλους.
Τὴν δ᾽ αὖτ᾽ Εὐρύμαχος, Πολύβου παῖς, ἀντίον ηὔδα·
Κούρη Ἰκαρίοιο, περίφρον Πηνελόπεια,
Θάρσει, μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων.
Οὐκ ἔσθ᾽ οὗτος ἀνὴρ, οὐδ᾽ ἔσσεται, οὐδὲ γένηται,
Ὅς κεν Τηλεμάχῳ σῷ υἱέϊ χεῖρας ἐποίσει,
Ζώοντός γ᾽ ἐμέθεν καὶ ἐπὶ χθονὶ δερκομένοιο.
Ὧδε γὰρ ἐξερέω, καὶ μὴν τετελεσμένον ἔσται·
Αἶψά οἱ αἷμα κελαινὸν ἐρωήσει περὶ δουρὶ
Ἡμετέρῳ· ἐπεὶ ἦ καὶ ἐμὲ πτολίπορθος Ὀδυσσεὺς
Πολλάκι γούνασιν οἷσιν ἐφεσσάμενος, κρέας ὀπτὸν
Ἐν χείρεσσιν ἔθηκεν, ἐπέσχε τε οἶνον ἐρυθρόν.
Τῷ μοι Τηλέμαχος πάντων πολὺ φίλτατός ἐστιν
Ἀνδρῶν· οὐδέ τί μιν θάνατον τρομέεσθαι ἄνωγα
Ἔκ γε μνηστήρων· θεόθεν δ᾽ οὐκ ἔστ᾽ ἀλέασθαι.
Ὣς φάτο θαρσύνων· τῷ δ᾽ ἤρτυεν αὐτὸς ὄλεθρον.
Ἡ μὲν ἄρ᾽ εἰσαναβᾶσ᾽ ὑπερώϊα σιγαλόεντα,

θέ ποτε ἱκετίας, ὅ ἐστι, τῶν ἱκετοδόχων. 427. Ἤκαχε] ἐλύπει. — Ἄρθμιοι] φίλοι. 326. Κατὰ ζωὴν] καταφαγεῖν᾽ τὴν ζωὴν αὐτοῦ, τὰ ὑπάρχοντα αὐτῷ

καίτοι πῶς οὐκ ἀνόσιον τοὺς τοιούτους τὰ κάκιστ' ἀλλήλοις
ἐπιβουλεύειν; ἢ οὐκ οἶσθ' ὡς ὁ σὸς πατὴρ, καταπεφευγὼς
ᾠδὶ διεσώθη, τὸν δῆμον φυγὼν, ὅτι λῃσταῖς τῶν Ταφίων
ἑπόμενος, ἔβλαπτε Θεσπρωτοὺς, ἡμετέρους ὄντας συμμά-
χους· ὥρμηντο γὰρ ἅπαντες ἐπ' ἐκεῖνον, ὥστ' ἀνελεῖν, ἢ
γοῦν πολλὰ ζημιῶσαι, εἰμὴ 'Οδυσσεὺς, οὗ νῦν τὸν οἶκον
κατοψοφαγεῖς, τήν τε γυναῖκα μνηστεύῃ, καὶ τῷ παιδὶ οὐ
παύῃ ἐπιβουλεύων, διεκώλυσε τότε· ἐφ' οἷς ἐγὼ νῦν, ἀκούουσα
καὶ ὁρῶσα ταῦτα, δάκνομαι τὴν καρδίαν· ἀλλὰ νῦν γε
σύ τ' αὐτὸς ἀπαλλάττου τοῦ μηκέτι μηδὲν τοιοῦτον φρο-
νεῖν, καὶ τοὺς ἄλλους παράπειθε. Ἡ μὲν τοιαῦτα ἔφη.

Εὐρύμαχος δ' ὑπολαβὼν ἀπεκρίνατο τάδε· Θάῤῥει Περί-
φρων Πηνελόπη, κόρη τοῦ Ἰκαρίου, μηδέν σοι τούτων με-
λέτω· οὐ γάρ ἐστ', οὐκ ἔσθ' ὅστις τῶν ἁπάντων ἀνθρώπων
χεῖρας ἐπιβαλεῖ Τηλεμάχῳ, ἐμοῦ ζῶντος, καὶ ἐπὶ χθονὸς
δερκομένου· εἰ δὲ μὴ, ἐκεῖνό φημι πρὸς ἅπαντας τουτουσίν·
ὃ οὐ μάτην εἰρήσεται, οὐδ' ἄπρακτον γ' ἔσται, εὖ ἴστω πᾶς·
εἴτις γὰρ αὐτοῦ πειράσεται ἅψασθαι, αὐτίκα τοὐμὸν ξίφος
τοῦτο τῷ ἐκείνῳ περιῤῥυήσεται αἵματι· πῶς γὰρ ἂν τὸν
παῖδα τοῦ Ὀδυσσέως, ὃς καθεὶς με πολλάκις ἐπὶ τῶν γονά-
των, νήπιον ἔτι ὄντα, δέδωκέ μοι κρέας ὀπτὸν φαγεῖν, καὶ
οἶνον πιεῖν ἐρυθρόν; ἀνθ' ὧν μοι Τηλέμαχος ὁ παῖς ἐκείνου
φίλτατός μοι ἐστὶν ἁπάντων ἀνθρώπων· οὐκοῦν δέος οὐδὲν
αὐτῷ πρός γε τῶν μνηστήρων· τὰ δὲ παρὰ τῶν θεῶν, ἄλ-
λος λόγος.

Τοιαῦτα μὲν οὗτος ἔφη ἐν τῷ φανερῷ· ἐν δὲ τῷ κρυπτῷ

πάντα. 431. Ἄτιμον] ἀτίμως, ἢ μᾶλλον ἀποινὶ, προῖκα. 441. 'Ερωήσει] ῥεύ-
σει. 443. 'Εφεσσάμενος] ἐπικαθίσας. 448. Ἤρτυε] ἐτύρευεν ἐπόρφυρεν. ἐφύ-
τευε, ἐτολύπευεν, συνέῤῥαπτεν, ἐβυσσοδόμευε· πάντα ἐκ μεταφορᾶς τὰ αὐτά.

Κλαῖεν ἔπειτ' Ὀδυσῆα, φίλον πόσιν, ὄφρα οἱ ὕπνον
Ἡδὺν ἐπὶ βλεφάροισι βάλε γλαυκῶπις Ἀθήνη.
Ἑσπέριος δ' Ὀδυσσῆϊ καὶ υἱέϊ δῖος ὑφορβὸς
Ἤλυθεν· οἱ δ' ἄρα δόρπον ἐπισταδὸν ὡπλίζοντο,
Σῦν ἱερεύσαντες ἐνιαύσιον. αὐτὰρ Ἀθήνη,
Ἄγχι παρασταμένη, Λαερτιάδην Ὀδυσσῆα
Ῥάβδῳ πεπληγυῖα, πάλιν ποίησε γέροντα,
Λυγρὰ δὲ εἵματα ἕσσε περὶ χροΐ· μή ἑ συβώτης
Γνοίη ἐσάντα ἰδὼν, καὶ ἐχέφρονι Πηνελοπείῃ
Ἔλθοι ἀπαγγέλλων, μηδὲ φρεσὶν εἰρύσσαιτο.
Τὸν καὶ Τηλέμαχος πρότερος πρὸς μῦθον ἔειπεν·
Ἦλθες, δῖ' Εὔμαιε. τί δὴ κλέος ἔστ' ἀνὰ ἄστυ;
Ἦ ῥ' ἤδη μνηστῆρες ἀγήνορες ἔνδον ἔασιν
Ἐκ λόχου, ἦ ἔτι μ' αὖτ' εἰρύαται, οἴκαδ' ἰόντα;
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
Οὐκ ἔμελέν μοι ταῦτα μεταλλῆσαι καὶ ἐρέσθαι,
Ἄστυ καταβλώσκοντα· τάχιστά με θυμὸς ἀνώγει.
Ἀγγελίην εἰπόντα, πάλιν δεῦρ' ἀπονέεσθαι.
Ὡμήρησε δέ μοι παρ' ἑταίρων ἄγγελος ὠκὺς,
Κήρυξ, ὃς δὴ πρῶτος ἔπος σῇ μητρὶ ἔειπεν.
Ἄλλο δέ τοι τόγε οἶδα· τὸ γὰρ ἴδον ὀφθαλμοῖσιν.
Ἤδη ὑπὲρ πόλιος, ὅθι Ἑρμαῖος λόφος ἐστὶν,
Ἦα κιὼν, ὅτε νῆα θοὴν ἰδόμην κατιοῦσαν

452. Ἐπισταδὸν] ἑξῆς. 459. Εἰρύσαιτο] μὴ δυνάμενος φυλάξαι αὐτὸ ἀπόῤῥητον 463. Εἰρύαται] φυλάττουσι. 466. Καταβλώσκοντα] κατελθόντα. 468. Ὡμήρησε] ὁμοῦ συνῆλθε. 471. Ἑρμαιος λόφος] σωρὸς λίθων ἐν ὁδοῖς Ἑρμαιος ἢ Ἑρμαῖος ὀνομάζεται λόφος· Ἑρμῆς γὰρ κατὰ κέλευσιν τοῦ Διὸς, ἀνελὼν

πράττων, ἤρτυε τὰ κάκιστα· Πηνελόπη δ᾽ ἐκ τούτων ἀναβᾶσα εἰς τὸ ὑπερῷον, οὐκ ἔληγεν ὀδυρομένη τὸν φίλτατον Ὀδυσσέα πρότερον, πρὶν ἢ ἐνεῖναι αὐτῇ τὴν Ἀθηνᾶν ὕπνον τοῖς ὀφθαλμοῖς.

Ἐν δὲ τούτῳ ἐπανῆκεν Εὔμαιος ἀπὸ τῆς πόλεως ἐπὶ τὸν σταθμὸν ἅμα δυομένῳ ἡλίῳ, ἡνίκα Ὀδυσσεὺς καὶ Τηλέμαχος, σφάξαντες σῦν ἐνιαύσιον, παρεσκευάζοντο δεῖπνον· καὶ ἐνταῦθ᾽ ἡ Ἀθηνᾶ παραστᾶσα ἐγγύθεν, μετέβαλε τὸν Ὀδυσσέα εἰς γέροντα ἐν ἱματίοις πιναροῖς κατερρικνωμένον, πλήξασα τῇ ῥάβδῳ· ἵνα μὴ Εὔμαιος ἀλλοῖον ἰδών, ὑποπτεύσειεν, εἶτ᾽ ἐλθὼν ἀναγγείλῃ τῇ Πηνελόπῃ, μηκέτι δυνάμενος κατέχειν τἀπόρρητον. Πρὸς τοῦτον οὖν φησιν ὁ Τηλέμαχος· ὡς εὖ παρέστης, Εὔμαιε· τί οὖν καινὸν ἡμῖν ἐκ τῆς πόλεως ἥκεις ἄγων; οἱ δὲ μνηστῆρες, πότερον ἐπανῆλθον ἐκ τῆς ἐνέδρας, ἢ φυλάττουσιν ἔτι με ἐκεῖ ἐρχόμενον οἴκαδε;

Εὔμαιος δὲ πρὸς ταῦτα· ἔμοιγε μὲν ἐμέλησεν οὐδ᾽ ὁτιοῦν τῶν κατὰ τὴν πόλιν πραττομένων εἰδέναι· ἅμα γὰρ ἀγγείλας τῇ μητρὶ τῇ σῇ τὰ ἐντεταλμένα, σπεύδων ᾠχόμην πάλιν, μηκέτι μηδὲν πολυπραγμονήσας· καθ᾽ ὁδὸν δ᾽ ἰών, ἐνέτυχον ἀγγέλῳ πεμφθέντι παρὰ τῶν ἑταίρων, τοῦτ᾽ αὐτὸ καὶ αὐτῷ ἀγγελοῦντι τῇ Πηνελόπῃ· ὃς καὶ πρῶτος εἶπεν αὐτῇ· ὡς δὲ ἐπανήκων, ἐγενόμην πρὸς τῷ λόφῳ τοῦ Ἑρμοῦ τῷ ὑπὲρ τῆς πόλεως, ἔδοξα ἰδεῖν ναῦν, εἰς τὸν ἡμέτερον καταγομένην

Ἄργον τὸν τῆς Ἰοῦς φύλακα, ἤχθη ἐπὶ δίκην, Ἥρας καὶ τῶν ἄλλων θεῶν ἀπαγαγόντων· κρίσεως οὖν γενομένης. πολλὰς ψήφους ἐπισωρευθῆναι φασὶ τοῖς ποσὶν τοῦ Ἑρμοῦ· ἐντεῦθεν ἄρα κατὰ τὰς ὁδοὺς ὡς καθηγεμόνος ὄντος Ἑρμοῦ, σωροὺς λίθων γίγνεσθαι παρὰ τῶν ἀνθρώπων, διερχομένων, καὶ τι-

Ἐς λιμέν' ἡμέτερον· πολλοὶ δ' ἔσαν ἄνδρες ἐν αὐτῇ·
βεβρίθει δὲ σάκεσσι καὶ ἔγχεσιν ἀμφιγύοισιν·
Καὶ σφέας ᾠΐσθην τοὺς ἔμμεναι, οὐδέ τι οἶδα.
  Ὣς φάτο· μείδησεν δ' ἱερὴ ἲς Τηλεμάχοιο,
Ἐς πατέρ' ὀφθαλμοῖσιν ἰδών· ἀλέεινε δ' ὑφορβόν.
Οἱ δ' ἐπεὶ οὖν παύσαντο πόνου, τετύκοντό τε δαῖτα,
Δαίνυντ'· οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
Κοίτου τε μνήσαντο καὶ ὕπνου δῶρον ἕλοντο.



λιμένα, πλήρη ἀνδρῶν ἀστραπτόντων τοῖς ὅπλοις, ἀσπίσι τε καὶ δόρασιν ἀμφιστόμοις· καὶ τούτους οἶμαι ἐκείνους εἶναι· ἀλλ' οὐκ ἔχω σαφῶς τοῦτ' εἰπεῖν.

Ταῦτα δ' αὐτοῦ εἰπόντος, ὑπεμειδίασεν ὁ Τηλέμαχος, ὑπιδὼν πρὸς τὸν Ὀδυσσέα· ἐφυλάττετο δὲ ἰσχυρῶς Εὔμαιον. Ἐκ δ' οὖν τούτου παυσάμενοι ἀπὸ πάντων, ἐδειπνοποιοῦντο· κἀπειδὴ αὐτοῖς καλῶς ἔσχεν, ἐτράποντο ἐς ὕπνον ἀναπαυσάμενοι.

μώντων αὐτόν. 477. Ἀλέεινε] ἀπέφευγε.

ΥΠΟΘΕΣΙΣ

Τηλέμαχος, κελεύσας Εὔμαιον ἀγαγεῖν Ὀδυσσέα εἰς τὴν πόλιν πτωχεύσοντα, ἔρχεται οἴκαδε· ἐδέξατο δ' αὐτὸν Εὐρύκλεια, ἰδοῦσα πρώτη· εἶτ' ἐλθοῦσα Πηνελόπη πολλῷ περιπτύσσεται φίλτρῳ· ὡς δ' αὔτως καὶ Ὀδυσσεὺς,

ΟΔΥΣΣΕΙΑΣ Ρ.

Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠὼς,
Δὴ τότ' ἔπειθ' ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα,
Τηλέμαχος, φίλος υἱὸς Ὀδυσσῆος θείοιο·
Εἵλετο δ' ἄλκιμον ἔγχος, ὅ οἱ παλάμηφιν ἀρήρει,
Ἄστυδε ἱέμενος, καὶ ἑὸν προσέειπε συβώτην·
Ἄττ', ἤτοι μὲν ἐγὼν εἶμ' ἐς πόλιν· ὄφρα με μήτηρ
Ὄψεται· οὐ γάρ μιν πρόσθεν παύσεσθαι ὀΐω
Κλαυθμοῦ τε, στυγεροῖο γόοιό τε δακρυόεντος,
Πρίν γ' αὐτόν με ἴδηται· ἀτὰρ σοίγ' ὧδ' ἐπιτέλλω.
Τὸν ξεῖνον δύστηνον ἄγ' ἐς πόλιν, ὄφρ' ἂν ἐκεῖθι
Δαῖτα πτωχεύῃ· δώσει δέ οἱ, ὅς κ' ἐθέλῃσιν,
Πύρνον καὶ κοτύλην· ἐμὲ δ' οὔπως ἔστιν ἅπαντας

ΤΟΥ Ρ.

ἐφ' ὁδηγῷ τῷ Εὐμαίῳ παρεγένετο εἰς τὴν πόλιν, καὶ παρελθὼν εἰς τὰ βασίλεια, ἀναγνωρίζεται ὑπὸ τοῦ κυνός· ὃς καὶ ἅμ' ἰδὼν ἀποθνήσκει· εἰσελθὼν δὲ εἰς τὸ δῶμα, ἐκτίθεται τοῖς μνηστῆρσιν ὑβρίζεσθαι, ἵν' ἔχῃ μᾶλλον ἐμβατεῦσαι εἰς τὴν καρδίαν αὐτῶν.

ΟΔΥΣΣΕΙΑΣ Ρ.

ΟΤΕ δὲ ἡ χρυσόθρονος Ἠὼς, ἀνιοῦσα ἀπὸ τοῦ Ὠκεανοῦ ἐπελάγισε τὸν ὁρίζοντα ταῖς χρυσοειδέσιν ἀκτῖσι, Τηλέμαχος ἐγερθεὶς καὶ ὑποδυσάμενος πέδιλα καλὰ, τό,τε δόρυ ἀναλαβὼν, ἀνεχώρει οἴκαδε, ὑπειπὼν τῷ συβώτῃ τοσοῦτον· Ἄττα, ἐγὼ μὲν εἶμι ὡς τὴν μητέρα· οὐ γὰρ παύσεται, οἶμαι, κλαίουσα πρότερον, πρὶν ἢ ἰδεῖν με αὐτοῖς ὀφθαλμοῖς· σὺ δ' ἡγοῦ τῷ δυστήνῳ ξένῳ τούτῳ ἀτρέμας πρὸς τὸ αὐτὸ, ἵν' ἐλθὼν ἐκεῖ ἔχῃ τρέφεσθαι ἐκ τοῦ προσαιτεῖν· ἔσται γὰρ, ὅσις ἂν ψωμὸν καὶ οἴνου κοτύλην αὐτῷ διδοίη· ἔμοιγε γὰρ οὐκ

11 Δαῖτα] πτωχεύῃ] εὐπορῇ τὰ πρὸς τροφὴν ἐπαιτῶν. 12. Πύρνον κα.

Ἀνθρώπους ἀνέχεσθαι, ἔχοντά περ ἄλγεα θυμῷ.
Ὁ ξεῖνος δ' εἴπερ μάλα μηνίει, ἄλγιον αὐτῷ
Ἔσσεται· ἦ γὰρ ἐμοὶ φίλ' ἀληθέα μυθήσασθαι.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Ὦ φίλος, οὐδέ τοι αὐτὸς ἐρύκεσθαι μενεαίνω·
Πτωχῷ βέλτερόν ἐστι κατὰ πτόλιν, ἠὲ κατ' ἀγροὺς
Δαῖτα πτωχεύειν· δώσει δέ μοι, ὅς κ' ἐθέλῃσιν.
Οὐ γὰρ ἐπὶ σταθμοῖσι μένειν ἔτι τηλίκος εἰμὶ,
Ὥστ' ἐπιτειλαμένῳ σημάντορι πάντα πιθέσθαι·
Ἀλλ' ἔρχευ· ἐμὲ δ' ἄξει ἀνὴρ ὅδε, τὸν σὺ κελεύεις,
Αὐτίκ', ἐπεί κε πυρὸς θερέω, ἀλέη τε γένηται.
Αἰνῶς γὰρ τάδε εἵματ' ἔχω κακά· μή με δαμάσσῃ
Στίβη ὑπηοίη· ἕκαθεν δέ τε ἄστυ φάτ' εἶναι.
Ὣς φάτο· Τηλέμαχος δὲ διὰ σταθμοῖο βεβήκει,
Κραιπνὰ ποσὶ προβιβάς· κακὰ δὲ μνηστῆρσι φύτευεν.
Αὐτὰρ ἐπεί ῥ' ἵκανε δόμους εὖ ναιετάοντας,
Ἔγχος μὲν στῆσε, πρὸς κίονα μακρὸν ἐρείσας,
Αὐτὸς δ' εἴσω ἴεν, καὶ ὑπέρβη λάϊνον οὐδόν.
Τὸν δὲ πολὺ πρώτη ἴδε τροφὸς Εὐρύκλεια,
Κώεα καστορνῦσα θρόνοις ἔνι δαιδαλέοισιν.
Δακρύσασα δ' ἔπειτ', ἰθὺς κίεν· ἀμφὶ δ' ἄρ' ἄλλαι
Δμωαὶ Ὀδυσσῆος ταλασίφρονος ἠγερέθοντο,
Καὶ κύνεον ἀγαπαζόμεναι κεφαλήν τε καὶ ὤμους.
Ἡ δ' ἴεν ἐκ θαλάμοιο περίφρων Πηνελόπεια,
Ἀρτέμιδι ἰκέλη, ἠὲ χρυσέῃ Ἀφροδίτῃ·
Ἀμφὶ δὲ παιδὶ φίλῳ βάλε πήχεε δακρύσασα·
Κύσσε δέ μιν κεφαλήν τε καὶ ἄμφω φάεα καλά,
Καί ῥ' ὀλοφυρομένη, ἔπεα πτερόεντα προσηύδα·

κοτύλην] ἄρτον καὶ οἶνον. 23. Πυρὸς θερέω] πυρὶ θερμανθῶ. 25. Στίβη ὑπηοίη

ἂν εἴη ἅπαντας τοὺς ξένους παρ' ἐμαυτῷ καταλύειν ἀνέχεσθαι, τοσούτοις ἤδη καὶ τηλικούτοις, ὡς ὁρᾷς καὶ αὐτός, γενόμενον πράγμασιν ὑποβρύχιον· εἰ δ' ὁ ξένος ἀπαρέσκοιτο τούτοις, οὐ καλῶς ποιεῖ, μὴ εἰδὼς τὰ πράγμαθ' ἑαυτῷ ἐσόμενα χείρω· οὕτω γὰρ ἐγῷδα λέγειν ἀεὶ τἀληθῆ.

Ὀδυσσεὺς πρὸς ταῦτα· οὐδ' ἐμοί, ὦ φίλοι, πάντα χαίρειν ἐστὶ τῇ ἐνταῦθα διατριβῇ· πτωχῷ γὰρ ἀνδρὶ προκριτέα τῶν ἀγρίκων τἄστυκά, ὡς πλειόνων ἐκεῖ μοι δωσόντων· εἰ γὰρ νεώτερος ἦν οἷος πείθεσθαι τῷ προστάττοντι, ἦν ἄν μοι ἐργαζόμενον τα εἰκότα, καὶ ἐνταυθοῖ διατρίψαι ἡδέως· νῦν δὲ γέρων εἰμί, ὡς ὁρᾷς· ἀλλ' ἴθι νῦν αὐτὸς προϊών· ἐγὼ δ' αὐτίκα, αὐξηθήσης τῆς ἀπὸ τοῦ ἡλίου ἀλέας, ἕψομαι πρὸς ταὐτά τῷ Εὐμαίῳ· νῦν δὲ ψῦχος τουτὶ οὐ μικρὸν ὑπαισθάνομαι· καὶ τὸ ῥάκος τοῦθ' ὡς ὁρᾷς πολύθυρον ἔμοιγε καὶ διεῤῥωγὸς ἐς τὰ μάλιστα· μανθάνω δὲ καὶ τὴν πόλιν οὐ πάνυ οὖσαν ἐγγύς.

Τούτων δ' οὕτως εἰρημένων, Τηλέμαχος ἐξελθὼν τοῦ σταθμοῦ, ἤνυτε χωρῶν ἐς τὴν πόλιν, πολλὰ φυτεύων κατὰ νοῦν ἐπὶ τοῖς μνηστῆρσιν· ἀφικόμενος δ' οἴκαδε, στήσας τὸ δόρυ πρὸς τῷ κίονι, εἰσῄει ἔνδον· ἔνθα ἔτυχεν Εὐρύκλεια ἡ τροφός, στρωννύουσα τὰ κώδια ἐπὶ τῶν ἑδρῶν· καὶ ἰδοῦσα αὐτόν, ἔδραμεν εὐθὺς αὐτὴ πρώτη ὑποδακρύουσα· καὶ μετ' αὐτὴν ἄλλη ἄλλοθεν πολλαὶ πολλαχόθεν θεράπαιναι σπεύδουσαι, ἠσπάζοντο αὐτὸν περιφῦσαι· εἶτα δὲ μαθοῦσα τοῦτο ἡ μήτηρ, κατῄει ὁμοία Ἀρτέμιδι, ἢ μᾶλλον εἰπεῖν, Ἀφροδίτῃ καὶ ἐπιπεσοῦσα τῷ τραχήλῳ αὐτοῦ κατεφίλει τήν τε κεφαλὴν καὶ τὰ ὄμματα, περιπτυσσομένη ἀφύκτως· ἔπειτ' ὀψὲ καταῤῥεομένη τοῖς δάκρυσιν ἤδη, ἦλθες, ἔφη, Τηλέμαχε, ἦλ-

---

τὸ ψῦχος τὸ ἑωθινόν. 32. Κώεα καστορνῦσα] προβάτων δορὰς ἐπὶ τῶν θρό-
νων καταστρωννύουσα. 35. Ἀγαπαζόμεναι] περιπτυσσόμεναι, κατεφίλουν αὐ-

Ἦλθες, Τηλέμαχε, γλυκερὸν φάος· οὔ σ' ἔτ' ἔγωγε
Ὄψεσθαι ἐφάμην, ἐπεὶ ᾤχεο νηῒ Πύλονδε
Λάθρῃ, ἐμεῦ ἀέκητι, φίλου μετὰ πατρὸς ἀκουήν.
Ἀλλ' ἄγε μοι κατάλεξον, ὅπως ἤντησας ὀπωπῆς.
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Μῆτερ ἐμὴ, μή μοι γόον ὄρνυθι, μηδέ μοι ἦτορ
Ἐν στήθεσσιν ὄρινε, φυγόντι περ αἰπὺν ὄλεθρον·
Ἀλλ' ὑδρηναμένη, καθαρὰ χροῒ εἵμαθ' ἑλοῦσα,
Εἰς ὑπερῷ' ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξὶν,
Εὔχεο πᾶσι θεοῖσι τεληέσσας ἑκατόμβας
Ῥέξειν, αἴ κέ ποθι Ζεὺς ἄντιτα ἔργα τελέσσῃ.
Αὐτὰρ ἐγὼν ἀγορὴν ἐσελεύσομαι, ὄφρα καλέσσω
Ξεῖνον, ὅτις μοι κεῖθεν ἅμ' ἕσπετο δεῦρο κιόντι.
Τὸν μὲν ἐγὼ προὔπεμψα σὺν ἀντιθέοις ἑτάροισιν·
Πείραιον δέ μιν ἠνώγα προτὶ οἶκον ἄγοντα,
Ἐνδυκέως φιλέειν καὶ τιέμεν, εἰσόκεν ἔλθω.
Ὣς ἄρ' ἐφώνησεν· τῇ δ' ἄπτερος ἔπλετο μῦθος.
Ἡ δ' ὑδρηναμένη, καθαρὰ χροῒ εἵμαθ' ἑλοῦσα
Εὔχετο πᾶσι θεοῖσι τεληέσσας ἑκατόμβας
Ῥέξειν, αἴ κέ ποθι Ζεὺς ἄντιτα ἔργα τελέσσῃ.
Τηλέμαχος δ' ἄρ' ἔπειτα δι' ἐκ μεγάροιο βεβήκει,
Ἔγχος ἔχων· ἅμα τῷγε κύνες πόδας ἀργοὶ ἕποντο.
Θεσπεσίην δ' ἄρα τῷγε χάριν κατέχευεν Ἀθήνη·
Τὸν δ' ἄρα πάντες λαοὶ ἐπερχόμενον θηεῦντο.
Ἀμφὶ δέ μιν μνηστῆρες ἀγήνορες ἠγερέθοντο,
Ἐσθλ' ἀγορεύοντες, κακὰ δὲ φρεσὶ βυσσοδόμευον.
Αὐτὰρ ὁ τῶν μὲν ἔπειτα ἀλεύατο πουλὺν ὅμιλον,
Ἀλλ', ἵνα Μέντωρ ἧστο καὶ Ἄντιφος ἠδ' Ἁλιθέρσης,
Οἵτε οἱ ἐξ ἀρχῆς πατρώϊοι ἦσαν ἑταῖροι,
Ἔνθα καθέζετ' ἰών· τοὶ δ' ἐξερέεινον ἕκαστα.

θες, φάος μοι γλυκερὸν· οὐκέτι γὰρ ᾠόμην ἐπόψεσθαι ζῶντά σε, τοιαύτην ὁδὸν ἐμοῦ γε λάθρα ἀποδεδημηκότα· ἀλλ' ἄγε μοι εἰπὲ, φίλον τέκος ὅ,τι ποτὲ τυγχάνεις ἀκηκοὼς, ἢ ἑωρακὼς, ἐκεῖσε γενόμενος.

Τηλέμαχος δὲ πρὸς ταῦτα· μῆτηρ ἐμὴ, πολὺ τὸ ἐν ἐμοὶ πάθος ἐθέλεις ἀνερεθίσαι, τῶν ἐμαυτοῦ κακῶν πρὸς σὲ μνησθῆναι κελεύουσα· ὁρᾷς γὰρ ἤδη με διαπεφευγότα τὸν κίνδυνον, ἀλλὰ σὺ μὲν λουσαμένη μετὰ τῶν γυναικῶν, εὔχου τοῖς θεοῖς τελείας ἑκατόμβας θύσειν αὐτοῖς, εἴποθεν Ζεὺς ἐπίκουρός ποθεν ἡμῖν γένοιτο· ἐγὼ δ' εἶμι ἐς τὴν ἀγορὰν πρὸς ὀλίγον μετελευσόμενος δεῦρο ξένον τινὰ συμπλεύσανθ' ἡμῖν ἐκ τῆς Πύλου· ὃν ὑπέταξα Πειραίῳ παρ' ἑαυτῷ θεραπεύειν τιμῶντα, μέχρις ἂν αὐτῷ ἐπανέλθω ἀπὸ τοῦ ἀγροῦ.

Τούτων οὖν οὕτως εἰρημένων, δεξαμένη ταῦθ' ἡ μήτηρ ἡδέως, ἐλούσατο ἀναβᾶσα εἰς τὸ ὑπερῷον· καὶ ἐσθῆτα λαβοῦσα καθαρὰν, ηὔχετο τοῖς θεοῖς, κατὰ τὸ ὑπὸ Τηλεμάχου παρηγγελμένον, εἴποθεν Ζεὺς συναντιλαμβάνων ποιήσειεν αὐτοῖς τὰ πράγματ' ἀντίῤῥοπα, τελείας αὐτῷ θύσειν ἑκατόμβας.

Τηλέμαχος δ' αὖ ἐξιὼν ᾔει, δόρυ φέρων ἐν τῇ χειρὶ, ἐς τὴν ἀγορὰν, ᾧ ἠκολούθουν καὶ δύο τῶν κυνῶν· θαῦμα δ' εἶχε τοὺς ὁρῶντας εἰς αὐτὸν διερχόμενον, θεσπεσίας χάριτος ὑπὸ τῆς Ἀθηνᾶς αὐτῷ περιχεομένης· οἱ δὲ μνηστῆρες, ὡς εἶδον, ἄλλος ἄλλοθεν ἔσπευδον περὶ αὐτὸν, λόγῳ μὲν θεραπεύοντες, τῷ δὲ κρυπτῷ τὰ κάκιστα τολυπεύοντες· ὁ δὲ τοὺς μὲν ἄλλους ἔφευγε· παρὰ δὲ Μέντορα, Ἄντιφόν τε, καὶ Ἁλιθέρσην, οἳ αὐτῷ φίλοι πατρῷοι ἦσαν, ἐλθὼν ἐκαθέσθη· οἳ καὶ ἐπυν-

---

τόν. 44. Ὅπως ἤντησας ὀπωπῆς] τίποτε τυγχάνεις ἰδών; 48. Ὑδρηναμένη] λουσαμένη. 51. Ἄντιτα] ἀντιτιμώρητα. 57. Ἄπτερος] οὐχὶ πτερόεις, ἀλλ' ἐπίμονος. καὶ πρακτέος. 64. Θηεῦντο] ἐθεῶντο θαυμάζοντες. 120. Εἴρετο] ἴδε ταῦτα πάντα ἀνωτέρῳ ἐν τῷ Δ. στίχ. 332. Καὶ ἑξῆς.

Τοῖσι δὲ Πείραιος δουρικλυτὸς ἐγγύθεν ἦλθεν,
Ξεῖνον ἄγων ἀγορήνδε διὰ πτόλιν· οὐδ' ἄρ' ἔτι δὴν
Τηλέμαχος ξείνοιο ἑκὰς τράπετ', ἀλλὰ παρέστη.
Τὸν καὶ Πείραιος πρότερος πρὸς μῦθον ἔειπεν·
Τηλέμαχ', αἶψ' ὄτρυνον ἐμὸν ποτὶ δῶμα γυναῖκας,
Ὥς τοι δῶρ' ἀποπέμψω, ἅ τοι Μενέλαος ἔδωκεν.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Πείραι', οὐ γάρ τ' ἴδμεν, ὅπως ἔσται τάδε ἔργα.
Εἴ κεν ἐμὲ μνηστῆρες ἀγήνορες ἐν μεγάροισιν
Λάθρη κτείναντες, πατρῷϊα πάντα δάσωνται,
Αὐτὸν ἔχοντά σε βούλομ', ἀπαυρέμεν, ἤ τινα τῶνδε·
Εἰ δέ κ' ἐγὼ τούτοισι φόνον καὶ Κῆρα φυτεύσω,
Δὴ τότε μοι χαίροντι φέρειν πρὸς δώματα χαίρων.
Ὣς εἰπὼν ξεῖνον ταλαπείριον ἦγεν ἐς οἶκον.
Αὐτὰρ ἐπεί ῥ' ἵκοντο δόμους εὖ ναιετάοντας,
Χλαίνας μὲν κάθεντο κατὰ κλισμούς τε, θρόνους τε·
Ἐς δ' ἀσαμίνθους βάντες ἐϋξέστας, λούσαντο.
Τοὺς δ' ἐπεὶ οὖν δμωαὶ λοῦσαν καὶ χρῖσαν ἐλαίῳ,
Ἀμφὶ δ' ἄρα χλαίνας οὔλας βάλον ἠδὲ χιτῶνας·
Ἐκ ῥ' ἀσαμίνθου βάντες ἐπὶ κλισμοῖσι κάθιζον.
Χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα
Καλῇ, χρυσείῃ, ὑπὲρ ἀργυρέοιο λέβητος,
Νίψασθαι· παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν.
Σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
Εἴδατα πόλλ' ἐπιθεῖσα, χαριζομένη παρεόντων.
Μήτηρ δ' ἀντίον ἷζε παρὰ σταθμὸν μεγάροιο,
Κλισμῷ κεκλιμένη, λέπτ' ἠλάκατα στρωφῶσα.
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
Τοῖσι δὲ μύθων ἦρχε περίφρων Πηνελόπεια·
Τηλέμαχ', ἤτοι ἐγὼν ὑπερώϊα εἰσαναβᾶσα,
Λέξομαι εἰς εὐνήν, ἥ μοι στονόεσσα τέτυκται,
Αἰεὶ δάκρυσ' ἐμοῖσι πεφυρμένη, ἐξ οὗ Ὀδυσσεὺς
Ὤχεθ' ἅμ' Ἀτρείδησιν ἐς Ἴλιον· οὐ δέ μοι ἔτλης,
Πρὶν ἐλθεῖν μνηστῆρας ἀγήνορας ἐς τόδε δῶμα,
Νόστον σοῦ πατρὸς σάφα εἰπέμεν, εἴ που ἄκουσας.
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Τοιγὰρ ἐγώ τοι, μῆτερ, ἀληθείην καταλέξω.

ϐάνοντο αὐτοῦ περὶ πάντων· κᾀν τούτῳ πάρεισι Πείραιος ἄγων τὸν ξένον εἰς τὴν ἀγοράν· Τηλέμαχος δὲ ὑποδέχεται αὐτὸν φιλοφρόνως. Ὁ μὲν οὖν Πείραιος κελεύει Τηλέμαχον πέμψαι παρ' ἑαυτὸν τῶν γυναικῶν τινας, παραληψομένας τὰ δῶρα, ἃ οἱ Μενέλαος ἐδεδώκει, καὶ οἴκαδε κομιούσας. Τηλέμαχος, Πείραιε, ἔφη, ἐπειδή μοι τὰ πράγματά ἐστιν ἐν ἀδήλῳ, ὅπως ποτ' ἀποβαίη, κείσθω ταῦτα παρά σοι· εἰ μὲν γὰρ οἱ μνηστῆρες ἀνελόντες με, διανείμαιντο τὰ πατρῷα ἐν σφίσιν αὐτοῖς, σοὶ ταῦτα δίδωμι ἔχειν· εἰ δ' ἐγὼ κρατήσας αὐτῶν, ἀπολέσαιμι, πέμψον μοι ταῦτα χαίροντι χαίρων.

Ταῦτα δ' εἰπὼν, ἐχώρει ἄγων τὸν Θεοκλύμενον οἴκαδε· ὡς δὲ ἐγένοντο ἐν τῷ δώματι, καθέντες τὰς χλαίνας ἐπὶ τῶν ἑδρῶν, εἰσῆλθον εἰς τὸν λουτρῶνα, καὶ ἐλούοντο· ὡς δὲ καλῶς αὐτοῖς εἶχε, χρισθέντες ἐλαίῳ, χλαίνας τε καλὰς καὶ χιτῶνας περιϐαλόμενοι, ἐξιόντες ἐκαθέσθησαν ἐπὶ θρόνων· καὶ ἡ θεραπαινὶς εὐθὺς ἐνέχει αὐτοῖς νίψασθαι ἐπὶ χρυσῆς προχόου ἐν λέϐητι ἀργυρῷ· εἶθ' οὕτω τραπέζης τεθείσης, καὶ πολλῶν αὐτοῖς ἐδωδίμων παρατεθειμένων, ἤσθιον· ἡ δὲ μήτηρ λαϐοῦσα ἠλακάτην, ἐκαθέσθη ἀπ' ἐναντίας παρὰ τῷ τῆς θύρας σταθμῷ· ὡς δ' αὐτοῖς ἅλις εἶχεν, ἤρξατο ἐρέσθαι τὸν παῖδα τοιαῦτα· Τηλέμαχε, φίλον τέκνον, ἐγὼ μὲν ἤδη, ἀναϐᾶσα ἐς τὸ ὑπερῷον, κατακλινοῦμαι ἐν τῇ εὐνῇ· ἣ τῶν τε στεναγμῶν ὁσημέραι ἀναπίμπλαται τῶν ἐμῶν, καὶ καθ' ἑκάστην, ἀφ' οὗ Ὀδυσσεὺς συνεξέπλευσε τοῖς Ἀτρίδαις, τοῖς ἐμοῖς ἐπαρδεύεται δάκρυσιν· σὺ δ' οὐκ ἔτλης νῦν, πρὶν ἢ τοὺς μνηστῆρας συλλεγῆναι, εἰπεῖν μοι, εἴ τι μεμάθηκας περὶ τοῦ πατρός.

Τηλέμαχος δὲ πρὸς ταῦτα· περὶ μὲν τούτου, ὦ μῆτερ, ἔφη, ἐρῶ σοι πάντ' ἀληθῆ· ὡς γὰρ ἀφικόμην ἐς Πύλον παρὰ

Ὠχόμεθ' ἔς τε Πύλον καὶ Νέστορα, ποιμένα λαῶν·
Δεξάμενος δέ με κεῖνος ἐν ὑψηλοῖσι δόμοισιν
Ἐνδυκέως ἐφίλει, ὡσεί τε πατὴρ ἑὸν υἷα,
Ἐλθόντα χρόνιον νέον ἄλλοθεν· ὣς ἐμὲ κεῖνος
Ἐνδυκέως ἐκόμιζε σὺν υἱάσι κυδαλίμοισιν.
Αὐτὰρ Ὀδυσσῆος ταλασίφρονος οὔποτ' ἔφασκεν,
Ζωοῦ οὐδὲ θανόντος, ἐπιχθονίων τευ ἀκοῦσαι·
Ἀλλά μ' ἐς Ἀτρείδην, δουρικλειτὸν Μενέλαον,
Ἵπποισι προὔπεμψε καὶ ἅρμασι κολλητοῖσιν.
Ἔνθ' ἴδον Ἀργείην Ἑλένην, ἧς εἵνεκα πολλὰ
Ἀργεῖοι Τρῶές τε θεῶν ἰότητι μόγησαν.
Εἴρετο δ' αὐτίκ' ἔπειτα βοὴν ἀγαθὸς Μενέλαος,
Ὅττευ χρηΐζων ἱκόμην Λακεδαίμονα δῖαν·
Αὐτὰρ ἐγὼ τῷ πᾶσαν ἀληθείην κατέλεξα·
Καὶ τότε δή μ' ἐπέεσσιν ἀμειβόμενος προσέειπεν·
Ὢ πόποι, ἦ μάλα δὴ κρατερόφρονος ἀνδρὸς ἐν εὐνῇ
Ἤθελον εὐνηθῆναι, ἀνάλκιδες αὐτοὶ ἐόντες.
Ὡς δ' ὁπότ' ἐν ξυλόχῳ ἔλαφος κρατεροῖο λέοντος
Νεβροὺς κοιμήσασα νεηγενέας γαλαθηνοὺς
Κνημοὺς ἐξερέῃσι καὶ ἄγκεα ποιήεντα
Βοσκομένη· ὁ δ' ἔπειτα ἑὴν εἰσήλυθεν εὐνήν·
Ἀμφοτέροισι δὲ τοῖσιν ἀεικέα πότμον ἐφῆκεν·
Ὣς Ὀδυσσεὺς κείνοισιν ἀεικέα πότμον ἐφήσει.
Αἲ γὰρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
Τοῖος ἐὼν, οἷός ποτ' ἐϋκτιμένῃ ἐνὶ Λέσβῳ
Ἐξ ἔριδος Φιλομηλείδῃ ἐπάλαισεν ἀναστὰς,
Κὰδ δ' ἔβαλε κρατερῶς, κεχάροντο δὲ πάντες Ἀχαιοὶ,
Τοῖος ἐὼν μνηστῆρσιν ὁμιλήσειεν Ὀδυσσεύς·
Πάντες κ' ὠκύμοροί τε γενοίατο, πικρόγαμοί τε.
Ταῦτα δ', ἅ μ' εἰρωτᾷς καὶ λίσσεαι, οὐκ ἂν ἔγωγε

τὸν Νέστορα, αὐτόςτε καὶ οἱ παῖδες ἐδέξαντό με φιλοφρόνως· οὐχ ἧττον, ἢ καὶ πατὴρ, τηλόθεν ἰδὼν υἱὸν ἀφιγμένον· περὶ δὲ Ὀδυσσέως οὐκ ἔφη οὔτ' ἀκηκοέναι, οὔτε εἰδέναι, οὔθ' ὡς ζῶντος, οὔθ' ὡς τεθνεῶτος οὐδὲν οὐδαμοῦ· ἔπεμψε δέ με ἐφ' ἅρματος ἐς τὴν Σπάρτην ὡς Μενέλαον πευσόμενόν τι μάλιστα παρ' ἐκείνου· ἔνθα εἶδον καὶ τὴν Ἑλένην τὴν καλλιπάρειον, ὑπὲρ ἧς τοσαῦτα καὶ τοιαῦτα θεῶν βουλῇ πεπόνθασιν Ἕλληνες· Ἐρωτηθεὶς οὖν τὴν αἰτίαν, δι' ἣν ὡς αὐτὸν ἐγενόμην, καὶ τοῦ δεόμενος, τοσαύτην διαπόντιον ὁδὸν διεπεραιώθην, εἶπον αὐτῷ πάνθ' ὡς ἔχει ἡμῖν τὰ παρόντα σαφῶς· ὁ δὲ, ὦ τῆς ἀναιδείας, ἔφη! πῶς γὰρ ἀνδρὸς ἀρίστου, κάκιστοι αὐτοὶ ὄντες, ἐτόλμησαν εὐνῆς ἐπιβῆναι; καὶ ὅπως διαδράσειαν τὸ δίκην ἐκείνῳ δοῦναι, ἐφ' οἷς εἰς αὐτὸν ἐξυβρίζουσιν; ὥσπερ γὰρ εἴτις ποτὲ τῶν ἐλάφων, τοὺς ἑαυτῆς νεοθαλεῖς νεβροὺς ἐν φωλεῷ πῃ κατακοιμίσασα λέοντος, ἀνύποπτος ὅλως κατά τε λόφους χλωροὺς, καὶ κοιλάδας εὐανθεῖς διαθεῖ νεμομένη· ὁ δὲ λέων, ἀπροσδοκήτως εἰς τὸν φωλεὸν συνήθως ἐπανελθὼν, κατεσπάραξε τοὺς νεβρούς· οὕτως Ὀδυσσεὺς, ἐπειδὰν ἐπανέλθῃ, τοὺς ἑαυτοῦ στιβαροὺς καὶ ἀνικήτους βραχίονας αὐτοῖς ἐπαφήσει, ὥστε μηκέτι εἶναι. Αἲ γὰρ Ζεῦ τε, καὶ Ἀθηνᾶ, καὶ Ἄπολλων, τοιοῦτον ἴδοιμι Ὀδυσσέα ἐπιπεσόντα τοῖς ὑβρισταῖς καὶ ὑπερφιάλοις μνηστῆρσιν· οἷος ἦν ἐν Λέσβῳ, ὅτ' ἐξ ἔριδος ἀναστὰς, ἐπάλαισε τῷ Φιλομηλέως· ὃν κατέβαλε κατὰ γῆς καρτερῶς· καὶ οἱ Ἕλληνες ἥδιστ' τοῦθ' οὕτως εἶδον γεγενημένον· τάχα γὰρ ἂν σύμπαντες οὗτοί γε ὠκύμορώτατοί τε καὶ πικρόγαμοι γένοιντο. Νῦν δ', ἔφη, κἀκεῖνο, ὦ τέκνον, οὐκ ἂν δυ-

Ἄλλα παρὲξ εἴποιμι παρακλιδὸν, οὐδ' ἀπατήσω·
Ἀλλὰ τὰ μέν μοι ἔειπε γέρων ἅλιος νημερτὴς,
Τῶν οὐδέν τοι ἐγὼ κρύψω ἔπος, οὐδ' ἐπικεύσω.
Φῆ μιν ὅγ' ἐν νήσῳ ἰδέειν κρατέρ' ἄλγε' ἔχοντα,
Νύμφης ἐν μεγάροισι Καλυψοῦς, ἥ μιν ἀνάγκῃ
Ἴσχει· ὁ δ' οὐ δύναται ἣν πατρίδα γαῖαν ἱκέσθαι.
Οὐ γάρ οἱ πάρα νῆες ἐπήρετμοι καὶ ἑταῖροι,
Οἵ κέν μιν πέμποιεν ἐπ' εὐρέα νῶτα θαλάσσης.
Ὣς ἔφατ' Ἀτρείδης, δουρικλειτὸς Μενέλαος.
Ταῦτα τελευτήσας νεόμην· ἔδοσαν δέ μοι οὖρον
Ἀθάνατοι, τοί μ' ὦκα φίλην ἐς πατρίδ' ἔπεμψαν.
Ὣς φάτο· τῇ δ' ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινεν.
Τοῖσι δὲ καὶ μετέειπε Θεοκλύμενος θεοειδής·
Ὦ γύναι αἰδοίη Λαερτιάδεω Ὀδυσῆος,
Ἤτοι ὅγ' οὐ σάφα οἶδεν· ἐμεῖο δὲ σύνθεο μῦθον·
Ἀτρεκέως γάρ σοι μαντεύσομαι, οὐδ' ἐπικεύσω.
Ἴστω νῦν Ζεὺς πρῶτα θεῶν, ξενίη τε τράπεζα,
Ἱστίη τ' Ὀδυσῆος ἀμύμονος, ἣν ἀφικάνω,
Ὡς ἤτοι Ὀδυσεὺς ἤδη ἐν πατρίδι γαίῃ
Ἥμενος ἢ ἕρπων, τάδε πευθόμενος κακὰ ἔργα,
Ἐστὶν, ἀτὰρ μνηστῆρσι κακὸν πάντεσσι φυτεύει·
Οἷον ἐγὼν οἰωνὸν ἐϋσσέλμου ἐπὶ νηὸς
Ἥμενος ἐφρασσάμην, καὶ Τηλεμάχῳ ἐγεγώνευν.
Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Αἲ γὰρ τοῦτο, ξεῖνε, ἔπος τετελεσμένον εἴη·
Τῷ κε τάχα γνοίης φιλότητά τε, πολλά τε δῶρα
Ἐξ ἐμεῦ, ὡς ἄν τίς σε συναντόμενος μακαρίζοι.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Μνηστῆρες δὲ πάροιθεν Ὀδυσσῆος μεγάροιο
Δίσκοισιν τέρποντο καὶ αἰγανέῃσιν ἱέντες,
Ἐν τυκτῷ δαπέδῳ, ὅθι περ πάρος ὕβριν ἔχεσκον.

---

158. Ἥμενος, ἢ ἕρπων καθήμενος, ἢ κατ' ὀλίγον καὶ κρύφα προσιών.

ναίμην σε ἀποκρύψασθαι· ὅ μοι γέρων ὁ ἅλιος εἶπεν· Ὀδυσσέα γὰρ ἔφη ἐκεῖνος, ἄκοντα κατέχεσθαι παρὰ Καλυψοῖ, μὴ δυνάμενον ἀφικέσθαι ἐς φίλην πατρίδα γαῖαν, μήτε νεὼς, μήτε ναυτῶν εὐπορῶν. Ταῦτα μὲν Μενελάου ἀκούσας, ἐπανῆλθον εἰς Πύλον· κἀκεῖθεν οὔριον ἡμῖν πνεῦμα τῶν θεῶν ἀνιέντων, ἀφικόμην ἐς φίλην πατρίδα γαῖαν.

Θεοκλύμενος δ᾽ ἐν τούτοις ἰδὼν Πηνελόπην ὑποδεδακρυμένην, καὶ σφόδρα τἄνδον κεκινημένην, ἐπειρᾶτο παραμυθεῖσθαι, ὦ σεβασμία, λέγων, γυνὴ Ὀδυσσέως, Τηλέμαχος μὲν περὶ τούτου οἶδε σαφῶς οὐδέν· ἐμοὶ δὲ προσχοῦσα μαντευομένῳ, ἀκούσεις πάντ᾽ ἀψευδῆ· ἴστω γὰρ Ζεὺς ὁ ξένιος, ἥτε τράπεζα ἥδε, καὶ ἡ ἑστία τοῦ Ὀδυσσέως, ἐς ἣν τυγχάνω ἐλθὼν, ὡς Ὀδυσσεὺς δυοῖν θάτερον, ἢ ἐν Ἰθάκῃ καταδύς πῃ ἐστὶν, ἢ νῦν ἀκούσας περὶ τῶν παρόντων κακῶν, σπουδῇ κατατείνει, τὰ κάκιστα μνηστῆρσι βυσσοδομεύων· τοιοῦτον γὰρ ἔγωγ᾽ ἀπὸ τῆς νεὼς ἑωρακὼς οἰωνὸν, ἐξηγησάμην τουτωῒ Τηλεμάχῳ.

Πηνελόπη δὲ πρὸς ταῦτα· εἴη ἡμῖν, ὦ ξένε, ταῦτα γενέσθαι· καί σοι οὐ μεταμελήσει παραγενομένῳ ἐνταῦθα· τά τε γὰρ ἄλλα παρ᾽ ἡμῶν εὐνοϊκά σοι μάλιστα ἔσται· καὶ δῶρα προσλήψῃ, οἷά σε μακαρίζεσθαι παρὰ πᾶσι

Τοιαῦτα τοίνυν πρὸς ἀλλήλους τούτων διαλεγομένων, οἱ μνηστῆρες ἠγωνίζοντο δίσκῳ καὶ ἀκοντίῳ μικρὸν ἄπο τῆς τοῦ Ὀδυσσέως οἰκίας, ἔνθ᾽ ἦν αὐτοῖς σύνηθες ἐξυβρίζειν·

---

161. Ἥμενος ἐφρασάμην] καθήμενος ἐνόησα. — Ἐγεγώνευν] ἐγεγώνουν, ἔλεγον. 168. Αἰγανέῃσιν] τοῖς ἀκοντίοις ῥίπτοντες, διέτριβον· 169. Ἐν τυκτῷ δαπέδῳ] ἐν τόπῳ λειανθέντι, ἐξωμαλισμένῳ· — Ὅθι πάρος] ὅπου ἔθος ἦν αὐτοῖς ἀτασθαλοῦντας ὑβρίζειν. 170. Δειπνηστὸς ἔην] καιρὸς ἦν τοῦ δείπνου.

Ἀλλ' ὅτε δὴ δείπνηστος ἔην, καὶ ἐπήλυθε μῆλα
Πάντοθεν ἐξ ἀγρῶν, οἱ δ' ἤγαγον, οἳ τὸ πάρος περ,
Καὶ τότε δή σφιν ἔειπε Μέδων· ὃς γάρ ῥα μάλιστα
Ἥνδανε κηρύκων καί σφιν παρεγίγνετο δαιτί·
Κοῦροι, ἐπειδὴ πάντες ἐτέρφθητε φρέν' ἀέθλοις,
Ἔρχεσθε πρὸς δώμαθ', ἵν' ἐντυνώμεθα δαῖτα·
Οὐ μὲν γάρ τι χέρειον ἐν ὥρῃ δεῖπνον ἑλέσθαι.
Ὣς ἔφαθ'· οἱ δ' ἀνστάντες ἔβαν, πείθοντό τε μύθῳ·
Αὐτὰρ ἐπεί ῥ' ἵκοντο δόμους εὐναιετάοντας,
Χλαίνας μὲν κατέθεντο κατὰ κλισμούς τε θρόνους τε·
Οἱ δ' ἱέρευον ὄϊς μεγάλους καὶ πίονας αἶγας,
Ἵρευον δὲ σύας σιάλους καὶ βοῦν ἀγελαίην,
Δαῖτ' ἐντυνόμενοι. Τοὶ δ' ἐξ ἀγροῖο πόλινδε
Ὠτρύνοντ' Ὀδυσσεύς τ' ἰέναι καὶ δῖος ὑφορβός.
Τοῖσι δὲ μύθων ἦρχε συβώτης, ὄρχαμος ἀνδρῶν·
Ξεῖν', ἐπεὶ ἂρ δὴ ἔπειτα πόλινδ' ἰέναι μενεαίνεις
Σήμερον, ὡς ἐπέτελλεν ἄναξ ἐμός· ἦ σ' ἂν ἔγωγε
Αὐτοῦ βουλοίμην σταθμῶν ῥυτῆρα λιπέσθαι·
Ἀλλὰ τὸν αἰδέομαι καὶ δείδια, μή μοι ὀπίσσω
Νεικείῃ· χαλεπαὶ δέ τ' ἀνάκτων εἰσὶν ὁμοκλαί·
Ἀλλ' ἄγε νῦν ἴομεν· δὴ γὰρ μέμβλωκε μάλιστα
Ἦμαρ· αὐτὰρ τάχα τοι ποτὶ ἕσπερα ῥίγιον ἔσται.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Γιγνώσκω, φρονέω· τάγε δὴ νοέοντι κελεύεις.
Ἀλλ' ἴομεν· σὺ δ' ἔπειτα διαμπερὲς ἡγεμόνευε.
Δὸς δέ μοι, εἴ ποθί τοι ῥόπαλον τετμημένον ἐστὶν,
Σκηρίπτεσθ', ἐπειή φατ' ἀρισφαλέ' ἔμμεναι οὐδόν.
Ἦ ῥα καὶ ἀμφ' ὤμοισιν ἀεικέα βάλλετο πήρην,
Πυκνὰ ῥωγαλέην· ἐν δὲ στρόφος ἦεν ἀορτήρ.
Εὔμαιος δ' ἄρα οἱ σκῆπτρον θυμαρὲς ἔδωκεν.
Τὼ βήτην· σταθμὸν δὲ κύνες καὶ βώτορες ἄνδρες
Ῥύατ', ὄπισθε μένοντες· ὁ δ' ἐς πόλιν ἦγεν ἄνακτα,

ἀλλ' ὅτε καιρὸς ἐλάμβανεν ἀριστοποιεῖσθαι, ἀχθέντων ἤδη τῶν ἱερείων πανταχόθεν ἀπὸ τῶν ἀγρῶν, ὃ σύνηθες ἦν γίγνεσθαι καθ' ἑκάστην, τότε δὴ Μέδων, ὃς κηρύκων αὐτοῖς ἁπάντων τῶν περὶ τὴν τράπεζαν ἐν τοῖς μάλιστα ἦν, παρελθὼν αὐτοῖς, ἔφη Ἄνδρες μνηστῆρες, ἅλις ὑμῖν ἤδη ἔχει διατριβῆς· νῦν δ' ἔρχεσθε οἴκαδε ἐπιμελησόμενοι δείπνου· ἄριστον γὰρ τοῦθ' ἡμῖν ὥρας ἐνστάσης ἀριστοποιεῖσθαι.

Ταῦτα δ' αὐτοῦ εἰπόντος, ἀπαλλαγέντες ἐκεῖνοι τῶν ἄθλων, ἦλθον οἴκαδε· καὶ δὴ τὰς ἑαυτῶν χλαίνας καταθέντες ἐπὶ τῶν ἑδρῶν, σφάξαντές τε, κριούς τε καὶ τράγους, καὶ χοίρους πιμελεῖς, καὶ βοῦν ἐξ ἀγέλης, παρεσκευάζοντο δεῖπνον. Ἐν δὲ τούτῳ Ὀδυσσεύς τε καὶ Εὔμαιος ὥρμηντο ἐλθεῖν εἰς τὴν πόλιν· πρὶν δ' οὖν ἀπάραι Εὔμαιός φησιν, ἐγὼ μὲν, ὦ ξένε, βουλοίμην ἂν αὐτοῦ καταμεῖναί σε φυλάττοντα τὸν σταθμόν· ἀλλὰ δέος, μή τις ἐπὶ τούτῳ ἐπιτίμησις γένηταί μοι παρὰ τοῦ δεσπότου· χαλεπὸν γὰρ ἡμῖν ἡ παρ' ἐκείνων ὀργή· ἀλλ' ἄγε νῦν ἴωμεν, ὡς ἐκέλευσεν· ἤδη γὰρ καὶ ἠπιώτερός ἐστιν ἡ ἡμέρα· τὸ δὲ πρὸς ἑσπέραν τάχα σοι καὶ πικρότερα ἔσται.

Ὀδυσσεὺς δὲ πρὸς ταῦτα· καὶ βουλομένῳ μοι, ὦ βέλτιστε, Εὔμαιε, ταῦτ' εἴρηταί σοι· ἀλλ' ἀναστὰς ἡγοῦ μοι θᾶσσον, ῥόπαλόν τι δοὺς ἔμοιγε, ᾧ ἐπερειδοίμην βαδίζων· μανθάνω γὰρ τραχεῖαν καὶ ἀκροσφαλῆ ἡμῖν εἶναι τὴν ὁδόν.

Ταῦτ' οὖν εἰπὼν, καὶ τὴν ῥωγαλέαν ἀναρτησάμενος πήραν ἀπὸ τοῦ σχοινίου, προῄει, ῥόπαλον δεξάμενος παρ' Εὐμαίου· ἡ δὲ φυλακὴ τοῦ σταθμοῦ ἐμπεπίστευται τοῖς ἄλλοις συβώταις καὶ τοῖς κυσίν· Εὔμαιος μὲν οὖν οὕτως ἦγεν Ὀδυσσέα ἐς

γραπτέον δ' οὖν ἴσως δειπνιστὸς, ἢ γοῦν δειπνητός· ὁ δὲ λόγος δῆλος. 176. Οὐ γάρ τι χέρειον] οὐκ ἔστι κακὸν ἐσθίειν ἐν ὥρᾳ. ἀλλὰ καὶ μάλα καλόν. 187. Ῥυτῆρα] φύλακα τῆς ἐπαύλεως. 189. Νεικείῃ] ἐπιτιμήσῃ. — Ὁμοκλαί] ἀπειλαί. 190. Μέμβλωκε] παρεῖλθε τὸ πλεῖον τῆς ἡμέρας. 191. Ῥίγιον] ψύχος. 196. Σκηρίπτεσθαι] ἐπερείδεσθαι. 199. Θυμαρὲς] ἡρμοσμένον τῷ θυ-

Πτωχῷ λευγαλέῳ ἐναλίγκιον ἠδὲ γέροντι,
Σκηπτόμενον· τὰ δὲ λυγρὰ περὶ χροῒ εἵματα ἕστο.
Ἀλλ' ὅτε δὴ στείχοντες ὁδὸν κάτα παιπαλόεσσαν,
Ἄστεος ἐγγὺς ἔσαν καὶ ἐπὶ κρήνην ἀφίκοντο
Τυκτὴν, καλλίροον, ὅθεν ὑδρεύοντο πολῖται,
Τὴν ποίησ' Ἴθακος καὶ Νήριτος ἠδὲ Πολύκτωρ·
Ἀμφὶ δ' ἄρ' αἰγείρων ὑδατοτρεφέων ἦν ἄλσος,
Πάντοσε κυκλοτερὲς, κατὰ δὲ ψυχρὸν ῥέεν ὕδωρ
Ὑψόθεν ἐκ πέτρης· βωμὸς δ' ἀφύπερθε τέτυκτο
Νυμφάων, ὅθι πάντες ἐπιῤῥέζεσκον ὁδῖται·
Ἔνθά σφεας ἐκίχαν' υἱὸς Δολίοιο Μελανθεὺς,
Αἶγας ἄγων, αἳ πᾶσι μετέπρεπον αἰπολίοισιν,
Δεῖπνον Μνηστήρεσσι· δύω δ' ἅμ' ἕποντο νομῆες.
Τοὺς δὲ ἰδὼν νείκεσσεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν,
Ἔκπαγλον καὶ ἀεικές· ὄρινε δὲ κῆρ Ὀδυσσῆος·
Νῦν μὲν δὴ μάλα πάγχυ κακὸς κακὸν ἡγηλάζει·
Ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον.
Πῆ δὴ τόνδε μολοβρὸν ἄγεις, ἀμέγαρτε συβῶτα,
Πτωχὸν ἀνιηρὸν, δαιτῶν ἀπολυμαντῆρα;
Ὃς πολλῇς φλιῇσι παραστὰς θλίψεται ὤμους,
Αἰτίζων ἀκόλους, οὐκ ἄορας οὐδὲ λέβητας·
Τόν κ' εἴ μοι δοίης σταθμῶν ῥυτῆρα λιπέσθαι
Σηκοκόρον τ' ἔμεναι, θαλλόν τ' ἐρίφοισι φορῆναι·
Καί κεν ὀρὸν πίνων, μεγάλην ἐπιγουνίδα θεῖτο·
Ἀλλ' ἐπεὶ οὖν δὴ ἔργα κάκ' ἔμμαθεν, οὐκ ἐθελήσει

μῷ, θυμῆρες. ἀρεστόν. 203. σκηπτόμενον] ἐπερειδόμενον.— Ἕστο] ἠμφίεστο. 207. Ἴθακος] Ἴθακος καὶ Νήριτος παῖδες Πετρελάου ἀπὸ Διὸς ἕλκοντες τὸ γένος, ᾤκουν ποτὲ τὴν κεφαλληνίαν. μεταβάντες δὲ εἰς Ἰθάκην, καὶ ἰδόντες τὸ χωρίον ἐπιτήδειον, ἔκτισαν πόλιν· κἀκ τούτου ἡ μὲν νῆσος Ἰθάκη ἀπὸ τοῦ Ἰθάκου· τὸ δὲ ὄρος, Νήριτον, ἀπὸ τοῦ Νηρίτου, καλεῖται. 211. Ἐπιρέ-

τὴν πόλιν ὅμοιον πτωχῷ δυστήνῳ καὶ γέροντι κατεῤῥικνω-
μένῳ, ῥοπάλῳ σκηπτόμενον, καὶ πιναρὰ ἀμπεχόμενον· ὡς
δὲ προϊόντες, ἐγένοντο πρὸς τῇ πόλει κατὰ τὴν καλλίῤῥουν
κρήνην (ἔργον δ' ἦν τοῦτο Ἴθακος, Νηρίτου τε, καὶ Πολύκτο-
ρος· περὶ ἣν ἄλσος ἐστὶν αἰγείρων κυκλοτερὲς, καὶ ὕδωρ ἐκ
πέτρας ἄνωθεν καταῤῥέον, ἐφ' ἧς Νύμφαις βωμὸς ᾠκοδόμη-
το, πρὸς ἃς οἱ παριόντες ἐκεῖθεν ἱστάμενοι, εὔχονται.) ἐνταῦθ'
ἀπαντῶσι Μελανθεῖ τῷ Δολίου σὺν δύο τῶν αἰπόλων, αἶγας
μνηστῆρσιν ἄγουσι, τὰς καλλίστας καὶ διαπρεπούσας ἐν
πάσαις ταῖς ἄλλαις· Οὗτος οὖν ἅμ' ἰδὼν τοὺς ἀμφὶ τὸν Εὔ-
μαιον, ἤρξατο ἐξυβρίζειν· ὃ εἰς οὐκ ὀλίγην ὀργὴν ἐκίνησεν
Ὀδυσσέα· μέγα γὰρ λαρυγγίσας, ἰδοὺ, ἔφη, ὅπως κακὸς
κακὸν ὁδηγεῖ· ἄγει γὰρ ὁ θεὸς, ὡς ἔοικεν, ὅμοιον πρὸς τὸ
ὅμοιον· ἀλλὰ ποῖ δήποτ' ἄγεις, ὦ πονηρὲ σύφε, τὸν παράσι-
τον τοῦτον καὶ πονηρὸν ἐπαίτην, λυμεῶν' ὅλως ἐσόμενον τρα-
πεζῶν· ὃς πρὸς ταῖς φλιαῖς ἀεὶ παριστάμενος τῶν εἰσόδων,
παρατρίψει τοὺς ὤμους πρὸς τοὺς τῶν θυρῶν παραστάτας,
αἰτῶν οὐ γυναῖκας, οὐ λέβητας, οὐδὲ τρίποδας, ἃ ἄξιά ἐστι
τοῖς ἀρίστοις αἰτεῖσθαι, ἀλλὰ ψωμοὺς τούτους γε τοὺς περισ-
σεύοντας ἐν τραπέζαις; τί δ' ἂν μὴ οὐχὶ διδοίης ἔμοιγ' αὐ-
τὸν σηκοκόρον ἐσόμενον, καὶ κλάδους εὐθαλεῖς συμφορή-
σοντα τοῖς ἐρίφοις; ὃ κἀυτῷ συνοίσει οὐχ ἧττον; τρεφόμενος
γὰρ αὐτοῦ τῷ ὀῤῥῷ, λιπαρώτερος ἔσται· ἀλλ' οὗτος, ὡς
ἔοικεν, κακῶς μαθὼν πράττειν, οὐκ ἂν δέξαιθ' ἑτέρῳ ἐργα-

ζεσκον] ἔθυον, ἢ εὔχοντο παρὰ τὸ ῥέζειν. 216. Ἔκπλαγλον] ὑβριστικὸν, καὶ
αἰσχρόν. 217. Ἡγηλάζει] ὁδηγεῖ. 219. Μολοβρὸν] γαστρίμαργον, ἐπαίτην.
— Αμέγαρτε] ἀνεπίφθονε ἐν τῷ συβωτεῖν. 222. Ἄορας] οἱ μὲν, ξίφη· οἱ δὲ
τρίποδας· οἱ δὲ γυναῖκας φασι· ἔοικε δὲ τῷ γυναῖκας πιθανώτερον εἶναι, συ-
νήθους τούτου ὄντος τοῖς νικῶσι βραβείου. 224. Σηκοκόρον] ἐπιμελούμενον
τῶν σηκῶν, καὶ σαίροντα. — Θαλλὸν] κλάδους χλωρούς. 225. Ὀρὸν] ἀντὶ

Ἔργον ἐποίχεσθαι, ἀλλὰ πτώσσων κατὰ δῆμον,
Βούλεται αἰτίζων βόσκειν ἣν γαστέρ' ἄναλτον.
Ἀλλ' ἔκ τοι ἐρέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
Αἴ κ' ἔλθῃ πρὸς δώματ' Ὀδυσσῆος θείοιο,
Πολλά οἱ ἀμφὶ κάρη σφέλα ἀνδρῶν ἐκ παλαμάων
Πλευραὶ ἀποτρίψουσι δόμον κάτα βαλλομένοιο.
Ὣς φάτο· καὶ παριὼν λὰξ ἔνθορεν ἀφραδίῃσιν
Ἰσχίῳ· οὐδέ μιν ἐκτὸς ἀταρπιτοῦ ἐστυφέλιξεν,
Ἀλλ' ἔμεν' ἀσφαλέως· ὁ δὲ μερμήριξεν Ὀδυσσεὺς,
Ἠὲ μεταΐξας ῥοπάλῳ ἐκ θυμὸν ἕλοιτο,
Ἦ πρὸς γῆν ἐλάσειε κάρη, ἀμφουδὶς ἀείρας.
Ἀλλ' ἐπετόλμησε, φρεσὶ δ' ἔσχετο· τὸν δὲ συβώτης
Νείκεσ' ἐσάντα ἰδών· μέγα δ' εὔξατο, χεῖρας ἀνασχών·
Νύμφαι κρηναῖαι, κοῦραι Διὸς, εἴποτ' Ὀδυσσεὺς
Υ̓́μμ' ἐπὶ μηρί' ἔκηε, καλύψας πίονι δημῷ,
Ἀρνῶν ἠδ' ἐρίφων, τόδε μοι κρηήνατ' ἐέλδωρ,
Ὡς ἔλθοι μὲν κεῖνος ἀνὴρ, ἀγάγοι δέ ὁ δαίμων·
Τῷ κέ τοι ἀγλαΐας γε διασκεδάσειεν ἁπάσας,
Τὰς νῦν ὑβρίζων φορέεις, ἀλαλήμενος αἰεὶ
Ἄστυ κάτ'· αὐτὰρ μῆλα κακοὶ φθείρουσι νομῆες.
Τὸν δ' αὖτε προσέειπε Μελάνθιος, αἰπόλος αἰγῶν·
Ὢ πόποι, οἷον ἔειπε κύων, ὀλοφώϊα εἰδώς.
Τόν ποτ' ἐγὼν ἐπὶ νηὸς ἐϋσσέλμοιο μελαίνης
Ἄξω τῆλ' Ἰθάκης, ἵνα μοι βίοτον πολὺν ἄλφοι.
Αἲ γὰρ Τηλέμαχον βάλοι ἀργυρότοξος Ἀπόλλων

τοῦ ὀῤῥὸν, ὅς ἐστιν ὑδατώδης τοῦ γάλακτος ὑπόστασις. 227. Πτώσσων] πτωχεύσων, ἐπαιτήσων. 228. Ἄναλτον] ἀπλήρωτον. 231. Σφέλα] τὰ ὑποπόδια, αἱ πλευραὶ τὰ σφέλα ἐκτρίψουσι, συνέταξε καινοπρεπῶς ἀντὶ τοῦ τὰ σφέλα ἐκτρίψουσι τὰς πλευράς. 233. Ἔνθορε] ἐπεπήδησε, λακτίσας κατὰ τοῦ Ἰσχίου τοῦ Ὀδυσσέως. 234. Ἀταρπιτοῦ] τῆς ἀτραποῦ, ὁδοῦ. — ἐστυφέλιξε] ἐξεκίνησεν αὐτόν· ἀλλ' ἔμενεν Ὀδυσσεὺς ἀσφαλῶς.

ζόμενος, τρέφεσθαι· ἀλλ' ἐπαιτῶν συνήθως, μᾶλλον ἂν ἕλοιτο τὴν ἑαυτοῦ ἀκόρεστον ἐμπλῆσαι γαστέρα· ἀλλ' ἴσθι σύγε, μᾶλλον δὲ πέπεισο καλῶς, ὡς εἰ ἴδοιμι τοῦτον εἰσιόντα εἰς τὴν τοῦ Ὀδυσσέως οἰκίαν, αὐτίκ' ὄψει αὐτὸν κατεαγότα τὰς πλευρὰς τοῖς ὑποποδίοις ὑπὸ τῶν μνηστήρων.

Ἐν δὲ τῷ ἐξυβρίζειν τοιαῦτα, ἅμα παραλλάττων, ἐλάκτισεν μὲν ἰσχυρῶς κατὰ Ὀδυσσέως, οὐκ ἐδυνήθη δὲ μετακινῆσαι αὐτὸν ἀπὸ τῆς ὁδοῦ· Ὀδυσσεὺς δὲ μένων ἐπὶ τοῦ σχήματος, ἐλογίζετο καθ' ἑαυτὸν, πότερον, ἰὼν τῷ ῥοπάλῳ ὁμόσε, κατάξῃ αὐτῷ τὸ κρανίον, ἢ ἀναρπάσας αὐτὸν, ἀράξῃ πρὸς τοὔδαφος; ταῦτα δὴ διαμελετῶντι ἔδοξεν αὐτῷ ἄμεινον κατασχεῖν· Εὔμαιος δὲ πολλὰ ἐπιτιμήσας ἐκείνῳ, ηὔξατο ταῖς Νύμφαις τοιάδε. Νῦμφαι κρηναῖαι, θυγατέρες Διὸς, εἴποθ' ὑμῖν μηρία ἀρνῶν καὶ ἐρίφων ἔκαεν Ὀδυσσεὺς, πιμελῇ καλύψας, γένοιτο παρ' ὑμῶν ἐλθεῖν ποθ' ἡμῖν τὸν ἄνδρα ἐκεῖνον, δαίμονός τινος ἐξηγουμένου αὐτῷ. Τότε δὴ ὄψει σὺ, ὦ κάκισθ' ἁπάντων ἀνθρώπων, τὴν σαυτοῦ ὀφρῦν πολλῷ ταπεινοτέραν γεγενημένην, μεθ' ἧς νῦν σοβῶν ἐν τῇ πόλει, οὐ παύῃ εἰς ἡμᾶς ἐξυβρίζων, ὁπόθ' οἱ ποιμένες σοι ὀπίσω διαφθείρουσι τὰ ποίμνια κατὰ τὸν σταθμόν.

Μελάνθιος δ' ὁ αἰπόλος πρὸς ταῦτα· ὢ πόποι, οἷ' ἄρα πρὸς ἡμᾶς μεγαλορρημονεῖ ὁ κύων γε οὑτοσὶ, σοφὰ καὶ ποικίλα πολλὰ εἰδώς· οὐκοῦν ἡδέως ἂν ἔγωγε τοιοῦτον αὐτὸν ὄντα πέμψαιμι ὡς πόῤῥω τῆς Ἰθάκης, πλοῦτόν μοι πολὺν κομιοῦντα· ἀλλ' ἐμοὶ φρόνημα, ὦ πόνηρε σύγε; πᾶν τοὐναντίον ἐςὶ περὶ Ὀδυσσέως· ὅσῳ γὰρ εἰμὶ πεποιθὼς μηκέτι ἐκεῖνον εἶναι, τοσούτῳ βάλοι Ἀπόλλων Τηλέμαχον τήμερον, ἢ αὐτοὶ απο-

---

238. Ἐπετόλμησε] ὑπέμεινε. 244. Ἀγλαΐας] ἀλαζονίας· ὑψηλοφροσύνας. 248. Κύων] ἀναιδὴς, ὁ πανοῦργα φρονῶν. 250. Ἵνα βίοτον πολὺν ἄλφοι] ἵνα

Σήμερον ἐν μεγάροις, ἢ ὑπὸ μνηστῆρσι δαμείη,
Ὡς Ὀδυσσῆΐ γε τηλοῦ ἀπώλετο νόστιμον ἦμαρ.
Ὣς εἰπὼν τοὺς μὲν λίπεν αὐτοῦ, ἧκα κιόντας,
Αὐτὰρ ὁ βῆ· μάλα δ' ὦκα δόμους ἵκανεν ἄνακτος.
Αὐτίκα δ' εἴσω ἴεν, μετὰ δὲ μνηστῆρσι κάθιζεν,
Ἀντίον Εὐρυμάχου· τὸν γὰρ φιλέεσκε μάλιστα.
Τῷ παρὰ μὲν κρειῶν μοῖραν θέσσαν, οἳ πονέοντο·
Σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα
Ἔδμεναι· ἀγχίμολον δ' Ὀδυσεὺς καὶ δῖος ὑφορβὸς
Στήτην ἐρχομένω· περὶ δέ σφεας ἤλυθ' ἰωὴ
Φόρμιγγος γλαφυρῆς· ἀνὰ γάρ σφισι βάλλετ' ἀείδειν
Φήμιος· αὐτὰρ ὁ χειρὸς ἑλὼν προσέειπε συβώτην·
Εὔμαι', ἦ μάλα δὴ τάδε δώματα κάλ' Ὀδυσῆος,
Ῥεῖα δ' ἀρίγνωτ' ἐστὶ καὶ ἐν πολλοῖσιν ἰδέσθαι.
Ἐξ ἑτέρων ἕτερ' ἐστίν· ἐπήσκηται δέ οἱ αὐλὴ
Τοίχῳ καὶ θριγκοῖσι, θύραι δ' εὐερκέες εἰσὶν
Δικλίδες· οὐκ ἄν τίς μιν ἀνὴρ ὑπεροπλίσσαιτο.
Γιγνώσκω δ', ὅτι πολλοὶ ἐν αὐτῷ δαῖτα τίθενται
Ἄνδρες· ἐπεὶ κνίση μὲν ἀνήνοθεν, ἐν δέ τε φόρμιγξ
Ἠπύει, ἣν ἄρα δαιτὶ θεοὶ ποίησαν ἑταίρην.
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
Ῥεῖ' ἔγνως· ἐπεὶ οὐδὲ τά τ' ἄλλα πέρ ἐσσ' ἀνοήμων.
Ἀλλ' ἄγε δὴ φραζώμεθ', ὅπως ἔςαι τάδε ἔργα.
Ἠὲ σὺ πρῶτος ἔσελθε δόμους εὐναιετάοντας,
Δύσεο δὲ μνηςῆρας, ἐγὼ δ' ὑπολείψομαι αὐτοῦ·
Εἰ δ' ἐθέλεις, ἐπίμεινον, ἐγὼ δ' εἶμι προπάροιθεν.

μοι πλοῦτον πολὺν κομίσῃ, ὡς δῆθεν ἔμπορος δεξιὸς καὶ πανοῦργος. 254. Ἧκα κιόντας] ἠρέμα πορευομένους. 261. Ἰωὴ] ἡ φωνή. 266. Ἐξ ἑταίρων ἕτε-ρα] πολυώροφα, πολύστεγα. 267. Θριγκοῖσι] μετὰ τὸν τοῖχον καὶ φραγμῷ.

κτείνειαν αὐτὸν οἱ μνηστῆρες. Ταῦτα δὲ εἰπὼν ἐχώρει τοῦ πρόσω, καταλιπὼν ὀπίσω τοὺς περὶ τὸν Εὔμαιον· κἀπειδὴ τάχιστα ἦλθεν οἴκαδε, εἰσιὼν ἐκαθέσθη ἐναντίον Εὐρυμάχου· περὶ ὃν ἐσπούδαζε μάλιστα· καὶ παρατεθείσης αὐτῷ μοίρας κρεῶν, ἤσθιε.

Εὔμαιος δὲ καὶ Ὀδυσσεὺς, ὡς ἐγένοντο πρὸς τῇ πόλει, ἀκούσαντες τῆς φόρμιγγος, ἣν Φήμιος ὁ ἀοιδὸς ἀνεκρούετο, ἔστησαν· καὶ ὁ Ὀδυσσεὺς λαβὼν Εὔμαιον τῆς χειρὸς, φησὶ πρὸς αὐτόν· ὡς μάλα καλὰ, ὦ Εὔμαιε, τὰ τοῦ Ὀδυσσέως βασίλεια δοκοῦσί μοι εἶναι· ἀρίγνωτα γὰρ καὶ πολλῷ τῶν ἄλλων ἐκείνων τῶν πολλῶν εἰσὶ διαφέροντα, ὥστε καὶ ἔχειν τινὰ εἰκάζειν, οὗτινος τυγχάνουσιν ὄντα· ἕτερα γὰρ ἐφ' ἑτέροις ὑπερανέστηκεν· ἡ δ' αὐλὴ ὁμοίως τετοίχισται πᾶσα, καὶ περιεθρίγκωται ἔξωθεν ἀσφαλῶς· θύραι τε αἵδε δικλίδες, καὶ οἷαι μὴ ἐνδοῦναι βιαζομένῳ· οἶδα δ' οὖν εἰκασίᾳ τοῦθ' ὅλως εἰδὼς, ὡς πολλοὶ συνεστιῶνται ἐντός· ἥτε γὰρ κνίσσα καὶ ἡ φόρμιγξ, ἣν οἱ θεοὶ ἑταίραν τῇ εὐωχίᾳ ἐποίησαν, προσμαρτυροῦσι τὴν ἐμὴν εἰκασίαν.

Εὔμαιος δὲ πρὸς ταῦτα· ταῦτα μὲν, ὦ ξένε, πάνθ' οὕτως ἔχει, καί γε καλῶς εἴκασταί σοι· καὶ γὰρ καὶ τἄλλα περιττὸς τις καὶ οὐ τῶν τυχόντων ἡμῖν δοκεῖς εἶναι· ἀλλά γε σκέψασθαι δέον, ὅπως ἡμῶν τὸ λοιπὸν ἄρισθ' ἕξει· δεῖ γὰρ δὴ τὸν ἕτερον ἡμῶν αὐτῶν πρότερον εἴσω γενέσθαι· πότερον οὖν, βούλῃ αὐτὸς πρῶτος εἰσιὼν καταδῦναι εἰς τὸν ὅμιλον τῶν μνηστήρων, ὑπολειφθέντος ἐμοῦ, ἢ τοὐναντίον αἱρῇ μετὰ μικρὸν, ἐμοῦ εἰσελθόντος, ἀκολουθῆσαι, ἵνα μήτις ἰδών σε

ἔξωθεν ἔτι περιεθριγκωμένη. 258. Ὑπεροπλίσαιτο] κατεσχύσειεν αὐτῶν. 270 Ἀνήνοθεν] ἀνέρχεται. 271. Ἠπύει] ἐπηχεῖ. ἑταίρην] φίλην. 283. Βολάων]

Μηδὲ σὺ δηθύνειν, μήτις σ' ἔκτοσθε νοήσας
Ἢ βάλῃ, ἢ ἐλάσῃ· τάδε σε φράζεσθαι ἄνωγα.
Τὸν δ' ἠμείβετ' ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς·
Γιγνώσκω, φρονέω· τάγε δὴ νοέοντι κελεύεις.
Ἀλλ' ἔρχευ προπάροιθεν, ἐγὼ δ' ὑπολείψομαι αὐτοῦ·
Οὐ γάρ τι πληγέων ἀδαήμων οὐδὲ βολάων·
Τολμήεις μοι θυμὸς, ἐπεὶ κακὰ πολλὰ πέπονθα
Κύμασι καὶ πολέμῳ· μετὰ καὶ τότε τοῖσι γενέσθω.
Γαστέρα δ' οὔπως ἔστιν ἀποκρύψαι μεμαυῖαν,
Οὐλομένην, ἣ πολλὰ κάκ' ἀνθρώποισι δίδωσιν·
Τῆς ἕνεκεν καὶ νῆες ἐΰζυγοι ὁπλίζονται
Πόντον ἐπ' ἀτρύγετον, κακὰ δυσμενέεσσι φέρουσαι.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Ἂν δὲ κύων κεφαλήν τε καὶ οὔατα κείμενος ἔσχεν,
Ἄργος, Ὀδυσσῆος ταλασίφρονος, ὅν ῥά ποτ' αὐτὸς
Θρέψε μὲν, οὐδ' ἀπόνητο· πάρος δ' εἰς Ἴλιον ἱρὴν
Ὤχετο. τὸν δὲ πάροιθεν ἀγίνεσκον νέοι ἄνδρες
Αἶγας ἐπ' ἀγροτέρας, ἠδὲ πρόκας, ἠδὲ λαγωούς·
Δὴ τότε κεῖτ' ἀπόθεστος, ἀποιχομένοιο ἄνακτος
Ἐν πολλῇ κόπρῳ, ἥ οἱ προπάροιθε θυράων
Ἡμιόνων τε, βοῶν τε ἅλις κέχυτ'· ὄφρ' ἂν ἄγοιεν
Δμῶες Ὀδυσσῆος τέμενος μέγα κοπρίσσοντες·
Ἔνθα κύων κεῖτ' Ἄργος, ἐνίπλειος κυνοραιστέων.
Δὴ τότε γ', ὡς ἐνόησεν Ὀδυσσέα ἐγγὺς ἐόντα,
Οὐρῇ μέν ῥ' ὅγ' ἔσηνε, καὶ οὔατα κάββαλεν ἄμφω·
Ἆσσον δ' οὐκέτ' ἔπειτα δυνήσατο οἷο ἄνακτος
Ἐλθέμεν· αὐτὰρ ὁ νόσφιν ἰδὼν ἀπομόρξατο δάκρυ,

βολῶν, πληγῶν. 284. Τολμήεις] ὑπομονητικός. 291. Ἔσχεν] ἀνέσχεν, ἀ-

ἔξω τοιοῦτον ὄντα, ἐπηρεάσῃ καταφρονήσας; ἑλοῦ δ' ὃ ἂν
βούλῃ.
'Οδυσσεὺς δὲ πρὸς ταῦτα, μεμάθηκα· κἀμοὶ γὰρ ταῦτ'
ἄριστα δοκεῖ· ἀλλ' ἄγε σὺ εἴσιθι πρῶτος, ἐγὼ δ' ὑπολειφθή-
σομαι πρὸς μικρὸν, κἂν δέῃ παρά του πληγὰς λαβεῖν· οἷός
γάρ εἰμι χαλεπὰ ὑπομένειν, πολλῶν τοιούτων παρ' ὅλον τὸν
βίον πεπειραμένος, ἔν τε μάχαις προκινδυνεύων, καὶ κατὰ
θάλατταν κύμασί τε καὶ ἀνέμοις παραβαλλόμενος· ἔστω οὖν
ὅ,τι ἂν τύχῃ καὶ τοῦτο ὂν, οἷον ἐπενθήκη ἐκείναις γεγενημένον·
τῆς γὰρ γαστρὸς κρατῆσαι οὐκ ἔσθ' ὅπως· ἣ πολλῶν κακῶν
αἰτία γίγνεται τοῖς ἀνθρώποις, ἄλλους ἄλλως ὁπλίζουσα,
καὶ ἐπ' ἄλλους καὶ τοὺς ἀποτάτω καταναγκάζουσα ἐπιπλεῖν.
Ταῦτα τοίνυν τούτων πρὸς ἀλλήλους διαλεγομένων, κύων
τις, ᾧ Ἄργος ὄνομα, ἅμ' ἰδὼν 'Οδυσσέα, ἀνέσχε τήν τε
κεφαλὴν καὶ τὰ ὦτα· τοῦτον δέ ποτ' ἀναθρέψας αὐτὸς
'Οδυσσεὺς, οὐκ ἀπώνατο· ἔφθη γὰρ πλεύσας εἰς Τροίαν πρὶν
ἢ ἀνδρωθῆναι ἐκεῖνον· ἐγένετο δ' ἐν ὑστέρῳ χρόνῳ οἷος αἶ-
γάς τε ἀγρίους θηρεύειν, καὶ δορκάδας καὶ λαγωοὺς κατα-
λαμβάνειν διώκων· ἀλλὰ νῦν γ' ἤδη ἐς βαθὺ γῆρας ἐληλα-
κὼς, ἔκειτο ἐν κόπρῳ πολλῇ βοῶν τε καὶ ἡμιόνων· ἣ πρὸ τῶν
θυρῶν πολύ τι χρῆμα ἐπισεσώρευτο· οἱ δὲ οἰκέται αἴροντες
αὐτὴν, εἰώθασι κοπρίζειν τοὺς ἀγρούς. Ἐνταῦθα τοίνυν κα-
τακείμενος Ἄργος ὁ γηραιὸς, πλήρης κυνοῤῥαϊστῶν, ὡς ᾔσθε-
το προσιόντα τὸν 'Οδυσσέα, καθεὶς τὰ ὦτα, προσέσηνε τὸν
δεσπότην· οὐ μὴν δ' οἷός τ' ἦν ἀναστὰς ἐγγυτέρω γενέσθαι.
'Οδυσσεὺς δὲ τοῦτ' ἰδὼν τὸ σημεῖον, ἐδάκρυσε, λαθὼν τὸν

νῆρε· τέσσαρα δὲ καὶ εἴκοσιν ἔτη ζῆν τὸν κύνα φησὶν ἀριστοτέλης. 294.
'Αγίνεσκον] ἦγον· 295. Πρόκας] εἶδός φασιν ἐλάφου. 296. 'Απόθεστος] ἀτη-
μέλητος, ἢ ἀπόθητος. 299 Τέμενος] χωρίον γεωργήσιμον. 300. Ἐνίπλειος]
πλήρης] κυνοῤῥαϊστῶν. ζωύφια δὲ ταῦτα δίκην φθειρῶν τοὺς κύνας ῥηγνύντα.

Ῥεῖα λαθὼν Εὔμαιον· ἄφαρ δ' ἐρεείνετο μύθῳ·
Εὔμαι', ἦ μάλα θαῦμα, κύων ὅδε κεῖτ' ἐνὶ κόπρῳ,
Καλὸς μὲν δέμας ἐστὶν, ἀτὰρ τόδε γ' οὐ σάφα οἶδα,
Εἰ δὴ καὶ ταχὺς ἔσκε θέειν ἐπὶ εἴδεϊ τῷδε,
Ἢ αὔτως, οἷοί τε τραπεζῆες κύνες ἀνδρῶν
Γίγνοντ'· ἀγλαΐης δ' ἕνεκεν κομέουσιν ἄνακτες.

Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
Καὶ λίην ἀνδρός γε κύων ὅδε τῆλε θανόντος.
Εἰ τοιόσδ' εἴη ἠμὲν δέμας ἠδὲ καὶ ἔργα,
Οἷόν μιν Τροίηνδε κιὼν, κατέλειπεν Ὀδυσσεὺς,
Αἶψά κε θηήσαιο, ἰδὼν ταχυτῆτα καὶ ἀλκήν.
Οὐ μὲν γάρ τι φύγεσκε βαθείης βένθεσιν ὕλης
Κνώδαλον, ὅττι δίοιτο· καὶ ἴχνεσι γὰρ περιήδη·
Νῦν δ' ἔχεται κακότητι· ἄναξ δέ οἱ ἄλλοθι πάτρης
Ὤλετο· τὸν δὲ γυναῖκες ἀκηδέες οὐ κομέουσιν.
Δμῶες δ', εὖτ' ἂν μηκέτ' ἐπικρατέωσιν ἄνακτες,
Οὐκέτ' ἔπειτ' ἐθέλουσιν ἐναίσιμα ἐργάζεσθαι.
Ἥμισυ γάρ τ' ἀρετῆς ἀποαίνυται εὐρύοπα Ζεὺς
Ἀνέρος, εὖτ' ἄν μιν κατὰ δούλιον ἦμαρ ἕλῃσιν.
Ὣς εἰπὼν, εἰσῆλθε δόμους εὖ ναιετάοντας·
Βῆ δ' ἰθὺς μεγάροιο μετὰ μνηστῆρας ἀγαυούς.
Ἄργον δ' αὖ κατὰ Μοῖρ' ἔλαβεν μέλανος θανάτοιο,
Αὐτίκ' ἰδόντ' Ὀδυσῆα ἐεικοστῷ ἐνιαυτῷ.

Τὸν δὲ πολὺ πρῶτος ἴδε Τηλέμαχος θεοειδὴς
Ἐρχόμενον κατὰ δῶμα συβώτην· ὦκα δ' ἔπειτα
Νεῦσ', ἐπί οἷ καλέσας· ὁ δὲ παπτήνας ἕλε δίφρον
Κείμενον, ἔνθα δέ δαιτὸς ἐφίζεσκε, κρέα πολλὰ
Δαιόμενος μνηστῆρσι, δόμον κάτα δαινυμένοισιν·
Τὸν κατέθηκε φέρων πρὸς Τηλεμάχοιο τράπεζαν
Ἀντίον· ἔνθα δ' ἄρ' αὐτὸς ἐφέζετο· τῷ δ' ἄρα κήρυξ

συβώτην· εἶτ' ἀπομορξάμενος εὐθὺς, ἤρετο. Εὔμαιε, οἷος μὲν ὁ κύων ὅδε κεῖται δευρὶ ἐν τῇ κόπρῳ, ὡς καλός μοι δοκεῖ γενέσθαι· οὐκ οἶδα δὲ εἰ καὶ τάχει ὁμοίῳ θεῖν οἷός τ' ἦν, ἢ μάτην τῷ κάλλει ἀγάλλεται μόνῳ, οἷοί εἰσιν οἱ οἰκοροῦντες μάλιστα τῶν κυνῶν, οἱ καὶ τραπεζῖται ἀκούοντες, ὅσοι γε καλλονῆς ἕνεκα τοῖς δεσπόταις διατελοῦσι παρασιτούμενοι·

Εὔμαιος δὲ πρὸς ταῦτα· κύων μὲν οὗτός ἐστι τοῦ ἀνδρὸς ἐκείνου, ὃς οὐκ οἶδ' ὅπῃ ἐν ἀλλοδαπῇ τυγχάνει ἀπολωλώς· ἀλλ' ἤδη ὁρᾷς αὐτὸν οὕτω βεβαρυμμένον τῷ γήρᾳ· εἰ δὲ ἑώρακας αὐτὸν, οἷον κατέλιπεν Ὀδυσσεὺς, ἐπιπλεύσας ἐς Τροίαν, ἐθαύμασας αὐτὸν ἐπί τε ἰσχύϊ καὶ ταχυτῆτι· οὐ γὰρ ἦν θηρίον ἰχνηλατούμενον, καὶ φανέν πη ἐν ὕλῃ, διαφυγεῖν αὐτοῦ τὴν ἀκμήν· νῦν δὲ γήρᾳ πολλῷ καμφθέντα, οὐδεμιᾶς ἐπιμελείας αἱ γυναῖκες ἠξίωσαν· οἱ γὰρ οἰκέται, ἐπειδὰν μηκέθ' ὁρῶσι τοὺς δεσπότας κρατοῦντας, χείρους τῇ δουλείᾳ γιγνόμενοι, ἀφηνιάζειν φιλοῦσι πρὸς τὰ ἑαυτῶν πρὸς τοὺς δεσπότας καθήκοντα. Ζεὺς γὰρ ἅμ' ἀφελὼν τὴν ἐλευθερίαν, συναφεῖλεν αὐτῶν ἐξ ἡμισείας καὶ τὴν ἀρετήν. Ταῦτα δὲ εἰπὼν εἰσῆλθεν εἰς τὸ δῶμα παρὰ τοὺς μνηστῆρας· ὁ δὲ κύων τέθνηκεν, ὡς εἶχεν αὐτοῦ παραχρῆμα, ἔτει εἰκοστῷ, ἰδὼν Ὀδυσσέα.

Εὔμαιον δ' ἅμ' εἰσελθόντ' ἰδὼν ὁ Τηλέμαχος, ἔνευσεν αὐτῷ προσελθόντα παρακαθεσθῆναι· ὁ δὲ περιβλέψας ἕδραν, ἐφ' ἧς ἐκαθέζετο ὁ δαιτρὸς, ὃς ἔτυχε τότε δαιτρεύων τοῖς μνηστῆρσι τὰ κρέα εὐωχουμένοις, ταύτην λαβὼν, καὶ θεὶς παρὰ τῇ τραπέζῃ, ἐκαθέσθη ἀπέναντι Τηλεμάχῳ· ὁ δὲ παραλαβὼν μοῖράν τε τῶν κρεῶν καὶ ἄρτον ἐκ τοῦ κανέου, παρέ-

---

οἱ καὶ κρότωνες. 317. Κνώδαλον] θηρίον. 316. Ἀκηδέες] ἀφρόντιστοι, ἀμελεῖς, οὐ θεραπεύουσιν αὐτόν. 322. Ἥμισυ ἀρετῆς] οὐ μόνον δὲ, ἀλλὰ καὶ τοῦ νοὸς οὐκ ἔλαττον· δουλεία γὰρ πρὸς πάντας περιπεδοῖ. 331. Ἐνθάδε δαιτρὸς]

Μοῖραν ἑλὼν ἐτίθει κανέου τ' ἐκ σῖτον ἀείρας.
Ἀγχίμολον δὲ μετ' αὐτὸν ἐδύσετο δώματ' Ὀδυσσεὺς,
Πτωχῷ λευγαλέῳ ἐναλίγκιος ἠδὲ γέροντι,
Σκηπτόμενος· τὰ δὲ λυγρὰ περὶ χροῒ εἵστο·
Ἷζε ἐπὶ μελίνου οὐδοῦ ἔντοσθε θυράων,
Κλινάμενος ςαθμῷ κυπαρισσίνῳ, ὅν ποτε τέκτων
Ξέσσεν ἐπισταμένως καὶ ἐπὶ στάθμην ἴθυνεν.
Τηλέμαχος δ' ἐπὶ οἷ καλέσας προσέειπε συβώτην,
Ἄρτον τ' οὖλον ἑλὼν περικαλλέος ἐκ κανέοιο
Καὶ κρέας, ὥς οἱ χεῖρες ἐχάνδανον ἀμφιβαλόντι·
Δὸς τῷ ξείνῳ ταῦτα φέρων, αὐτόν τε κέλευε
Αἰτίζειν μάλα, πάντας ἐποιχόμενον μνηστῆρας·
Αἰδὼς δ' οὐκ ἀγαθὴ κεχρημένῳ ἀνδρὶ παρεῖναι.
Ὣς φάτο· βῆ δὲ συφορβὸς, ἐπεὶ τὸν μῦθον ἄκουσεν·
Ἄγχοῦ δ' ἱστάμενος ἔπεα πτερόεντ' ἀγόρευεν·
Τηλέμαχός τοι, ξεῖνε, διδοῖ τάδε καί σε κελεύει
Αἰτίζειν μάλα πάντας ἐποιχόμενον μνηστῆρας·
Αἰδῶ δ' οὐκ ἀγαθήν φησ' ἔμεναι ἀνδρὶ προΐκτῃ.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Ζεῦ ἄνα, Τηλέμαχόν μοι ἐν ἀνδράσιν ὄλβιον εἶναι,
Καί οἱ πάντα γένοιθ', ὅσσα φρεσὶν ᾗσι μενοινᾷ.
Ἦ ῥα καὶ ἀμφοτέρῃσιν ἐδέξατο, καὶ κατέθηκεν
Αὖθι, ποδῶν προπάροιθεν, ἀεικελίης ἐπὶ πήρης.
Ἤσθιε δ', ἕως ὃ τ' ἀοιδὸς ἐνὶ μεγάροισιν ἄειδεν·
Εὖθ' ὁ δεδειπνήκει, ὁ δ' ἐπαύετο θεῖος ἀειδός·
Μνηστῆρες δ' ὁμάδησαν ἀνὰ μέγαρ'. Αὐτὰρ Ἀθήνη,
Ἄγχι παρισταμένη, Λαερτιάδην Ὀδυσῆα
Ὤτρυν', ὡς ἂν πύρνα κατὰ μνηστῆρας ἀγείροι,
Γνοίη θ', οἵτινές εἰσιν ἐναίσιμοι, οἵ τ' ἀθέμιστοι·
Ἀλλ' οὐδ' ὥς τιν' ἔμελλ' ἀπαλεξήσειν κακότητος.

θηκεν αὐτῷ καθεσθέντι· ἐν δὲ τούτῳ εἰσήει καὶ ὁ Ὀδυσσεὺς, πτωχῷ αὐχμηρῷ καὶ γέροντι ὅλως ῥυσσῷ καὶ κατερρικνωμένῳ ὅμοιος, ἐρειδόμενος σκίμποδι καὶ φλαῦρα ἠμφιεσμένος· ἐκαθέσθη δὲ εἰσιὼν ἐπὶ τῆς φλιᾶς, τῷ τῆς θύρας σκηπτόμενος παραστάτῃ· ὃν τέκτων ποτὲ εὖ μὲν ἠσκήκει περιξέσας ἐκ κυπαρίσσου, εὖ δὲ καὶ ἴθυνε στάθμῃ· Τηλέμαχος δ᾽ ἅμα τοῦτον ἰδὼν, ἀμφοτέραις λαβὼν τῶν κρεῶν, καὶ ἄρτον ἐκ τοῦ κανέου, ἐπέθηκε τῷ Εὐμαίῳ καλέσας, δὸς, εἰπὼν, τῷ ξένῳ ἐκείνῳ φέρων ταυτὶ, καὶ κέλευσον αὐτὸν αἰτεῖν κύκλῳ περιϊόντα ἑξῆς παρὰ πάντων· ἡ γὰρ αἰδὼς οὐ καλὸν ἀνδρὶ, ἐπαιτικὸν βίον ἀναγκαζομένῳ διάγειν.

Εὔμαιος δὲ λαβὼν προθύμως, ἔρχετε παρὰ τὸν Ὀδυσσέα καί φησιν, ἰδ᾽, ὦ ξένε, Τηλέμαχος σοὶ δίδωσι ταῦτα καὶ κελεύει σε ἐκπεριελθεῖν παρὰ πάντων αἰτήσοντα, χαίρειν εἰπὼν τῇ αἰδοῖ· οὐ γὰρ χρήσιμος οἵῳ σοι ἀνδρὶ τυγχάνει αὕτη γε οὖσα.

Ὀδυσσεὺς δὲ πρὸς ταῦτ᾽ εὐξάμενος, Ζεῦ, πάτερ, ἔφη, δὸς Τηλεμάχῳ ὀλβιωτάτῳ ἁπάντων ἀνθρώπων γενέσθαι, πάντα νῦν καταπράξασθαι, ὅσα νῦν ἐν νῷ ἔχει.

Ταῦτα δ᾽ εἰπὼν, ἐδέξατο τὰ ἐδώδιμα ἀμφοτέραις ταῖς χερσί· καὶ καταθεὶς ἐπὶ τῆς διερρωγώσης πήρας, ἤσθιε λάβρως, ᾄδοντος τοῦ ἀοιδοῦ· ὡς δὲ οὗτος ἐπαύσατο, ἐθορύβησαν οἱ μνηστῆρες· ἡ δὲ Ἀθηνᾶ ἐγγύθεν τῷ Ὀδυσσεῖ ἐπιςᾶσα, παρώτρυνεν αὐτὸν, προσιόνθ᾽ ἑκάστῳ τῶν μνηστήρων, αἰτεῖν, ὅπως ἂν ἔχοι οὕτω διακρίνειν τόν τ᾽ ἀγαθὸν αὐτῶν καὶ τὸν φαῦλον· καίτοι ἀπεγνώκει ὅλως μηδέν᾽ αὐτῶν κα-

ὅπου ἐκάθητο ὁ μερίζων τὰ κρέα. 343. ἄρτον οὖλον] ὅλον, Ἰωνικῶς. 344 ἐχάνδανεν] ἐχώρουν, ἑκατέρωθεν περιβαλόντι· 347. προΐκτῃ] ἐπαίτῃ. 357. ἤσθι] αὐτοῦ ἐπὶ τῆς πήρας τῆς ῥωγαλέας. 362. Πύρνα] ἄρτους. 375] Ὢ;

Βῆ δ' ἴμεν αἰτήσων ἐνδέξια φῶτα ἕκαστον,
Πάντοσε χεῖρ' ὀρέγων, ὡς εἰ πτωχὸς πάλαι εἴη.
Οἱ δ' ἐλεαίροντες δίδοσαν, καὶ ἐθάμβεον αὐτόν·
Ἀλλήλους τ' εἴροντο, τίς εἴη καὶ πόθεν ἔλθοι.
Τοῖσι δὲ καὶ μετέειπε Μελάνθιος, αἰπόλος αἰγῶν·
Κέκλυτέ μευ, μνηστῆρες ἀγακλειτῆς βασιλείης,
Τοῦδε περὶ ξείνου· ἦ γάρ μιν πρόσθεν ὄπωπα.
Ἤτοι μὲν οἱ δεῦρο συβώτης ἡγεμόνευεν·
Αὐτὸν δ' οὐ σάφα οἶδα, πόθεν γένος εὔχεται εἶναι.
  Ὣς ἔφατ'· Ἀντίνοος δ' ἔπεσιν νείκεσσε συβώτην·
Ὦ ἀρίγνωτε συμβῶτα, τίη δὲ σὺ τόνδε πόλινδε
Ἤγαγες; ἦ οὐχ' ἅλις ἡμῖν ἀλήμονές εἰσι καὶ ἄλλοι,
Πτωχοὶ, ἀνιηροὶ, δαιτῶν ἀπολυμαντῆρες;
Ἦ ὄνοσαι, ὅτι τοι βίοτον κατέδουσιν ἄνακτος,
Ἐνθάδ' ἀγειρόμενοι, σὺ δὲ καί πόθι τόνδ' ἐκάλεσσας;
  Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
Ἀντίνο', οὐ μὲν καλὰ καὶ ἐσθλὸς ἐὼν, ἀγορεύεις·
Τίς γὰρ δὴ ξεῖνον καλεῖ ἄλλοθεν, αὐτὸς ἐπελθὼν,
Ἄλλον γ', εἰ μὴ τῶν, οἳ δημιοεργοὶ ἔασιν,
Μάντιν, ἢ ἰητῆρα κακῶν, ἢ τέκτονα δούρων,
Ἢ καὶ θέσπιν ἀοιδὸν, ὅ κεν τέρπησιν ἀείδων;
Οὗτοι γὰρ κλητοί γε βροτῶν ἐπ' ἀπείρονα γαῖαν·
Πτωχὸν δ' οὐκ ἄν τις καλέοι, τρύξοντά ἑ αὐτόν·
Ἀλλ αἰεὶ χαλεπὸς περὶ πάντων εἷς μνηστήρων
Δμωσὶν 'Οδυσσῆος, περὶ δ' αὖτ' ἐμοί· αὐτὰρ ἔγωγε
Οὐκ ἀλέγω, εἵως μοι ἐχέφρων Πηνελόπεια
Ζώει ἐνὶ μεγάροις, καὶ Τηλέμαχος θεοειδής·
  Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·

Ἀρίγνωτε] ὀνειδίζει τοῦτ' αὐτῷ διὰ τὸ συβώτην εἶναι. 376. 'Αλήμονες] πλα-

ταλιπεῖν ἐπιζῆσαι· Προτείνας τοίνυν τὰς χεῖρας, περιῄει αἰτῶν δεξιόθεν ἑξῆς ἕνα ἕκαστον, ὥσπερ ἂν εἰ πάλαι πτωχεύων ἦν. οἱ δὲ ἐλεοῦντες, ἐδίδοσαν, διαπυνθανόμενοι ἀλλήλων, ὅςτις, καὶ πόθεν ποτ' ἔλθοι· κἀν τούτῳ παρελθὼν Μελάνθιος ὁ αἰπόλος, ἀκούσατέ μου, ἔφη, μνηστῆρες τῆς περικλεοῦς Πηνελόπης περὶ τοῦ ξένου· τοῦτον γὰρ ἀρτίως ἔγωγ' εἶδον ἑπόμενον ἐπὶ τάδε συβώτῃ τουτωΐ· ἥτις δ' αὐτῷ πατρὶς, καὶ ὅ,τι ποτὲ γένος, οὐκ οἶδα.

Ταῦτα δ' αὐτοῦ εἰπόντος, παρελθὼν Ἀντίνοος, ὥρμηται ὕβρει πολλῇ ἐπὶ Εὔμαιον, ἐπίτρεπτ', εἰπὼν, καὶ τοῖς πᾶσιν ἀριδηλότατε χειροβοσκὲ, τίποθ' οὕτως ἡμῖν τοῦτον ἤγαγες ἐς τὴν πόλιν, ἢ οὐχ ἅλις ἡμῖν ἀγυρτῶν καὶ πτωχῶν; ἢ κέρδος ἄλλως οἴῃ πολλοὺς τοιούτους ἀγειρομένους ἐνταῦθα, καταδαπανᾶν τὸν οἶκον τῶν σαυτοῦ δεσποτῶν; πόθεν οὖν τοῦτον καλέσας, ἧκες ἄγων ὧδ' ὡς ἡμᾶς;

Εὔμαιος δὲ πρὸς ταῦτ', Ἀντίνοε, ἔφη, σὺ μὲν καί περ ἀγαθὸς δοκῶν εἶναι, λέγεις οὐκ ὀρθῶς, λέγων ταῦτα· τίς γὰρ νοῦν ἔχων καλέσειε ξένον, πλὴν δημιουργὸν ὀντινοῦν, οἷον ἰατρὸν, ἢ μάντιν, ἢ ξυλουργὸν, ἢ καὶ ἀοιδὸν, οὗ ἡ ᾠδὴ θεσπεσίαν ἡλίκην ἡδονὴν τοῖς ἀνθρώποις ἐνίησιν; οὐκ οἶσθ' αὐτὸς, ὡς πτωχὸν οὐδείς πω οὐδένα οὐδέποτ' οὔθ' ἑώρακεν, οὔτ' ἀκήκοεν κεκλημένον ἐπὶ βλάβῃ τῶν κεκληκότων; ἀλλὰ σύγ' ἀεὶ χαλεπαίνεις τοῖς οἰκέταις τοῦ Ὀδυσσέως, καὶ μάλιστα πάντων ἐμοί· ἀλλ' ἔμοιγε μικρὸν μέλει τούτων, ἕως οὗ ἡ φρόνιμος Πηνελόπη, καὶ Τηλέμαχος ούτοσὶν ἐν τοῖς ζῶσιν εἰσί.

Τηλέμαχος δὲ πρὸς αὐτόν· ἔχ' ἀτρέμας, Εὔμαιε, σίγα,

νῆται. 387. Τρύζοντα] κατατρύξοντα, καταπονήσοντα. 397. Ἦ μεῦ καλά]

Σίγα, μή μοι τοῦτον ἀμείβεο πόλλ' ἐπέεσσιν·
Ἀντίνοος δ' εἴωθε κακῶς ἐρεθιζέμεν αἰεὶ
Μύθοισιν χαλεποῖσιν, ἐποτρύνει δὲ καὶ ἄλλους.
Ἦ ῥα καὶ Ἀντίνοον ἔπεα πτερόεντα προσηύδα·
Ἀντίνο', ἦ μευ καλὰ πατὴρ ὣς κήδεαι υἷος,
Ὃς τὸν ξεῖνον ἄνωγας ἀπὸ μεγάροιο δίεσθαι
Μύθῳ ἀναγκαίῳ· μὴ τοῦτο θεὸς τελέσειεν.
Δός οἱ ἑλών· οὔ τοι φθονέω· κέλομαι γὰρ ἔγωγε·
Μήτ' οὖν μητέρ' ἐμὴν ἅζευ τόγε, μήτε τιν' ἄλλον
Δμώων, οἳ κατὰ δώματ' Ὀδυσσῆος θείοιο.
Ἀλλ' οὔ τοι τοιοῦτον ἐνὶ στήθεσσι νόημα·
Αὐτὸς γὰρ φαγέμεν πολὺ βούλεαι, ἢ δόμεν ἄλλῳ.
Τὸν δ' αὖτ' Ἀντίνοος ἀπαμειβόμενος προσέειπεν·
Τηλέμαχ' ὑψαγόρη, μένος ἄσχετε, ποῖον ἔειπες;
Εἴ οἱ τόσσον ἅπαντες ὀρέξειαν μνηστῆρες,
Καί κέν μιν τρεῖς μῆνας ἀπόπροθεν οἶκος ἐρύκοι.
Ὣς ἄρ' ἔφη· καὶ θρῆνυν ἑλὼν, ὑπέφηνε, τραπέζης
Κείμενον, ᾧ ῥ' ἔπεχεν λιπαροὺς πόδας εἰλαπινάζων.
Οἱ δ' ἄλλοι πάντες δίδοσαν, πλῆσαν δ' ἄρα πήρην
Σίτου καὶ κρειῶν· τάχα δὴ καὶ ἔμελλεν Ὀδυσσεὺς,
Αὖτις ἐπ' οὐδὸν ἰὼν, προικὸς γεύσεσθαι Ἀχαιῶν·
Στῆ δὲ παρ' Ἀντίνοον καί μιν πρὸς μῦθον ἔειπεν·
Δὸς, φίλος· οὐ μέν μοι δοκέεις ὁ κάκιστος Ἀχαιῶν
Ἔμμεναι, ἀλλ' ὤριστος, ἐπεὶ βασιλῆϊ ἔοικας.
Τῷ σε χρὴ δόμεναι καὶ λώϊον, ἠέ περ ἄλλοι,
Σίτου· ἐγὼ δέ κέ σε κλείω κατ' ἀπείρονα γαῖαν.
Καὶ γὰρ ἐγώ ποτε οἶκον ἐν ἀνθρώποισιν ἔναιον
Ὄλβιος ἀφνειὸν, καὶ πολλάκι δόσκον ἀλήτῃ

καλῶς γε! ὡς ἐν εἰρωνείᾳ. 398. Δίεσθαι] διώσασθαι λόγῳ βιαίῳ. 401. Ἅζευ εὐλαβοῦ. 408. Ἐρύκοι] κωλύσειεν αὐτόν· οὐ γὰρ ἂν ἐπὶ τρεῖς ὅλους μῆνας

μηκέτι μηδὲν ἀποκρίνου πρὸς ταῦτα· Ἀντίνοος γὰρ εἴωθεν αὐτός τε δάκνειν τοῖς λόγοις, καὶ ἄλλους πρὸς ταῦτα παροτρύνειν. Σὺ δ' αὖ, ὦ Ἀντίνοε (μέτεισι γὰρ ἤδη πρὸς σέ μοι ὁ λόγος) καλῶς, ὥσπερ καὶ πατὴρ υἱοῦ, ἐμοῦ δοκεῖς κήδεσθαι· οὐ γάρ; ὃς τὸν ξένον γε τουτονὶ βίᾳ ἐξελαύνεις ἐντεῦθεν, Ζεὺς δὲ μὴ τοῦτο δοίη· σὺ δ' οὖν λαβὼν, δὸς αὐτῷ ὅ,τι βούλοιο, μήτ' ἐμὲ, ὃς οὐχ ὅπως φθονῶ, ἀλλὰ καὶ κελεύω μάλιστα τοῦτο· μήτε μητέρα τὴν ἐμὴν αἰδούμενος περὶ τούτου, μήτ' ἄλλον ὁντινοῦν τῶν οἰκείων· ἀλλ' οὐ τοιαύτῃ διανοίᾳ δοκεῖς ἀπαξιοῦν ἀπὸ τῶν παρόντων ξενίζειν τὸν ξένον, ἀλλ' ἐπιθυμίᾳ τοῦ πλείονος.

Ἀντίνοος δὲ πρὸς ταῦτα· Τηλέμαχε ὑψηγόρα, ἀκατάσχετε, ποῖον τούτων εἴρηκας λόγον; εἰ γὰρ ἅπαντες οἱ μνηστῆρες δοῖεν αὐτῷ τοσοῦτον, οὐκ ἂν οὐδὲ τρίτῳ ὅλῳ μηνὶ ὧδ' ἐπανέλθοι αὖθις αὐτὸς μεταιτήσων· ταῦτα δ' εἰπὼν ὑπεξέσυρε μικρὸν τὸ ὑπὸ τῇ τραπέζῃ ὑποπόδιον, ἐφ' οὗ ἐν τῷ ἐσθίειν ἐπεῖχε τοὺς πόδας ἐπερηρεισμένους.

Οἱ δὲ ἄλλοι μνηστῆρες ἐπιδαψιλεύσαντες, ἐνέπλησαν αὐτῷ τὴν πήραν ψωμῶν καὶ κρεῶν, ὥστ' ἔχειν φαγεῖν πολύ τι χρῆμα, ἐς τὴν φλιὰν ἐλθὼν πάλιν· καὶ ἤμελλε τοῦτο ποιεῖν· ἀλλ' ἐνθυμηθεὶς, ὅτι ὁ Ἀντίνοος μηδὲν ἐδεδώκει, προσιὼν ἐσχάτῳ αὐτῷ, δός μοι, ἔφη, καὐτὸς ὦ λῷστε, τὸ μέρος· οὐ γάρ σε τὸν κάκιστον τῶν Ἑλλήνων εἰκάζω εἶναι, ἀλλὰ τὸν ἄριστόν γε, οὕτω βασιλικὸν ὁρῶν εἶδος ἔχοντα· διὸ πλείω σέ μοι τῶν ἄλλων οἴομαι χρῆναι δοῦναι· ἵνα κἀγὼ παρὰ πᾶσιν, ἐφ' οὓς ἂν τύχω ποτὲ ἐλθὼν, λόγον ποιῶμαι μάλιστά γέ σου· καὶ γὰρ ἦν, ὅτε κἀγὼ ἦν ὄλβιος ἐν ἀνθρώποις, καὶ πολλάκις συνέβη μοι δοῦναι πολλὰ πτω-

---

ἐξέλθοι ἐντεῦθεν αἰτήσων, μηδενὸς δεόμενος, καὶ τοσαῦτα ἔχων. 409. Ὑπέφηνε] ὑπεξέφηνεν, ἀπειλῶν, ὡς δῆθεν βαλὼν ἐν καιρῷ. 415. Προικὸς] τῆς

Τοίῳ, ὁποῖος ἔοι, καὶ ὅτευ κεχρημένος ἔλθοι·
Ἦσαν δὲ δμῶες μάλα μυρίοι, ἄλλα τε πολλὰ,
Οἷσίν τ' εὖ ζώουσι καὶ ἀφνειοὶ καλέονται.
Ἀλλὰ Ζεὺς ἀλάπαξε Κρονίων (ἤθελε γάρ που)
Ὅς μ' ἅμα ληϊστῆρσι πολυπλάγκτοισιν ἀνῆκεν,
Αἴγυπτόνδ' ἰέναι, δολιχὴν ὁδὸν, ὄφρ' ἀπολοίμην·
Στῆσα δ' ἐν Αἰγύπτῳ ποταμῷ νέας ἀμφιελίσσας.
Ἔνθ' ἤτοι μὲν ἐγὼ κελόμην ἐρίηρας ἑταίρους
Αὐτοῦ πὰρ νήεσσι μένειν, καὶ νῆας ἔρυσθαι·
Ὀπτῆρας δὲ κατὰ σκοπιὰς ὤτρυνα νέεσθαι.
Οἱ δ' ὕβρει εἴξαντες, ἐπισπόμενοι μένεϊ σφῷ,
Αἶψα μάλ' Αἰγυπτίων ἀνδρῶν περικαλλέας ἀγροὺς
Πόρθεον, ἐκ δὲ γυναῖκας ἄγον καὶ νήπια τέκνα,
Αὐτούς τ' ἔκτεινον· τάχα δ' ἐς πόλιν ἵκετ' ἀϋτή.
Οἱ δὲ βοῆς ἀΐοντες ἅμ' ἠοῖ φαινομένηφιν
Ἦλθον· πλῆτο δὲ πᾶν πεδίον πεζῶν τε καὶ ἵππων,
Χαλκοῦ τε στεροπῆς· ἐν δὲ Ζεὺς τερπικέραυνος
Φύζαν ἐμοῖς ἑτάροισι κακὴν βάλεν, οὐδέ τις ἔτλη
Στῆναι ἐναντίβιον· περὶ γὰρ κακὰ πάντοθεν ἔστη.
Ἔνθ' ἡμέων πολλοὺς μὲν ἀπέκτανον ὀξέϊ χαλκῷ,
Τοὺς δ' ἄναγον ζωοὺς σφίσιν ἐργάζεσθαι ἀνάγκῃ.
Αὐτὰρ ἐμ' ἐς Κύπρον ξείνῳ δόσαν ἀντιάσαντι,
Δμήτορι Ἰασίδῃ, ὃς Κύπρου ἶφι ἄνασσεν·
Ἔνθεν δὴ νῦν δεῦρο τόδ' ἵκω, πήματα πάσχων.
Τὸν δ' αὖτ' Ἀντίνοος ἀπαμείβετο φώνησέν τε·
Τίς δαίμων τόδε πῆμα προσήγαγε, δαιτὸς ἀνίην;
Στῆθ' οὕτως ἐς μέσσον, ἐμῆς ἀπάνευθε τραπέζης,
Μὴ τάχα πικρὴν Αἴγυπτον καὶ Κύπρον ἵκηαι·

τῶν Ἀχαιῶν δωρεᾶς. 421. Ὅτευ] καὶ ὅτου δεόμενος τύχοι. 423. Οἷσι] δι

χοῖς πλανωμένοις, ὁποῖοί ποτ' εἶεν, καὶ ὅτων οὗτοι γε δέοιν-
τό μου· ἦσαν γάρ μοι ἄλλα τε πολλὰ τότε, ἐφ' οἷς εὐδαί-
μονές τε καὶ ὄλβιοι προσαγορεύονται ἄνθρωποι, καὶ δὴ καὶ
οἰκέται μυρίοι· ἀλλὰ Ζεὺς ἀφελεῖν με πάντα θελήσας, ἀπή-
γαγέ με σὺν ἄλλοις λησταῖς πλανωμένοις εἰς Αἴγυπτον,
ἐφ' ᾧ ἀπολοίμην· σχὼν γὰρ ἐν τῷ ποταμῷ, τοὺς μὲν ἄλ-
λους τῶν ἑταίρων ἐκέλευσα μένοντας αὐτοῦ φυλάττειν τὰς
ναῦς· σκοποὺς δέ τινας ἔπεμψα ἄνω εἰς τὰς σκοπιὰς περι-
σκεψομένους τὰ κατὰ τὴν χώραν· οἱ δὲ κακῶς κακοὶ ἀπολού-
μενοι, τῇ σφῶν αὐτῶν πεποιθότες ἰσχύϊ, καὶ ὕβρει χρησάμε-
νοι πρὸς τοὺς ἐγχωρίους, τοὺς μὲν αὐτῶν ἀπέκτειναν· γυ-
ναῖκας δὲ καὶ παῖδας ζωγρήσαντες, ἀπηγάγοντο. Τούτων
οὖν ἀγγελθέντων ἄρα πρὸς τοὺς ἐν τῇ πόλει, ἐκβοήσαντες
ἐκεῖθεν ὁμοθυμαδὸν, παρῆσαν ἡμῖν ἅμα ὑποφαινομένῃ ἡμέ-
ρᾳ, πλῆθος θαυμασὸν ἡλίκον, πεζοί τε, ἱππεῖς τε, ἀριθμὸς
πολὺς, σελαγίζοντές τε τοῖς ὅπλοις, καὶ τῷ χαλκῷ ἐξασ-
τράπτοντες· τῶν δ' ἑταίρων οὐδενὸς ἐς ἀλκὴν τραπέσθαι
τολμήσαντος, περιλαμφθέντων πανταχόθεν τῷ πλήθει, πε-
ριέςη ἡμῖν ἀθρόα τὰ κακὰ ἄλλα ἄλλοθεν· κυκλώσαντες γὰρ
ἔκτεινον, φειδόμενοι μηδενός· ἔστι δ' οὓς ζωγρήσαντες, ἠνάγ-
κασαν ὕστερον γεωργεῖν ἐν δουλείᾳ· ἐμὲ δ' ἀπέδοντο ἀνδρὶ
πλέοντι εἰς τὴν Κύπρον· ὃς ἀπέδοτό με αὖθις Δμήτορι τῷ
Ἰάσου τῷ τῆς νήσου ταύτης κρατοῦντι. Ἐκεῖθεν οὖν πάρειμι
ᾧδε τοιαῦτα πάσχων.

Ἀντίνοος δὲ πρὸς ταῦτα· τίς δαίμων ἤγαγε τούτων δεῦρο, ἵν'
ἡμῖν ἐπιταράξῃ τὴν εὐωχίαν; ἀλλὰ μετάστηθι σύ γ' ἀπ' ἐμοῦ
ὅσον τάχος, ἵνα μὴ κακῶς ἀπόναιο αὐτίκα μάλα τῆς Κύπ-
ρου καὶ τῆς Αἰγύπτου· ὃς εἰς τοσοῦτον ἐχώρησας ἀναιδείας,

ὧν καλῶς ζῶσιν οἱ ἔχοντες. 424. Ἀλάπαξε] κατέφθειρε πάντα 437. Στῆναι]

Ὥστις θαρσαλέος καὶ ἀναιδής ἐσσι προΐκτης·
Ἑξείης πάντεσσι παρίστασαι· οἱ δὲ διδοῦσιν
Μαψιδίως· ἐπεὶ οὔτις ἐπίσχεσις, οὐδ' ἐλεητὺς
Ἀλλοτρίων χαρίσασθαι, ἐπεὶ πάρα πολλὰ ἑκάστῳ·
Τὸν δ' ἀναχωρήσας προσέφη πολύμητις Ὀδυσσεύς·
Ὢ πόποι, οὐκ ἄρα σοίγ' ἐπὶ εἴδεϊ καὶ φρένες ἦσαν·
Οὐ σύγ' ἂν ἐξ οἴκου σῷ ἐπιστάτῃ, οὐδ' ἅλα δοίης,
Ὃς νῦν ἀλλοτρίοισι παρήμενος, οὔτι μοι ἔτλης
Σίτου ἀποπροελὼν δόμεναι· τὰ δὲ πολλὰ πάρεστιν.
Ὣς ἔφατ'· Ἀντίνοος δ' ἐχολώσατο κηρόθι μᾶλλον,
Καί μιν ὑπόδρα ἰδὼν, ἔπεα πτερόεντα προσηύδα·
Νῦν δή σ' οὐκέτι καλὰ δι' ἐκ μεγάροιό γ' ὀΐω
Ἂψ ἀναχωρήσειν, ὅτε δὴ καὶ ὀνείδεα βάζεις.
Ὣς ἄρ' ἔφη· καὶ θρῆνυν ἑλὼν, βάλε δεξιὸν ὦμον,
Πρυμνότατον κατὰ νῶτον· ὁ δ' ἐστάθη ἠΰτε πέτρη
Ἔμπεδον· οὐδ' ἄρα μιν σφῆλεν βέλος Ἀντινόοιο·
Ἀλλ' ἀκέων κίνησε κάρη, κακὰ βυσσοδομεύων.
Ἂψ δ' ὅγ' ἐπ' οὐδὸν ἰὼν, κατ' ἄρ' ἕζετο, κὰδ δ' ἄρα πήρην
Θῆκεν ἐΰπλείην· μετὰ δὲ μνηστῆρσιν ἔειπεν·
Κέκλυτέ μευ, μνηστῆρες ἀγακλειτῆς βασιλείης,
Ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
Οὐ μὰν οὔτ' ἄχος ἐστὶ μετὰ φρεσὶν, οὔτε τι πένθος,
Ὁππότ' ἀνὴρ περὶ οἷσι μαχειόμενος κτεάτεσσιν
Βλήεται, ἢ περὶ βουσὶν, ἢ ἀργεννῇς ὀΐεσσιν·
Αὐτὰρ ἔμ' Ἀντίνοος βάλε γαστέρος εἵνεκα λυγρῆς,
Οὐλομένης, ἣ πολλὰ κάκ' ἀνθρώποισι δίδωσιν.
Ἀλλ' εἴ που πτωχῶν γε θεοὶ καὶ Ἐριννύες εἰσὶν,
Ἀντίνοον πρὸ γάμοιο τέλος θανάτοιο κιχείη.
Τὸν δ' αὖτ' Ἀντίνοος προσέφη, Εὐπείθεος υἱός·

ὥσθ' ὁμοίως πᾶσιν ἁπλῶς θαρσεῖς προσιέναι αἰτήσων· οἱ δὲ, μήτε φειδόμενοι, μήτε κηδόμενοι μηδενὸς, διδόασι μάτην· ῥᾶστον γὰρ πάντων τὸ ἀπὸ τῶν ἀλλοτρίων, πολλῶν ὄντων ἑκάστῳ τούτων, χαρίζεσθαι.

Ὀδυσσεὺς δ' ἀναχωρῶν, οὐκ ἄρα, ἔφη, ὅμοιά σοί ἐστι τἄνδον τοῖς ἔξω· σὺ γὰρ ἔοικας, οὐδ' ἅλῶν ἐκ τῶν οἰκείων αἰτήσαντι μεταδοῦναι· πῶς γὰρ, ὃς οὐδ' ἀπὸ τῶν ἀλλοτρίων, πολλῶν τούτων παρατεθειμένων, ἀνέχῃ μοι μεταδοῦναι;

Ἀντίνοος δ' ἔτι μᾶλλον ἤχθετο ἐπὶ τούτοις· καὶ ὑπειπὼν, νῦν ἔμελλες ἄρα μὴ καλῶς ἀπαλλάξειν ἐντεῦθεν, ἔβαλεν ἄρας τὸ ὑποπόδιον ἐπ' αὐτὸν, καὶ ἔτυχεν αὐτοῦ κατὰ τὸν ὦμον τὸν δεξιόν· ὁ δὲ ἔστη ὡς πέτρα, μηδὲ μικρὸν ὑπὸ τοῦ βέλους περισφαλεὶς, ἀλλὰ σιγῇ ὑποκινήσας τὴν κεφαλὴν, ὀψὲ τὴν δίκην ἐτύρευεν· Ἀναχωρήσας δ' οὖν ἐκαθέσθη, ἐπανελθὼν αὖθις ἐπὶ τῆς φλιᾶς· καὶ καταθεὶς τὴν πήραν, ἔμπλεω ἤδη οὖσαν, ἦρξε τοιούτου λόγου πρὸς τοὺς μνηστῆρας. Ἀκούσατέ μου μνηστῆρες τῆς περικλεοῦς βασιλίσσης, ἃ βούλομαι εἰπεῖν πρὸς ἡμᾶς. Περὶ μὲν τῶν ἑαυτοῦ κτημάτων, ἤτοι βοῶν, ἢ προβάτων, ἢ ὁτουοῦν μαχόμενον, βεβλῆσθαί τινα λόγον ἂν ἴσως ἔχοι καὶ μὴ λυπηθῆναι· περὶ δὲ τῆς κακῆς κακῶς ἀπολουμένης γαστρὸς, ἣ πολλῶν κακῶν αἰτία γίγνεται τοῖς ἀνθρώποις, τοῦτο παθεῖν νῦν ὑπὸ Ἀντινόου πῶς ἂν εἴη ἀνασχετόν; ἀλλ' εἴγε θεὸς ἔχοι ἔκδικον ὄμμα, καὶ Ἐριννύες εἰσὶν, αὐτίχ' οὗτος πρὸ γάμου δώσει δίκην ἀξίαν.

Ἀντίνοος δὲ πρὸς ταῦτα, ξένε, ἔφη, ἔσθιε ἡσυχῇ, μηκέτι

ἴδε ταῦτα ἐν τῷ Ξ'. στίχ. 258. καὶ ἑξῆς. 454. Ἐπὶ Εἴδεϊ] οὐχ ὥσπερ τὸ εἶδος καλὸν, οὕτω καὶ ἡ ψυχή. 457. Ἀποπροελὼν] μοῖραν τινὰ λαβών. 463. Πρυμνότατον] ἔσχατον, ἄκρον τὸν ὦμον. 472. Βλῆται] βληθείη. — Ἀργεν

Ἔσθι' ἕκηλος, ξεῖνε, καθήμενος, ἢ ἄπιθ' ἄλλῃ·
Μή σε νέοι διὰ δώματ' ἐρύσσωσ', οἷ' ἀγορεύεις,
Ἢ ποδὸς, ἢ καὶ χειρὸς, ἀποδρύψωσι δὲ πάντα.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ὑπερφιάλως νεμέσησαν·
Ὧδε δέ τις εἴπεσκε νέων ὑπερηνορεόντων·
Αντίνο', οὐ μὲν κάλ' ἔβαλες δύστηνον ἀλήτην,
Οὐλόμεν'· εἰ δή πού τις ἐπουράνιος θεός ἐστιν.
Καί τε θεοὶ ξείνοισιν ἐοικότες ἀλλοδαποῖσιν,
Παντοῖοι τελέθοντες, ἐπιστρωφῶσι πόληας,
Ανθρώπων ὕβριν τε καὶ εὐνομίην ἐφορῶντες.
Ὣς ἄρ' ἔφαν μνηστῆρες· ὁ δ' οὐκ ἐμπάζετο μύθων.
Τηλέμαχος δ' ἐν μὲν κραδίῃ μέγα πένθος ἄεξεν
Βλημένου· οὐδ' ἄρα δάκρυ χαμαὶ βάλεν ἐκ βλεφάροιϊν,
Ἀλλ' ἀκέων κίνησε κάρη, κακὰ βυσσοδομεύων.
Τοῦ δ' ὡς οὖν ἤκουσε περίφρων Πηνελόπεια
Βλημένου ἐν μεγάρῳ, μετ' ἄρα δμωῇσιν ἔειπεν·
Αἴθ' οὕτως αὐτόν σε βάλοι κλυτότοξος Ἀπόλλων.
Τὴν δ' αὖτ' Εὐρυνόμη ταμίη πρὸς μῦθον ἔειπεν·
Εἰ γὰρ ἐπ' ἀρῇσιν τέλος ἡμετέρῃσι γένοιτο·
Οὐκ ἄν τις τούτων γε ἐΰθρονον Ἠῶ ἵκοιτο.
Τὴν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Μαῖ', ἐχθροὶ μὲν πάντες, ἐπεὶ κακὰ μηχανόωνται·
Ἀντίνοος δὲ μάλιστα μελαίνῃ Κηρὶ ἔοικεν.
Ξεῖνός τις δύστηνος ἀλητεύει κατὰ δῶμα,
Ἀνέρας αἰτίζων· ἀχρημοσύνη γὰρ ἀνώγει·
Ἔνθ' ἄλλοι μὲν πάντες ἐνέπλησάν τ', ἔδοσάν τε·
Οὗτος δὲ θρήνυϊ πρυμνὸν βάλε δεξιὸν ὦμον.
Ἡ μὲν ἄρ' ὣς ἀγόρευε μετὰ δμωῇσι γυναιξὶν,
Ἡμένη ἐν θαλάμῳ· ὁ δ' ἐδείπνεε δῖος Ὀδυσσεύς·
Ἡ δ' ἐπὶ οἷ καλέσασα προσηύδα δῖον ὑφορβόν·

τῆς] λευκοῖς. 487. Ἐφορῶντες] παρατηροῦντες. 496. Ἐπ' ἀρῇσι] κατὰ τὰς

μηδὲν φθεγγόμενος πρὸς ἡμᾶς· ἢ ἀναστὰς μᾶλλον, μετάστηθι ἄλλῃ, ἵνα μή σέ τινες, οἷά μου καταπροϊέμενον, ἀνασύραντες τοῦ ποδὸς, ἢ χειρὸς, ὑποδρύψωσί σοι τὸν χρῶτα. Ταῦτα μὲν οὕτως.

Οἱ δ' ἄλλοι μνηστῆρες ἐμέμψαντο Ἀντίνοον λίαν ἐπὶ τοῖς πεπραγμένοις· καίτις αὐτῶν, Ἀντίνοε, ἔφη, κακῶς ἐποίησας, τὸν ξένον οὕτω βαλών· σχέτλιε, τί ἂν πάθοις, εἴτις τῶν ἀθανάτων εἴη γ' οὗτος τῶν τὸν οὐρανὸν κατοικούντων; ἢ οὐκ οἶσθ' ὅπως οἱ θεοὶ, σχῆμα πολλάκις ξένων ἀλλοδαπῶν ἔξωθεν περικείμενοι, καὶ παντοίως μεταβαλλόμενοι, ἐπιφαίνονται κατὰ πόλεις, τήν τ' ἀνομίαν καὶ εὐνομίαν τῶν ἀνθρώπων ἐπισκοποῦντες; ταῦτα μὲν οὗτος· ὁ δὲ, ἀνάλγητος πάμπαν ἦν, οὐδ' ἤθελεν ἐπαΐειν· Τηλέμαχος δ' αὖ ὁρῶν τὰ γιγνόμενα, τὴν μὲν καρδίαν δέδηκται λίαν, τοῦ πατρὸς βεβλημένου· κατέσχεν ὅμως ἑαυτὸν ἰσχυρῶς τοῦ μὴ φανῆναι δακρύων· σιγῶν δ', ὑπεκίνησε μόνον τὴν κεφαλὴν ὡς μάλιστα ἀφανῶς, τὰ κάκιστ' ἐκείνῳ βυσσοδομεύων.

Ὡς δ' ἠγγέλθη ταῦτα πρὸς τὴν Πηνελόπην, βεβλῆσθαι ξένον ὑπὸ Ἀντινόου, εἴθε, ἔφη πρὸς τὰς ἀμφ' αὐτὴν, οὕτως αὐτὸν Ἀπόλλων ὁ ἀργυρότοξος βάλοι· Εὐρυνόμη δ' ὑπολαβοῦσα, εἰ θεὸς ἔφη, ἐπακούσειεν ἡμῶν εὐχομένων, οὐδεὶς ἂν αὐτῶν ἴδοι ἔτι τὴν χρυσόθρονον Ἠῶ ἐπανερχομένην.

Πηνελόπη δὲ πρὸς ταῦτα. Μαῖα, καὶ πάντες μὲν οὗτοι γ' ἐχθροὶ τυγχάνουσιν ὄντες, καὶ κακὰ ἡμῖν μηχανώμενοι· Ἀντίνοος δ' ὅμως ὑπερβάλλει κακίᾳ, ὅλως ἀλάστορι δαίμονι ἐοικώς· ξένος γάρ τις δύστηνος ἧκε παρ' ἡμᾶς ἀρτίως αἰτήσων ἀνάγκῃ, ᾧ οἱ μὲν ἄλλοι ἑξῆς διδόασιν ἅπαντες· οὗτος δὲ θρῆνυν ἄρας ἐξ ὕβρεως, ἔβαλεν αὐτὸν ἐς τὸν ὦμον. Τοιαῦτα μὲν καὶ αὕτη διελέγετο ἐν θαλάμῳ πρὸς τὰς ἀμφ' αὐτὴν, τοῦ Ὀδυσσέως ἤδη δειπνοῦντος ἐπὶ τῆς φλιᾶς.

Ἔρχεο, δῖ' Εὔμαιε, κιὼν τὸν ξεῖνον ἄνωχθι
Ἐλθέμεν, ὄφρα τί μιν προσπτύξομαι, ἠδ' ἐρέωμαι,
Εἴ που Ὀδυσσῆος ταλασίφρονος, ἠὲ πέπυσται,
Ἢ ἴδεν ὀφθαλμοῖσι· πολυπλάγκτῳ γὰρ ἔοικεν.
Τὴν δ' ἀμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
Εἰ γάρ τοι, βασίλεια, σιωπήσειαν Ἀχαιοί·
Οἷ' ὅγε μυθεῖται, θέλγοιτό κέ τοι φίλον ἦτορ.
Τρεῖς γὰρ δή μιν νύκτας ἔχον, τρία δ' ἤματ' ἔρυξα
Ἐν κλισίῃ· πρῶτον γὰρ ἔμ' ἵκετο, νηὸς ἀποδράς·
Ἀλλ' οὔπω κακότητα διήνυσεν ἣν ἀγορεύων.
Ὡς δ' ὅτ' ἀοιδὸν ἀνὴρ ποτιδέρκεται, ὅστε θεῶν ἒξ
Ἀείδει δεδαὼς ἔπε' ἱμερόεντα βροτοῖσιν,
Τοῦ δ' ἄμοτον μεμάασιν ἀκουέμεν, ὁππότ' ἀείδῃ·
Ὣς ἐμὲ κεῖνος ἔθελγε, παρήμενος ἐν μεγάροισιν.
Φησὶ δ' Ὀδυσσῆος ξεῖνος πατρώϊος εἶναι,
Κρήτῃ ναιετάων, ὅθι Μίνωος γένος ἐστίν.
Ἔνθεν δὴ νῦν δεῦρο τόδ' ἵκετο, πήματα πάσχων,
Προπροκυλινδόμενος· στεῦται δ' Ὀδυσσῆος ἀκοῦσαι,
Ἀγχοῦ Θεσπρωτῶν ἀνδρῶν ἐν πίονι δήμῳ,
Ζωοῦ· πολλὰ δ' ἄγει κειμήλια ὅνδε δόμονδε.
Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Ἔρχεο, δεῦρο κάλεσσον, ἵν' ἀντίον αὐτὸς ἐνίσπῃ·
Οὗτοι δ' ἠὲ θύρῃσι καθήμενοι ἑψιαάσθων,
Ἢ αὐτοῦ κατὰ δώματ'· ἐπεί σφισι θυμὸς ἐΰφρων.
Αὐτῶν μὲν γὰρ κτήματ' ἀκήρατα κεῖτ' ἐνὶ οἴκῳ,
Σῖτος καὶ μέθυ ἡδύ· τὰ μὲν οἰκῆες ἔδουσιν·
Οἱ δ' εἰς ἡμέτερον πωλεύμενοι ἤματα πάντα,
Βοῦς ἱερεύοντες καὶ ὄϊς καὶ πίονας αἶγας,
Εἰλαπινάζουσιν, πίνουσί τε αἴθοπα οἶνον,
Μαψιδίως· τὰ δὲ πολλὰ κατάνεται· οὐ γὰρ ἔπ' ἀνὴρ,

Ἐκ δὲ τούτου μεταπεμψαμένη τὸν συβώτην, ἄγε μοι, ἔφη,
ὦ Εὔμαιε, θᾶσσον τὸν ξένον ὧδε· βούλομαι γὰρ ἐρέσθαι αὐ-
τὸν, εἴτι περὶ Ὀδυσσέως εἴη ἑωρακὼς, ἢ ἀκηκοώς· μανθάνω
γὰρ πολυπράγμονι ἀνδρὶ αὐτὸν ἐοικέναι.

Εὔμαιος δὲ πρὸς ταῦτα· εἴθ' ἐπιτρέψειαν αὐτῷ οἱ μνη-
στῆρες ἐλθεῖν πρὸς σέ· οὐ γὰρ ἔσθ' ὅπως μὴ οὐχὶ πάθος μέγα
τῇ σῇ ψυχῇ ἐμποιήσειε, τὰ καθ' ἑαυτὸν διηγούμενος· πρὸς
γὰρ ἐμὲ αὐτὸν ἦλθε πρῶτον, ἀποδρὰς τῆς νεώς· τρεῖς δ' ἡ-
μέρας καὶ ἴσας νύκτας παρ' ἐμοὶ οὐκ ἤνυσε πάντα διεξιών·
καί με κατέθελγε δαιμονίως τῷ λόγῳ, ὡς πλείῳ χρώμενος
τῷ ἐπαγωγῷ, ἥπερ ἀνὴρ ἀοιδὸς, θεόθεν τὴν ἐπιστήμην εὑ-
ράμενος, οὗ ἀκορέστως ἀκούοντες οἱ ἄνθρωποι λέγοντος,
τέρπονται· χωρὶς δὲ τούτων καὶ πατρῷος ξένος εἶναί φησιν
Ὀδυσσέως, κατοικῶν ἐν Κρήτῃ τῇ πατρίδι τοῦ Μίνω· κἀ-
κεῖθεν δεῦρο ἐλθεῖν, πολλὰ πλανηθεὶς καὶ παθών· καὶ ὅτι
ἀκήκοεν ἐν Θεσπρωτοῖς λεγόντων περὶ Ὀδυσσέως ζῆν τε αὐ-
τὸν, καὶ ἥκειν οἴκαδε, πολλὰ κειμήλια ἐπαγόμενος.

Πηνελόπη δὲ πρὸς ταῦτα· ἴθι τοίνυν μετελευσόμενος αὐτὸν
δεῦρο, ὅπως ἂν αὐτὸς εἴποι μοι πάντα· οἱ δὲ, διατριβέτωσαν,
καθήμενοι ἐν προθύροις· ἢ αὐτοῦ εὐφραινόμενοι ἐν τῷ δώμα-
τι, ἐπειδὴ τὰ κατ' αὐτοὺς καλῶς ἔχει πάντα· τὰ γὰρ κτή-
ματα αὐτοῖς οἴκοι σῷά ἐστι καὶ ἀκήρατα, σῖτά τε καὶ ποτὰ,
προκείμενα μόνοις αὐτῶν τοῖς οἰκέταις· αὐτοὶ δ' ἐνταῦθ' ἀεὶ
διατρίβοντες, οὐ παύονται καταδαπανῶντες, βοῦς τε, καὶ
ὄϊς, καὶ αἶγας, καὶ τἄλλα κατεσθίοντες καὶ πίνοντες, φειδό-

εὐχὰς καὶ ἀρὰς ἡμῶν. 509. Προσπύξομαι] ὑποδέξομαι. 513. Σιωπήσειαν]
ἐπιτρέψειαν αὐτῷ ἐλθεῖν, εὐφρανθήσεται ἡ ψυχή σου. 517. Ἧν ἀγορεύων]
τὴν ἑαυτοῦ ἐν τῷ ἀγορεύειν. 525. Στεῦται] ἐπαγγέλλεται, ὅτι ἤκουσε περὶ
Ὀδυσσέως. 530. Ἑψιάσθων] παιζέτωσαν διὰ τῶν ψήφων ἐν χερσί· δια-
τριβέτωσαν. 537. Κατάνεται] κάτω χωροῦσι, διέφθαρται. 538. Ἀρὴν]

Οἷος Ὀδυσσεὺς ἔσκεν, ἀρὴν ἀπὸ οἴκου ἀμῦναι·
Εἰ δ' Ὀδυσσεὺς ἔλθοι, καὶ ἵκοιτ' ἐς πατρίδα γαῖαν,
Αἶψά κε σὺν ᾧ παιδὶ βίας ἀποτίσεται ἀνδρῶν.
Ὣς φάτο· Τηλέμαχος δὲ μέγ' ἔπταρεν· ἀμφὶ δὲ δῶμα
Σμερδαλέον κονάβησε· γέλασσε δὲ Πηνελόπεια·
Αἶψα δ' ἄρ' Εὔμαιον ἔπεα πτερόεντα προσηύδα·
Ἔρχεό μοι, τὸν ξεῖνον ἐναντίον ὧδε κάλεσσον.
Οὐχ ὁράᾳς, ὅ μοι υἱὸς ἐπέπταρε πᾶσιν ἔπεσσιν;
Τῷ κεν καὶ οὐκ ἀτελὴς θάνατος μνηστῆρσι γένοιτο,
Πᾶσι μάλ', οὐδέ κέ τις θάνατον καὶ Κῆρας ἀλύξοι.
Ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
Αἴ κ' αὐτὸν γνώω νημερτέα πάντ' ἐνέποντα,
Ἕσσω μιν χλαῖνάν τε, χιτῶνά τε, εἵματα καλά.
Ὣς φάτο· βῆ δὲ συφορβὸς, ἐπεὶ τὸν μῦθον ἄκουσεν·
Ἀγχοῦ δ' ἱστάμενος, ἔπεα πτερόεντα προσηύδα·
Ξεῖνε πάτερ, καλέει σε περίφρων Πηνελόπεια,
Μήτηρ Τηλεμάχοιο· μεταλλῆσαί τί ἑ θυμὸς
Ἀμφὶ πόσει κέλεται, καὶ κήδεά περ πεπαθυίῃ.
Εἰ δέ κέ σε γνοίῃ νημερτέα πάντ' ἐνέποντα,
Ἕσσει σε χλαῖνάν τε, χιτῶνά τε, τῶν σὺ μάλιστα
Χρηΐζεις· σῖτον δή καὶ αἰτίζων κατὰ δῆμον,
Γαστέρα βοσκήσεις· δώσει δέ τοι, ὅς κ' ἐθέλῃσιν.
Τὸν δ' αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς·
Εὔμαι', αἶψά κ' ἐγὼ νημερτέα πάντ' ἐνέποιμι
Κούρῃ Ἰκαρίοιο, περίφρονι Πηνελοπείῃ·
Οἶδα γὰρ εὖ περὶ κείνου, ὁμὴν δ' ἀνεδέγμεθ' ὀϊζύν.
Ἀλλὰ μνηστήρων χαλεπῶν ὑποδείδι' ὅμιλον,
Τῶν ὕβρις τε, βίη τε σιδήρεον οὐρανὸν ἵκει.
Καὶ γὰρ νῦν, ὅτε μ' οὗτος ἀνὴρ κατὰ δῶμα κιόντα·
Οὔτι κακὸν ῥέξαντα βαλὼν ὀδύνῃσιν ἔδωκεν,

μενοι μηδενός· οὐ γὰρ ἔσθ' οἷος ἦν Ὀδυσσεύς, ὃς ἂν τὸ
κακὸν τοῦθ' ἡμῖν ἀπαμύνοι· εἰ δέ ποθεν ἐκεῖνος ἐπιφανείη, αὐ-
τίκα σὺν Τηλεμάχῳ δίκην λήψεται παρ' ἐκείνων ἀξίαν.

Ταῦτα δ' εἰπούσης αὐτῆς, ἔπταρεν ὁ Τηλέμαχος μέγα
τοσοῦτον, ὥστ' ἐκονάβησε πᾶς ὁ οἶκος· ἡ δὲ Πηνελόπη γελά-
σασα, ἐπισπέρχει Εὔμαιον μάλ' αὖθις ἰέναι μετελευσόμενον
τὸν ξένον ὡς ἑαυτήν· ἢ οὐχ ὁρᾷς, ἔφη, ὅπως ούμὸς παῖς
ἔπταρεν ἐπὶ πᾶσι τοῖς ὑπ' ἐμοῦ εἰρημένοις; σημεῖον γὰρ
ἔγωγε τίθεμαι σαφὲς τοῦ μηδένα ἐκείνων δυνήσεσθαι τὸν
θάνατον ἀποφυγεῖν· μέμνησο δέ μοι εἰπεῖν κἀκεῖνο τῷ ξένῳ,
ὡς εἴγε γνοίην αὐτὸν ἀληθῆ πάντα λέγοντα, δώσω αὐτῷ
χλαῖναν καὶ χιτῶνα καλόν.

Εὔμαιος δ' ἐξιὼν ἐπὶ τούτοις, ἐτάχυνεν ὡς τὸν Ὀδυσσέα·
καὶ προσιὼν αὐτῷ, ἔφη. Πάτερ ξένε, Πηνελόπη καλεῖ σε
ἡ μήτηρ τοῦ Τηλεμάχου· τῷ γὰρ πόθῳ τοῦ ἀνδρὸς τηκο-
μένη, βούλεται πυθέσθαι τὶ παρὰ σοῦ ὅ,τι οἶσθα· καὶ εἴγ'
αἴσθοιτό σε, φησὶν, ἀληθῆ πάντα λέγοντα, ἀμφιέσει σε χλαίνῃ
καὶ χιτῶνι καλῷ, ὧν μάλιστα τυγχάνεις δεόμενος· τροφῆς
γὰρ πρὸς γαστρὸς θεραπείαν πολλαχοῦ εὐπορήσειας ἄν.

Ὀδυσσεὺς δὲ πρὸς ταῦτα· Εὔμαιε, ὡς πάντ' ἐμοῦ ἀληθῆ
ἐροῦντος τῇ Πηνελόπῃ, οὕτω γνώμης ἔχε· οἶδα γάρ τι ἀκη-
κοὼς περὶ ἐκείνου σαφές· εἴγε καὶ ὁμοιοπαθεῖς τυγχάνομεν
ὄντες ἀμφότεροι· ἀλλὰ νῦν γε δέδοικα μνηστῆρας τουτουσὶν,
ὧν ἡ ὕβρις προσαράσσει τὸν σιδηροῦν οὐρανόν· αὐτίκα γὰρ
ὠνὴρ ἐκεῖνος αἰτοῦντά με ἐν τῷ δώματι, ἔβαλε πικρῶς, μη-

βλάβην. 545. Ἔπταιρεν ἐπὶ πᾶσιν [πᾶσιν;] σημεῖον τοῦτο ποιεῖται τοῦ γα-

Οὔτε τι Τηλέμαχος τόγ' ἐπήρκεσεν, οὔτε τις ἄλλος.
Τῷ νῦν Πηνελόπειαν ἐνὶ μεγάροισιν ἄνωχθι
Μεῖναι, ἐπειγομένην περ, ἐς ἠέλιον καταδύντα·
Καὶ τότε μ' εἰρέσθω πόσιος πέρι νόστιμον ἦμαρ,
Ἀσσοτέρω καθίσασα παραὶ πυρί· εἵματα γάρ τοι
Λύγρ' ἔχω· οἶσθα καὶ αὐτὸς, ἐπεί σε πρῶθ' ἱκέτευσα.
Ὣς φάτο· βῆ δὲ συφορβὸς, ἐπεὶ τὸν μῦθον ἄκουσεν.
Τὸν δ' ὑπὲρ οὐδοῦ βάντα προσηύδα Πηνελόπεια·
Οὐ σύγ' ἄγεις, Εὔμαιε; τί τοῦτ' ἐνόησεν ἀλήτης;
Ἤ τινά που δείσας ἐξαίσιον, ἠὲ καὶ ἄλλως
Αἰδεῖται κατὰ δῶμα; κακὸς δ' αἰδοῖος ἀλήτης.
Τὴν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
Μυθεῖται κατὰ μοῖραν, ἅπερ κ' οἴοιτο καὶ ἄλλος,
Ὕβριν ἀλυσκάζων ἀνδρῶν ὑπερηνορεόντων.
Ἀλλά σε μεῖναι ἄνωγεν ἐς ἠέλιον καταδύντα.
Καὶ δέ σοι ὧδ' αὐτῇ πολὺ κάλλιον, ὦ βασίλεια,
Οἴην πρὸς ξεῖνον φάσθαι ἔπος, ἠδ' ἐπακοῦσαι.
Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Οὐκ ἄφρων ὁ ξεῖνος οἴεται, ὥσπερ ἂν εἴη·
Οὐ γάρ πού τινες ὧδε καταθνητῶν ἀνθρώπων
Ἀνέρες ὑβρίζοντες ἀτάσθαλα μηχανόωνται.
Ἡ μὲν ἄρ' ὣς ἀγόρευεν· ὁ δ' ᾤχετο δῖος ὑφορβὸς
Μνηστήρων ἐς ὅμιλον, ἐπεὶ διεπέφραδε πάντα.
Αἶψα δὲ Τηλέμαχον ἔπεα πτερόεντα προσηύδα,
Ἄγχι σχὼν κεφαλὴν, ἵνα μὴ πευθοίαθ' οἱ ἄλλοι·
Ὦ φίλ', ἐγὼ μὲν ἄπειμι, σύας καὶ κεῖνα φυλάξων,
Σὸν καὶ ἐμὸν βίοτον· σοὶ δ' ἐνθάδε πάντα μελόντων.
Αὐτὸν μέν σε πρῶτα σάω καὶ φράζεο θυμῷ,

νήσεσθαι τὰ προσεχῶς εἰρημένα. 593. Σύας καὶ κεῖνα] καὶ τὰ ἐκεῖ· ἔχει δὲ

δένα βλάψαντα μηδαμῇ· καὶ μήτε Τηλέμαχος, μήθ᾽ ἕτερός τις τῶν παρόντων ἐπήρκησέ μοι ἀμύναι· ταῦτ᾽ ἄρ᾽ ἀτρέμας ἐχέτω, ὡς ἂν ἔγωγε φαίην, ἡ σεμνὴ Πηνελόπη μέχρι δυομένου ἡλίου· τότε δὴ πεύσεταί μου περὶ τοῦ ἑαυτῆς ἀνδρὸς ὅ,τι βούλοιτο, καθίσασά με παρὰ τῷ πυρὶ, ἐπ᾽ ἀδείας· οἶσθα γὰρ αὐτὸς, οὗ τὸ πρῶτον ἐγενόμην ἱκέτις, θοιμάτιον τοὐμὸν τουτοῒ πολύτρητόν τε καὶ φλαῦρον ἐς τοὔσχατον ὄν.

Ἐκ δὲ τούτων Εὔμαιος ὡς ἐγένετο παρὰ τῇ εἰσόδῳ, τὰ παρὰ τοῦ Ὀδυσσέως τῇ δεσποίνῃ κομίζων, ἐκείνη ἤρετο φθᾶσα, τί τοῦτο; οὐκ ἄγεις ἐλθὼν τὸν ξένον; καὶ τίποτ᾽ ἄρ᾽ ἐκεῖνος ὑπονοήσας, οὐκ ἠκολούθησεν, ἢ δείσας τινά; ἢ ἄλλως ἀποκνήσας αἰδοῖ διὰ τοσούτων δωμάτων ἐλθεῖν ὡς ἐμέ; ἀλλ᾽ ἐπαίτῃ ἀνδρὶ ἡ αἰδὼς οὐ καλόν.

Εὔμαιος δὲ πρὸς ταῦτα· ἐκεῖνος μὲν, ὦ κυρία, ὀρθῶς εἴπερ καὶ ἄλλος τις, λογίζεσθαι δοκεῖ· οὐ γὰρ ἐθέλει ἑκὼν ἐμπεσεῖν ὕβρει ἀλαζόνων ἀνθρώπων· ἔφη δὲ χρῆν περιμεῖναι σε ἐς ἥλιον καταδύντα· τοῦτο γὰρ ἄμεινον εἶναι μόνην πρὸς μόνον ἐκεῖνον λόγον δοῦναί τε καὶ ἀκοῦσαι.

Πηνελόπη δὲ πρὸς ταῦτα· εὖ μάλα δοκεῖ μοι φρονεῖν ὁ ξένος γε οὗτος, ὅςις ἂν ᾖ· οὐ γὰρ ἔσθ᾽ ὅπου γε τῶν ἁπάντων ἀνθρώπων τοιοῦτοί γε ὑβρισταὶ καὶ κακόβουλοι ἦεν.

Ταῦτα δ᾽ αὐτῆς εἰπούσης, ἐξιὼν Εὔμαιος, κατέδυ ἐς τὸν ὅμιλον τῶν μνηστήρων· ἔνθα προσιὼν Τηλεμάχῳ, λέγει αὐτῷ πρὸς τὸ οὖς· ἐγὼ μὲν, ὦ φίλτατε, ἄπειμι παρὰ τὸν σταθμὸν, τῶν συῶν, ὡς ἰδίων ἐμαυτοῦ ἐπιμελησόμενος· σοὶ δὲ μελέτω τῶν οἴκοι, καὶ πρὸ πάντων περιορῶ ἀτενῶς, ὅπως σαυτὸν διασώσεις, ἀνώτερον τῶν ἱσταμένων παγίδων καταστησάμενος· πολλοὶ γὰρ τῶν παρόντων τὰ κάκιςά σοι

Μή τι πάθῃς· πολλοὶ δὲ κακὰ φρονέουσιν Ἀχαιῶν·
Τοὺς Ζεὺς ἐξολέσειε, πρὶν ἡμῖν πῆμα γενέσθαι.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Ἔσσεται οὕτως, ἄττα· σὺ δ' ἔρχεο, δειελιήσας·
Ἠῶθεν δ' ἰέναι καὶ ἄγειν ἱερήϊα καλά·
Αὐτὰρ ἐμοὶ τάδε πάντα καὶ ἀθανάτοισι μελήσει.
Ὣς φάθ'· ὁ δ' αὖτις ἄρ' ἕζετ' ἐϋξέστου ἐπὶ δίφρου·
Πλησάμενος δ' ἄρα θυμὸν ἐδητύος, ἠδὲ ποτῆτος
Βῆ ῥ' ἴμεναι μεθ' ὕας· λίπε δ' ἕρκεά τε, μέγαρόν τε,
Πλεῖον δαιτυμόνων· οἱ δ' ὀρχηστυῖ καὶ ἀοιδῇ
Τέρποντ'· ἤδη γὰρ καὶ ἐπήλυθε δείελον ἦμαρ.

τοῦτο σχέσιν πρὸς τὸ ἑπόμενον, Ἔνθάδε. 599. Ἔσσεται οὕτως] ἀντὶ τοῦ ἔσται ταῦθ' οὕτω γεγενημένα, ἢ γιγνόμενα· ἄλλως γὰρ τὸ, οὕτως, οὐ συντάσσεται

βουλεύονται· ἀλλὰ Ζεὺς αὐτὸς κακῶς κακοὺς ἐξολέσειε πάντας, πρὶν ἄν τι τῶν ἀνηκέστων ἡμᾶς ἐξεργάσωνται.

Τηλέμαχος δὲ πρὸς ταῦτα· ταῦτα μὲν οὕτως ἕξει· σὺ δὲ, φαγὼν ἤδη τὸ δειλινὸν, ἄπιθι· ἅμα δὲ ἕῳ μέμνησο ἀγαγεῖν ἱερεῖα, ὡς ἔθος, καλά· τῶν δ' οἴκοι ἐμοί γ' αὐτῷ καὶ τοῖς ἀθανάτοις μελήσει. Ταῦτα δ' αὐτοῦ εἰπόντος, καθεσθεὶς ὁ Εὔμαιος ἐπὶ δίφρου, καὶ δειπνοποιησάμενος, ᾤχετ' ἀπιὼν ἐπὶ τοῦ σταθμοῦ, λιπὼν πλῆθος μνηστήρων, οὐδενὸς φροντιζόντων, ἢ χορῷ καὶ ᾠδῇ διὰ πάσης τέρπεσθαι τῆς ἡμέρας· ἤδη γὰρ καὶ δείλη ἑσπέρα ἦν.

πρὸς τὸ, Ἐστί. — δειελιήσας] τὸ δειλινὸν φαγών. ἢ ἀπέρχου δείλης ἑσπέρας οὔσης· ἢ μέχρις ἑσπέρας ἡμῖν συνδιατρίψας· ὃ καὶ μᾶλλον.

ΥΠΟΘΕΣΙΣ

ἾΡΟΣ τὶς τοὔνομα, ἐπαίτης συνήθης πρὸ πολλοῦ τοῖς τὴν Ἰθάκην οἰκοῦσιν, ἐπιβάλλεται ἐξώσασθαι Ὀδυσσέα τῆς θύρας· ὁ δὲ ἠμύνετο· ἐλθόντων οὖν εἰς χεῖρας, νικᾷ Ὀδυσσεὺς πυγμῇ· καὶ τιμᾶται ἐπὶ τούτῳ ἄθλοις παρὰ τῶν μνηστήρων· Πηνελόπη δὲ ἐπιφανεῖσα τοῖς μνηστῆρσι, θέλγει μᾶλλον ἐπιμελείᾳ τῆς Ἀθηνᾶς· ἐφ' ᾧ καὶ δῶρα λαμβάνει παρὰ τῶν μνηστήρων· ἔπειτ' ἐπιτιμή-

ΟΔΥΣΣΕΙΑΣ Σ.

Ἦλθε δ' ἐπὶ πτωχὸς πανδήμιος, ὃς κατὰ ἄστυ
Πτωχεύεσκ' Ἰθάκης, μετὰ δ' ἔπρεπε γαστέρι μάργῃ,
Ἀζηχὲς φαγέμεν, καὶ πιέμεν· οὐδέ οἱ ἦν ἲς
Οὐδὲ βίη· εἶδος δὲ μάλα μέγας ἦν ὁράασθαι.
Ἀρναῖος δ' ὄνομ' ἔσκε· τὸ γὰρ θέτο πότνια μήτηρ
Ἐκ γενετῆς· Ἶρον δὲ νέοι κίκλησκον ἅπαντες,
Οὕνεκ' ἀπαγγέλλεσκε κιὼν, ὅτε πού τις ἀνώγοι·
Ὅς ῥ' ἐλθὼν Ὀδυσῆα διώκετο οἷο δόμοιο

1. Πανδήμιος] ὁ πανταχοῦ προσαιτῶν ἐν τῷ δήμῳ. 2. Μάργῃ] κεκρατη-

ΤΟΥ Σ.

σασα Τηλεμάχῳ, ἐάσαντι ἐπηρεασθῆναι τὸν ξένον, ἀπανέρχεται εἰς τὸν θάλαμον· οἱ δὲ μνηστῆρες διῆγον ἐνασμενίζοντες χορῷ καὶ ᾠδῇ· κἀν τούτῳ προπηλακίζεται Ὀδυσσεὺς ὑπὸ τῶν θεραπαινίδων, εἶθ' ὁμοίως καὶ ἀπὸ Εὐρυμάχου· ταραχῆς δὲ γενομένης, ἀπαλλάττονται οἴκαδε, Τηλεμάχου κελεύσαντος.

ΟΔΥΣΣΕΙΑΣ Σ.

Ἐν δ' οὖν τούτοις παρεγένετό τις τῶν πτωχῶν, συνήθως προσαιτῶν ἐν Ἰθάκῃ, ἐπιβόητος ἐπὶ γαστρὶ τῷ πολλὰ ἐσθίειν καὶ πίνειν, πελώριος μὲν τὸ σῶμα, ἀδύνατος δ' ἄλλως καὶ μαλακός· ὄνομα δὲ, ὃ μὲν ἡ μήτηρ ἔθηκεν αὐτῷ γεννηθέντι, Ἀρναῖος· Ἶρος δὲ ὑπὸ τῶν νεωτέρων μετωνομάζετο, ἐφ' οἷς ἀπήγγελεν ἰὼν ὁτιοῦν, ὅποι τις κελεύοι· Οὗτος οὖν ἰδὼν Ὀδυσσέα καθήμενον ἐπὶ τῷ οὐδῷ, οὐκ ἠνέσχετο· ἐβούλετο γὰρ αὐτὸς ἔχειν τὸν τόπον, ἀπωσάμενος ἐκεῖνον ἐκεῖθεν· διὸ

μένῳ ὑπὸ μαινομένης γαστρός. 3 Ἀζηχές] διηνεκῶς, μέγα. 6. Ἶρον] παρὰ

Καί μιν νεικείων ἔπεα πτερόεντα προσηύδα·
Εἶκε, γέρον, προθύρου, μὴ δὴ τάχα καὶ ποδὸς ἕλκῃ·
Οὐκ ἀΐεις, ὅτι δή μοι ἐπιλλίζουσιν ἅπαντες,
Ἑλκέμεναι δὲ κέλονται; ἐγὼ δ' αἰσχύνομαι ἔμπης.
Ἀλλ' ἄνα, μὴ τάχα νῶϊν ἔρις καὶ χερσὶ γένηται.
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν, προσέφη πολύμητις Ὀδυσσεύς·
Δαιμόνι', οὔτε τί σε ῥέζω κακὸν, οὔτ' ἀγορεύω,
Οὔτε τινὰ φθονέω δόμεναι, καὶ πόλλ' ἀνελόντα.
Οὐδὸς δ' ἀμφοτέρους ὅδε χείσεται· οὐδέ τί σε χρὴ
Ἀλλοτρίων φθονέειν· δοκέεις δέ μοι εἶναι ἀλήτης,
Ὥσπερ ἐγών· ὄλβον δὲ θεοὶ μέλλουσιν ὀπάζειν.
Χερσὶ δὲ μήτι λίην προκαλίζεο, μή με χολώσῃς,
Μή σε γέρων περ ἐὼν, στῆθος καὶ χείλεα φύρσω
Αἵματος· ἡσυχίη δ' ἂν ἐμοὶ καὶ μᾶλλον ἔτ' εἴη
Αὔριον· οὐ μὲν γάρ τί σ' ὑποστρέψεσθαι οἴω
Δεύτερον ἐς μέγαρον Λαερτιάδεω Ὀδυσῆος.
Τὸν δὲ χολωσάμενος, προσεφώνεεν Ἶρος ἀλήτης·
Ὢ πόποι, ὡς ὁ μολοβρὸς ἐπιτροχάδην ἀγορεύει,
Γρηῒ καμινοῖ ἶσος, ὃν ἂν κακὰ μητισαίμην,
Κόπτων ἀμφοτέρῃσι, χαμαὶ δέ κε πάντας ὀδόντας
Γναθμῶν ἐξελάσαιμι, συὸς ὡς ληϊβοτείρης.
Ζῶσαι νῦν, ἵνα πάντες ἐπιγνώωσι καὶ οἵδε
Μαρναμένους· πῶς δ' ἂν σὺ νεωτέρῳ ἀνδρὶ μάχοιο;
Ὣς οἱ μὲν προπάροιθε θυράων ὑψηλάων
Οὐδοῦ ἔπι ξεστοῦ πανθυμαδὸν ὀκριόωντο.

τὸ εἴρειν, τὸ λέγειν. 9. Ἐπιλλίζουσιν] διανεύουσι τοῖς ὄμμασι. 13. Ἄνα] ἀνάστα, 14. Χείσεται] χωρήσει. 21. Φύρσω] μολύνω, ἐμπλήσω. 22. Ἡσυχίη] οὕτω γὰρ οὐκέτ' ἄν μοι πράγματα παράσχοις. 27. Καμινοῖ] ἡ καμινῷ ἃ παρακάθηται ἀεὶ τῷ πυρί, πεφυρμένη τέφρᾳ. 29. Ληϊβοτείρης] τῆς τὰ

προσιὼν, ἐξανίστασο σύγ', ὦ γέρον, ἔφη, τοῦ προθύρου γε τουτουΐ, ἵνα μὴ θᾶττον ἐξελκύσω σε τοῦ ποδὸς, κατασύρων ὡς ποῤῥωτάτω· ἢ οὐκ αἰσθάνῃ, ὅπως μοι ἐπινεύουσι τοῦτο πάντες; πλὴν ἔγωγ' αἰσχύνομαι· ἀναστὰς οὖν χώρει, ἵνα μή τις ἀνάγκη γένηται ἡμῖν εἰς χεῖρας ἐλθεῖν.

Ὀδυσσεὺς δὲ ὑπόδρα ἰδὼν πρὸς αὐτὸν, σχέτλιε, ἔφη, σύγε ἔχ' ἡσύχως· οὐ γὰρ ἀδικῶ σε, οὐ λόγῳ, οὐκ ἔργῳ, οὔθ' ἕτερον ἄν τινὰ κωλῦσαι βουλοίμην σοι δοῦναι, ὃ ἄν τις ἐθέλῃ, ἀνελὼν ἀπὸ τῆς τραπέζης· οὐδὸς δ' οὑτοσὶν ἀμφοτέρους χωρήσει καθέζεσθαι· οὐδ' ἄλλως σε χρὴ τῶν ἀλλοτρίων με ὁμότεχνον ὄντα (τοῦτο γὰρ δοκεῖς μοι καὶ αὐτὸς εἶναι) κωλύειν· θεοὶ δὲ πλοῦτον διδόασιν, ᾧ ἂν βούλωνται· τὸ δ' ἐς χεῖρας ἐλθεῖν ἀπεύχου μᾶλλον, μηδὲ προκαλοῦ, ἵνα μὴ ὀργῇ ληφθεὶς, καὶ τοιοῦτός γε ὢν ἐν γήρᾳ βαθεῖ, τά τε χείλη καὶ τὸ στῆθος ἐμπλήσω σοι αἵματος, ὅπως τό γε πρὸς σοῦ ἡσυχώτερος αὔριον εἴην· οὐκέτι γὰρ ἂν τὰ τοῦ Ὀδυσσέως ἐπίδοις βασίλεια.

Ἶρος δ' ὀργισθεὶς ἐπὶ τούτοις, βαβαὶ ἔφη, ὅσον ὁ παράσιτος καὶ σοροδαίμων οὗτος, ὁ καμινευτρίᾳ ὅλως γραῒ ἐοικὼς, ἐπιτροχάδην δημηγορεῖ· ὃν εἰ λάβοιμι, τὰ κάκιστ' ἂν δράσαιμι, παίων ἀμφοτέραις, ὥστε τοὺς ὀδόντας αὐτῷ, εἴτινες ὑπόλοιποι εἶεν, ἐκπεσεῖν ἄλλους ἄλλῃ· εἰ δὲ καὶ θέλεις πεῖρα μαθεῖν, ἄγ' ἀποδύου ἐν ἀπόπτῳ πάντων τούτων γε θεωμένων· πῶς γὰρ ἂν σύγε, τοιοῦτος ὢν, μάχοιο πολλῷ νεωτέρῳ;

Τούτων οὖν οὕτω πρὸ τῶν θυρῶν διαπληκτιζομένων λόγοις περὶ τοῦ ὀδοῦ πρὸς ἀλλήλους, αἰσθόμενος Ἀντίνοος, ὦ φίλοι,

---

λήϊον βοσκομένης· ἢ γὰρ τοῦτο ποιοῦσα, ληφθεῖσα, ἐξωδοντίζετο. 30. Ζῶσαι νῦν] ἀναστὰς περίζωσαι τὸ ζῶμα περὶ τὰ αἰδοῖα. 33. Ὀκριόωντο] ἔρα

Τοῖιν δὲ ξυνέηχ' ἱερὸν μένος Ἀντινόοιο,
Ἡδὺ δ' ἄρ' ἐκγελάσας, μετεφώνει μνηστήρεσσιν·
Ὦ φίλοι, οὐ μέν πώ τι πάρος τοιοῦτον ἐτύχθη·
Οἵην τερπωλὴν θεὸς ἤγαγεν ἐς τόδε δῶμα.
Ὁ ξεῖνός τε καὶ Ἶρος ἐρίζετον ἀλλήλοιϊν
Χερσὶ μαχήσασθαι· ἀλλὰ ξυνελάσσομεν ὦκα.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀνήϊξαν γελόωντες,
Ἀμφὶ δ' ἄρα πτωχοὺς κακοείμονας ἠγερέθοντο.
Τοῖσιν δ' Ἀντίνοος μετέφη, Εὐπείθεος υἱός·
Κέκλυτέ μευ, μνηστῆρες ἀγήνορες, ὄφρα τι εἴπω·
Γαστέρες αἵδ' αἰγῶν κέατ' ἐν πυρί· τάσδ' ἐπὶ δόρπῳ
Κατθέμεθα, κνίσης τε καὶ αἵματος ἐμπλήσαντες·
Ὁππότερος δέ κε νικήσῃ, κρείσσων τε γένηται,
Τάων ἥν κ' ἐθέλῃσιν, ἀναστὰς αὐτὸς, ἑλέσθω·
Αἰεὶ δ' αὖθ' ἡμῖν μεταδαίσεται, οὐδέ τιν' ἄλλον
Πτωχὸν ἔσω μίσγεσθαι ἐάσομεν αἰτήσοντα.
Ὣς ἔφατ' Ἀντίνοος. τοῖσιν δ' ἐπιήνδανε μῦθος.
Τοῖς δὲ δολοφρονέων, μετέφη πολύμητις Ὀδυσσεύς·
Ὦ φίλοι, οὔπως ἔστι νεωτέρῳ ἀνδρὶ μάχεσθαι
Ἄνδρα γέροντα, δύῃ ἀρημένον· ἀλλά με γαστὴρ
Ὀτρύνει κακοεργὸς, ἵνα πληγῇσι δαμείω.
Ἀλλ' ἄγε νῦν μοι πάντες ὀμόσσατε καρτερὸν ὅρκον,
Μήτις ἐπ' Ἴρῳ ἦρα φέρων, ἐμὲ χειρὶ βαρείῃ
Πλήξῃ ἀτασθάλλων, τούτῳ δέ με ἶφι δαμάσσῃ.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀπώμνυον, ὡς ἐκέλευσεν.
Αὐτὰρ ἐπεί ῥ' ὄμοσάν τε, τελεύτησάν τε τὸν ὅρκον,
Τοῖς δ' αὖτις μετέειφ' ἱερὴ ἲς Τηλεμάχοιο·
Ξεῖν', εἴ σ' ὀτρύνει κραδίη καὶ θυμὸς ἀγήνωρ
Τοῦτον ἀλέξασθαι, τῶν δ' ἄλλων μήτιν' Ἀχαιῶν
Δείδιθ'· ἐπεὶ πλεόνεσσι μαχήσεται, ὅς κέ σε θείνῃ.

ἔφη, ἐγὼ μὲν οὐδέπω ἑώρακα τοιοῦτό τι γενόμενον παρ' ἡμῖν· θεὸς ἄρα τοῦθ' ἡμῖν πρὸς τέρψιν ἀπέστειλεν· ὁρᾶτε γὰρ τὸν ξένον καὶ Ἶρον λόγοις πρῶτον διενεχθέντας, ὁρμωμένους ἤδη καὶ εἰς χεῖρας ἐλθεῖν πρὸς ἀλλήλους· ἀλλὰ ξυμβαλόντες αὐτοὺς, ἐρεθίζωμεν.

Ταῦτα δ' αὐτοῦ εἰπόντος, γελάσαντες, καὶ αὐτοὶ ἀνέστησαν ἅπαντες· καὶ κυκλωσάντων αὐτοὺς ἄλλων ἄλλοθεν, Ἀντίνοος ἔφη. Ἀκούσατέ μου, ὦ ἄνδρες μνηστῆρες, ὅ,τι δεῖ πράττειν· εἰσὶ γὰρ ἡμῖν ᾧδε γαστέρες αἰγῶν ἐν πυρί· ἃς ἐμπλήσαντες πιμελῆς τε καὶ αἵματος, κατεθέμεθα ἐπὶ δείπνῳ· τούτων οὖν, ὃς ἂν αὐτῶν κρείττων γένηται, ἀναστὰς ἀνελέσθω, ἣν ἂν ἐθέλῃ· τοῦ δ' αὖ λοιποῦ μόνος αὐτὸς τῶν πτωχῶν παρ' ἡμῖν εὐωχείσθω, τῶν ἄλλων ἀποκλεισθέντων δόγματι κοινῷ. ταῦτα δ' αὐτοῦ εἰπόντος, ἐπήνεσαν ἅπαντες.

Ὁ δὲ πολύμητις Ὀδυσσεὺς, προσποιούμενος, γέροντα μὲν, ἔφη, ἐθέλοντα μάχεσθαι νεωτέρῳ, καὶ ταῦτα πολλαῖς προπαλαίσαντα δυσπραξίαις, οὐκ ἂν εὕροιτε τῶν ἁπάντων οὐδένα· ἀλλὰ τί καὶ πάθοι τις, ὁπόθ' ἡ τύραννος γαστὴρ βιάζεται ἔνδοθεν; ἀλλ' ἡμεῖς γ', ὦ ἄνδρες, χαρίσασθέ μοι τὰ δίκαια, ἐπομόσαντες, ἦ μὴν μηδένα ὑμῶν, Ἴρῳ τῷ ἀνταγωνιστῇ χαριζόμενον, ὑποβαλεῖν με πειράσεσθαι τούτῳ, μήτε πλήξαντα, μήθ' ὅτῳ ἄλλογε τρόπῳ. Ἐπὶ τούτοις οὖν ὤμοσαν ἅπαντες.

Τηλέμαχος δὲ πρὸς αὐτὸν, ξένε, ἔφη, εἰ αὐτὸς σύνοιδας σεαυτῷ δυναμένῳ πρὸς Ἶρον ἀμύνεσθαι, ἔργου ἔχου, μηδένα δεδιὼς τῶν ἁπάντων· ὃς γὰρ ἀδικεῖν σε πειράσηται, πολλοῖς γ' οὗτος ἅμα αὐτίκα μάλα μαχήσεται· ἐμοὶ γὰρ μόνῳ, ξενοδό-

---

χύνοντο, διεφέροντο. 34. Ξυνέηκε] ᾔσθετο τούτων. 53. Δύῃ ἀρημένον] βεβλαμμένον τῇ δυστυχίᾳ καὶ κακοπαθείᾳ παρὰ τοῦ ἀρᾶν. 60. Μετίειφ']

Ξεινοδόκος μὲν ἐγών· ἐπὶ δ' αἰνεῖτον βασιλῆες,
Ἀντίνοός τε καὶ Εὐρύμαχος, πεπνυμένω ἄμφω.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπῄνεον· αὐτὰρ Ὀδυσσεὺς
Ζώσατο μὲν ῥάκεσιν περὶ μήδεα, φαῖνε δὲ μηροὺς
Καλούς τε μεγάλους τε, φάνεν δέ οἱ εὐρέες ὦμοι,
Στήθεά τε, στιβαροί τε βραχίονες· αὐτὰρ Ἀθήνη
Ἄγχι παρισταμένη, μέλε' ἤλδανε ποιμένι λαῶν.
Μνηστῆρες δ' ἄρα πάντες ὑπερφιάλως ἀγάσαντο·
Ὧδε δέ τις εἴπεσκεν, ἰδὼν ἐς πλησίον ἄλλον·
Ἦ τάχα Ἶρος Ἄϊρος ἐπίσπαστον κακὸν ἕξει·
Οἵην ἐκ ῥακέων ὁ γέρων ἐπιγουνίδα φαίνει.
Ὣς ἄρ' ἔφαν· Ἴρῳ δὲ κακῶς ὠρίνετο θυμός.
Ἀλλὰ καὶ ὣς δρηστῆρες ἄγον, ζώσαντες ἀνάγκῃ,
Δειδιότα· σάρκες δὲ περιτρομέοντο μέλεσσιν.
Ἀντίνοος δ' ἐνένιπτεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
Νῦν μὲν μήτ' εἴης, βουγάϊε, μήτε γένοιο,
Εἰ δὴ τοῦτόν γε τρομέεις, καὶ δείδιας αἰνῶς
Ἄνδρα γέροντα, δύῃ ἀρημένον, ἥ μιν ἱκάνει.
Ἀλλ' ἔκ τοι ἐρέω, τὸ δὲ καὶ τελεσμένον ἔσται·
Αἴ κέν σ' οὗτος νικήσῃ, κρείσσων τε γένηται,
Πέμψω σ' ἤπειρόνδε, βαλὼν ἐν νηῒ μελαίνῃ,
Εἰς Ἔχετον βασιλῆα, βροτῶν δηλήμονα πάντων,
Ὅς κ' ἀπὸ ῥῖνα τάμησι, καὶ οὔατα νηλέϊ χαλκῷ,
Μήδεά τ' ἐξερύσας, δώῃ κυσὶν ὠμὰ δάσασθαι.
Ὣς φάτο· τῷ δ' ἔτι μᾶλλον ὑπὸ τρόμος ἔλλαβε γυῖα·

μετέειπεν ὁ Τηλέμαχος. 63. Θείνῃ] βλάψῃ. 67. Περὶ μήδεα] περὶ τὰ αἰδοῖα. 73. Ἶρος ἄϊρος] ὃς οὐκέτ' ἂν εἴη Ἶρος· ἰδέωμα τοῦτο τῆς γλώσσης. ὕπνος ἄϋπνος, παρθένος ἀπάρθενος, δῶρα ἄδωρα. 79. Βουγάϊε] ὁ μεγάλα βρῶν καὶ γαυριώμενος. 85. Ἔχετον] βασιλεὺς ἦν οὗτος Σικελλίας· ἢ κατ' ἄλ-

χῷγε ὄντι, τούτων μέλειν προσήκει· ἐπαινοίη δ᾽ ἂν ταῦτ᾽,
οἶμαι ἔγωγε, καὶ Εὐρύμαχος ὁ βέλτιστος οὑτοσὶ, καὶ Ἀντί-
νοος ὁμοίως ἐκεῖνος, βασιλεῖς καὶ ἔμφρονες ὄντες ἄμφω.

Ἐπὶ τούτοις οὖν ἁπάντων ὁμολογησάντων, Ὀδυσσεὺς,
περιζωσάμενος τὰ αἰδοῖα, καὶ ἀποδυσάμενος τὰ ῥάκη, προὔ-
φηνε μὲν βραχίονας στιβαροὺς καὶ ὤμους εὐρεῖς· προὔτεινε
δὲ στήθη τε καὶ μηροὺς καλοὺς καὶ μεγάλους, τῆς Ἀθηνᾶς
ἐγγύθεν ἕκαστα ἀφανῶς ἐξογκούσης· ἃ οἱ μνηστῆρες ἐθαύμα-
ζον βλέποντες· καί τις αὐτῶν ἔφη πρὸς τὸν πλησίον· ἦπού γε
Ἶρος Ἄϊρος ἑκούσιον κακὸν ἑαυτῷ δοκεῖ ἐπισπᾶσθαι· ἢ οὐχ
ὁρᾶτε, οἵαν ἐπιγουνίδ᾽ ὁ γέρων ὑπὸ ῥάκεσιν ἔτρεφε. Ταῦτα
μὲν οὗτοι διελέγοντο πρὸς ἀλλήλους.

Ἶρον οὖν αὐτὸν τρόμος ἐκ τούτων εἷλεν· ἀλλὰ καὶ ὡς οἰ-
κέται ἀναγκάσαντες, περιέζωσαν, καίτοι τῶν σαρκῶν αὐτῷ
πανταχόθεν περιτρεμουσῶν.

Ἀντίνοος οὖν ἐπιπηδήσας αὐτῷ, ὡς ὤφελες, ἔφη, μήτ᾽
εἶναι, μήτε γενέσθαι, ὦ μεγάλαυχε σύγε· ὃς δέδιας ὑποτρέ-
μων ἄνδρα γέροντα τουτονὶ, ὑπὸ μυρίων κεκακωμένων δει-
νῶν· ἀλλ᾽ ὃ μέλλεις πείσεσθαι, κρείττονος τούτου σου γε-
νομένου, τοῦτ᾽ ἤδη ἄκουσον· αὐτίκα γὰρ ἀναβιβάσας σε εἰς
πλοῖον, ἀποπέμψω εἰς ἤπειρον πρὸς Ἔχετον τὸν ἀνθρωποκ-
τόνον· ὅς τά τ᾽ ὦτα καὶ τὴν ῥῖνα ἀποτεμὼν, καὶ τὰ αἰδοῖ᾽
αὐτὰ ἀποσπάσας, δώσει τοῖς κυσὶν ὠμὰ καταδάψαι.

Ταῦτα δ᾽ οὕτως αὐτῷ εἰρημένα, ἐπέτειναν ἔτι τῷ Ἴρῳ

λεὺς τῆς Ἠπείρου, παῖς Εὐχήνορος, ὠμὸς καὶ ἀπότομος, ὡς καὶ τὴν θυγα-
τέρα Μετώπην, ἢ Ἄμφισσαν, ὑπὸ Αἰχμοδίκου φθαρεῖσαν, πηρώσας, ἠνάγ-
κασε σιδηρᾶς ἀλεῖν κριθὰς, τότε εἰπὼν ἀποδώσειν τὰς ὄψεις, ὅτε ἀλέσει τὰς
κριθάς· τὸν δὲ Αἰχμόδικον καλέσας ἐπὶ ἑστίασιν, ἠκρωτηρίασεν. καὶ τὰ αἰ-
δοῖα ἀπέτεμεν· ὕστερον μέντοι μανεὶς, καὶ τῶν ἰδίων σαρκῶν ἐμφορηθεὶς,

Ἐς μέσσον δ' ἄναγον· τὼ δ' ἄμφω χεῖρας ἀνέσχον.
Δὴ τότε μερμήριξε πολύτλας δῖος Ὀδυσσεὺς,
Ἢ ἐλάσει', ὥς μιν ψυχὴ λίποι αὖθι πεσόντα,
Ἠέ μιν ἦκ' ἐλάσειε, τανύσσειέν τ' ἐπὶ γαίῃ.
Ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι
Ἦκ' ἐλάσαι, ἵνα μή μιν ἐπιφρασσαίατ' Ἀχαιοί.
Δὴ τότ' ἀνασχομένω, ὁ μὲν ἤλασε δεξιὸν ὦμον
Ἶρος, ὁ δ' αὐχέν' ἔλασσεν ὑπ' οὔατος, ὀστέα δ' εἴσω
Ἔθλασεν· αὐτίκα δ' ἦλθε κατὰ στόμα φοίνιον αἷμα.
Κὰδ δ' ἔπεσ' ἐν κονίῃσι μακὼν, σὺν δ' ἤλασ' ὀδόντας,
Λακτίζων ποσὶ γαῖαν· ἀτὰρ μνηστῆρες ἀγαυοὶ
Χεῖρας ἀνασχόμενοι, γέλῳ ἔκθανον· αὐτὰρ Ὀδυσσεὺς
Ἕλκε δι' ἐκ προθύροιο, λαβὼν ποδὸς, ὄφρ' ἵκετ' αὐλὴν,
Αἰθούσης τε θύρας· καί μιν ποτὶ ἑρκίον αὐλῆς
Εἷσεν ἀνακλίνας· σκῆπτρον δέ οἱ ἔμβαλε χειρὶ,
Καί μιν φωνήσας, ἔπεα πτερόεντα προσηύδα·
Ἐνταυθοῖ νῦν ἧσο, σύας τε, κύνας τ' ἀπερύκων,
Μηδὲ σύγε ξείνων καὶ πτωχῶν κοίρανος εἶναι,
Λυγρὸς ἐών· μή πού τι κακὸν καὶ μεῖζον ἐπαύρῃ.
Ἦ ῥα καὶ ἀμφ' ὤμοισιν ἀεικέα βάλλετο πήρην,
Πυκνὰ ῥωγαλέην· ἐν δὲ στρόφος ἦεν ἀορτήρ.
Ἂψ δ' ὅγ' ἐπ' οὐδὸν ἰὼν κατ' ἄρ' ἕζετο· τοὶ δ' ἴσαν εἴσω
Ἡδὺ γελώοντες, καὶ δεικανόωντ' ἐπέεσσιν·

Ζεύς τοι δοίη, ξεῖνε, καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
Ὅττι μάλιστ' ἐθέλεις, καί τοι φίλον ἔπλετο θυμῷ,
Ὃς τοῦτον τὸν ἄναλτον ἀλητεύειν ἀπέπαυσας
Ἐν δήμῳ· τάχα γάρ μιν ἀνάξομεν ἤπειρόνδε
Εἰς Ἔχετον βασιλῆα, βροτῶν δηλήμονα πάντων.

Ὣς ἄρ' ἔφαν· χαῖρεν δὲ κλεηδόνι δῖος Ὀδυσσεύς.
Ἀντίνοος δ' ἄρα οἱ μεγάλην παρὰ γαστέρα θῆκεν,

τὸν τρόμον. Τέως δ' οὖν ἐλθόντων ἐς τὸ μέσον, καὶ τὰς χεῖρας προϊσχομένων, ἐλογίζετο πρὸς ἑαυτὸν Ὀδυσσεὺς, πότερον ἀποκτείνῃ αὐτὸν, προσαράξας τῇ χειρὶ, ἢ καταβάλῃ μόνον, κουφοτέραν αὐτοῦ καθείς· ταῦτα δ' αὐτῷ διανοουμένῳ τὸ δεύτερον ἔδοξε μετριώτερον εἶναι, ἵνα μὴ καὶ ὑπόνοιαν ἑαυτοῦ τινα τοῖς θεωμένοις παράσχῃ. Ἀνασχόντων τοίνυν τὰς χεῖρας, Ἶρος μὲν πρῶτος ἔβαλε πὺξ Ὀδυσσέα κατὰ τὸν ὦμον τὸν δεξιόν· ὁ δὲ, βαλὼν τὴν ἐπ' ἀρότρῳ ἐν μέρει ἐπὶ τὸν αὐχένα ὑπὸ τῷ ὠτὶ, συνέθλασεν αὐτῷ τὸ ὀστοῦν· ὥστε πεσόντος αὐτοῦ, αἷμά τε πολὺ ἐφέρετο ἐκ τοῦ στόματος, καὶ οἱ ὀδόντες, λακτίζοντος αὐτοῦ πρὸς τὴν γῆν, συνεξέπεσον· ἐφ' οἷς μέγα γελάσαντες οἱ θεώμενοι, ἐθαύμαζον. Ὀδυσσεὺς δὲ λαβὼν αὐτὸν τοῦ ποδὸς, ἐξεῖλκε τοῦ προθύρου εἰς τὴν αὐλήν· ἔνθα παρετάνυσεν αὐτὸν πρὸς τῷ τοίχῳ· εἶθ' οὕτω ῥόπαλον αὐτῷ ἐνθεὶς τῇ χειρὶ, ἐνταῦθα, ἔφη, κεῖσο σύγ', ὦ ἄριστε ἀθλητῶν, κύνας τε καὶ σῦς ἀπερύκων, μηκέτι ἐπιθυμῶν, ὅτου τῶν πτωχῶν γένῃ κοίρανος, οὕτω μαλακὸς καὶ κακὸς ὢν, ἵνα μή τι καὶ χεῖρόν σοι γένηται. Ἐκ δὲ τούτων ἀράμενος τὴν πήραν, ἐκαθέσθη ἐπανελθὼν ἐπὶ τῷ οὐδῷ.

Οἱ δὲ μνηστῆρες εἰσῄεσαν πάλιν καὶ αὐτοὶ σὺν γέλωτι καὶ φιλοφροσύνῃ, λέγοντες, Ζεύς σοι, ὦ ξένε, καὶ πάντες οἱ θεοὶ δοῖεν πᾶν ὅ,τι εἴη κεχαρισμένον, ὃς κατέπαυσας ἡμῖν τὸν ἀκόρεστον τοῦτον τοῦ μηκέτι μηδὲν προσαιτεῖν· νῦν γὰρ ἀποπεμπτέας ἂν εἴη πρὸς Ἔχετον βασιλέα τὸ τῶν ἀνθρώπων φθορέα. Ὁ δὲ Ὀδυσσεὺς ἔχαιρε ταῦτ' ἀκούων παρὰ τῶν ἐχθρῶν· ἃ αὐτὸς ἐξεδέχετο πάνθ' ὡς φήμην γε τῶν μελλόντων γενήσεσθαι.

Ἐκ δὴ τούτων Ἀντίνοος μὲν λαβὼν μίαν τῶν γαστέρων,

κατέστρεψε. 94. Ἦκα] ἠρέμα, πρᾳότερον. 111. Δεικανόωντο] ἐπιδεικτικῶς ἐφιλοφρονοῦντο πρὸς αὐτὸν τοῖς λόγοις. 114. Ἄναλτον] ἀκόρεστον. 121. Δαι-

Ἐμπλείην κνίσης τε καὶ αἵματος· Ἀμφίνομος δὲ
Ἄρτους ἐκ κανέοιο δύω παρέθηκεν ἀείρας,
Καὶ δέπαϊ χρυσέῳ δειδίσκετο, φώνησέν τε·
Χαῖρε, πάτερ ὦ ξεῖνε, γένοιτό τοι ἔσπερ ὀπίσω
Ὄλβος· ἀτὰρ μὲν νῦν γε κακοῖς ἔχεαι πολέεσσιν.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Ἀμφίνομ', ἦ μάλα μοι δοκέεις πεπνυμένος εἶναι·
Τοίου γὰρ καὶ πατρός· ἐπεὶ κλέος ἐσθλὸν ἄκουον
Νῖσον Δουλιχιῆα ἐΰν τ' ἔμεν, ἀφνειόν τε·
Τοῦ σ' ἔκ φασι γενέσθαι, ἐπητῇ δ' ἀνδρὶ ἔοικας.
Τοὔνεκά τοι ἐρέω, σὺ δὲ σύνθεο, καί μευ ἄκουσον.
Οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο,
Πάντων, ὅσσα τε γαῖαν ἔπι πνείει τε καὶ ἕρπει.
Οὐ μὲν γάρ ποτέ φησι κακὸν πείσεσθαι ὀπίσσω,
Ὄφρ' ἀρετὴν παρέχωσι θεοὶ, καὶ γούνατ' ὀρώρῃ·
Ἀλλ' ὅτε δὴ καὶ λυγρὰ θεοὶ μάκαρες τελέσωσιν,
Καὶ τὰ φέρει ἀεκαζόμενος τετληότι θυμῷ.
Τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων,
Οἷον ἐπ' ἦμαρ ἄγῃσι πατὴρ ἀνδρῶν τε θεῶν τε.
Καὶ γὰρ ἐγώ ποτ' ἔμελλον ἐν ἀνδράσιν ὄλβιος εἶναι,
Πολλὰ δ' ἀτάσθαλ' ἔρεξα, βίῃ καὶ κάρτεϊ εἴκων
Πατρί τ' ἐμῷ πίσυνος καὶ ἐμοῖσι κασιγνήτοισιν.
Τῷ μή τις ποτὲ πάμπαν ἀνὴρ ἀθεμίστιος εἴη,
Ἀλλ' ὅγε σιγῇ δῶρα θεῶν ἔχοι, ὅττι διδοῖεν.
Οἷ' ὁρόω μνηστῆρας ἀτάσθαλα μηχανόωντας,
Κτήματα κείροντας, καὶ ἀτιμάζοντας ἄκοιτιν
Ἀνδρὸς, ὃν οὐκέτι φημὶ φίλων καὶ πατρίδος αἴης
Δηρὸν ἀπέσσεσθαι· μάλα δὲ σχεδόν· ἀλλά σε δαίμων

δίσκετο] ἐδεξιοῦτο. 122. Ἔσπερ ὀπίσω] εἰς τὸ μετὰ ταῦτα. 128. Ἐπητῇ] εὐ-

πιμελῆς τε καὶ αἵματος πλήρη, παρέθηκεν αὐτῷ κατὰ τὰ
ξυγκείμενα· Ἀμφίνομος δ' αὖ ὁμοίως καὶ αὐτὸς φιλοφρονη-
σάμενος, προσπαρέθηκε δύο ἄρτους, ἀπὸ τοῦ κανέου λαβών·
εἶτ' ἐπιδοὺς αὐτῷ καὶ οἶνον ἐν ἐκπώματι χρυσῷ, χαῖρε
σύγ', ἔφη, ὦ ξένε πάτερ· νῦν μὲν γὰρ πολλοῖς κακοῖς ὁρῶ
σε κακούμενον· ἀλλ' εἴης αὐτίκα ὄλβιος καὶ εὐδαίμων γε-
γενημένος.

Ὀδυσσεὺς δὲ πρὸς ταῦτα· Ἀμφίνομε, οὐ τῶν τυχόντων
μοι δοκεῖς εἶναί τις· ἀλλὰ καὶ τῶν μάλιστα φρονίμων καὶ
ἐπιεικῶν· καὶ οἷος ὁ σός γε πατήρ· Νῖσον γάρ φασι τὸν ἐκ
Δουλιχίου, ἀγαθόν θ' ἅμα καὶ πλούσιον ὄντα, μέγα παρὰ
πᾶσιν ἄρασθαι κλέος· διὸ ἐκεῖνό σε δεῖ μάλιστα πάντων
εἰδέναι, ὅτι οὐδὲν, ὧν ἡ γῆ τρέφει, ἀδυνατώτερον ἂν εἴη
ἀνθρώπου· οὗτος γὰρ ἐν ἀκμῇ μὲν ὢν, ἀλαζών ἐστι καὶ
ἀκάθεκτος, σοβῶν πανταχοῦ, μηδεμίαν τῶν πραγμάτων ὑποπ-
τεύων μεταβολήν· ἐπειδὰν δὲ βουλῇ θεῶν περιπτῇ ἐπὶ θά-
τερα, καταπίπτει τὴν ψυχὴν, ταπεινὸς καὶ ἀγεννὴς καθιστά-
μενος· τοιοῦτον γὰρ ἀνθρώποις τὸ φρόνημα, ὅπως οἱ θεοὶ
ποιοῦσιν αὐτοὺς ἐφ' ἑκάτερα μεταπίπτειν· αὐτίκα γὰρ ἐγὼ
αὐτὸς ὅδε ἐξ ἀρχῆς μὲν γεγένημαι ὀλβιώτατος· ἀλλὰ τῇ τ'
ἐμαυτοῦ καὶ τῶν ἀδελφῶν ἰσχύϊ ἐξ ὕβρεως πεποιθὼς, καὶ
πόλλ' ἄδικα πράξας ἐν τῷ βίῳ, περιέστην εἰς τοῦτ' ἀθλιό-
τατος· διὸ μηδένα φαίην ἂν ἔγωγε τὰ δίκαια δεῖν ὑπερ-
βαίνειν· ἀλλ' ἡσυχίαν ἄγειν, τοῖς παρὰ τῶν θεῶν αὐτῷ
ἐπαρκούμενος ὑπηργμένοις· οἷα γὰρ ὁρῶ πράττοντας καὶ
τουτουσὶ τοὺς μνηστῆρας, τά τε κτήματα διαφθείροντας,
καὶ εἰς τὴν γυναῖκα αὐτὴν ἐξυβρίζοντας ἀνδρὸς, ὃν οὐ πολὺ
οἶμαι ἔγωγε τῶν τε φίλων αὐτοῦ καὶ τῆς πατρίδος ἀπέχειν·

κολος εἰς τὰ ἔπη, λέγιας, καὶ δεινὸς λέγειν· 141. Ἀθεμίστιος] ἄδικος, ἀλα-

Οἴκαδ' ὑπεξαγάγοι, μηδ' ἀντιάσειας ἐκείνῳ,
Ὁππότε νοστήσειε φίλην ἐς πατρίδα γαῖαν·
Οὐ γὰρ ἀναιμωτί γε διακρινέεσθαι οἴω
Μνηστῆρας καὶ κεῖνον, ἐπεί κε μέλαθρον ὑπέλθῃ.
Ὣς φάτο· καὶ σπείσας ἔπιεν μελιηδέα οἶνον·
Ἂψ δ' ἐν χερσὶν ἔθηκε δέπας κοσμήτορι λαῶν.
Αὐτὰρ ὁ βῆ διὰ δῶμα, φίλον τετιημένος ἦτορ,
Νευστάζων κεφαλῇ· δὴ γὰρ κακὸν ὄσσετο θυμός.
Ἀλλ' οὐδ' ὣς φύγε Κῆρα· πέδησε δὲ καὶ τὸν Ἀθήνη
Τηλεμάχου ὑπὸ χερσὶ καὶ ἔγχεϊ ἶφι δαμῆναι.
Ἂψ δ' αὖτις κατ' ἄρ' ἕζετ' ἐπὶ θρόνου, ἔνθεν ἀνέστη.
Τῇ δ' ἄρ' ἐπεὶ φρεσὶ θῆκε θεὰ γλαυκῶπις Ἀθήνη,
Κούρῃ Ἰκαρίοιο, περίφρονι Πηνελοπείῃ,
Μνηστήρεσσι φανῆναι, ὅπως πετάσειε μάλιστα
Θυμὸν μνηστήρων, ἰδὲ τιμήεσσα γένοιτο
Μᾶλλον πρὸς πόσιός τε καὶ υἱέος, ἢ πάρος ἦεν.
Ἀχρεῖον δ' ἐγέλασσεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
Εὐρυνόμη, θυμός μοι ἐέλδεται, οὔτι πάρος γε,
Μνηστήρεσσι φανῆναι, ἀπεχθομένοισί περ ἔμπης·
Παιδὶ δέ κεν εἴποιμι ἔπος, τό κε κέρδιον εἴη,
Μὴ πάντα μνηστῆρσιν ὑπερφιάλοισιν ὁμιλεῖν.
Οἵ τ' εὖ μὲν βάζουσι, κακῶς δ' ὄπισθεν φρονέουσιν.
Τὴν δ' αὖτ' Εὐρυνόμη ταμίη πρὸς μῦθον ἔειπεν·
Ναὶ δὴ ταῦτά γε πάντα, τέκος, κατὰ μοῖραν ἔειπες.
Ἀλλ' ἴθι καὶ σῷ παιδὶ ἔπος φάο, μηδ' ἐπίκευθε,
Χρῶτ' ἀπονιψαμένη, καὶ ἐπιχρίσασα παρειάς·
Μηδ' οὕτω δακρύοισι πεφυρμένη ἀμφὶ πρόσωπα

ζων. 147. Ὑπεξαγάγοι] Ἀμφίνιμος ἦν μὲν ἀνὴρ φρόνιμος καὶ ἐπιεικὴς πρὸς τὸν εἶκον τοῦ Ὀδυσσέως, καὶ διὰ τοῦτο συμβουλεύει αὐτῷ ὡς ἐκ συμβόλων ὑπεκφυγεῖν τὴν μνηστηροκτονίαν, ὁ δὲ ἀλάστορι χρησάμενος δαίμονι, οὔτ' αὐτὸς

ἀλλὰ σέ γε, ὦ Ἀμφίνομε, δαίμων ἀγαθὸς εἰς τὸν σὸν ὑπεξάγοι οἶκον· μηδ' ἐντύχοις ἐκείνῳ ἀπονοστήσαντι οἴκαδε· οὐ γὰρ ἀναιμωτὶ διακριθείη τοῖς μνηστῆρσι τὰ πράγματα, ἐπελθόντος ἐκείνου.

Ἐκ δὲ τούτου σπείσας, καὶ πιὼν τὸ λοιπὸν, δέδωκε τὸ ἔκπωμα Ἀμφινόμῳ· ὁ δὲ λαβὼν ἐπανῆλθεν, ὑποβρύχιος τῇ λύπῃ γενόμενος, καὶ τὴν κεφαλὴν παρακεκλικὼς, ἐλογίζετο, ἃ ἔμελλεν αὐτοῖς ἔσεσθαι· οὐδὲ γὰρ αὐτὸς ἀπέφυγε τὸ δίκην ἀξίαν, ὧν ἔπραξε, δοῦναι, τῆς Ἀθηνᾶς πεδησάσης ὅλως αὐτὸν τοῦ μὴ διαδράσαι πάθ' ὕστερον τοὺς Τηλεμάχου βραχίονας. Ἐλθὼν οὖν ἐπεκάθισεν, ἀφ' ἧς ἀνεστήκει καθέδρας·

Ἐν δὲ τούτῳ Ἀθηνᾶ ἐνέπνευσε τῇ περίφρονι Πηνελόπῃ ἐπιφανῆναι τοῖς μνηστῆρσιν, ἵνα τήν τ' ἐλπίδ' αὐτοῖς τοῦ γάμου προσεπιτείνειε, καὶ παρὰ τῷ ἀνδρὶ καὶ υἱῷ τιμιωτέρα, ἢ πρότερον εἴη· καὶ δὴ πεπλασμένον ὑπογελάσασά τι, Εὐρυνόμη, ἔφη, οὐκ οἶδ' ὅπως ἐπέρχεταί μοι ἐπιφανῆναι αὖ τοῖς μνηστῆρσι, καίπερ αὐτοὺς ἀποστρέφομαι σφόδρα· ὃ οὐδέπω πρότερον μέμνημαι παθοῦσα· βούλομαι γὰρ εἰπεῖν Τηλεμάχῳ μὴ πάμπαν θαῤῥεῖν ἀνδράσιν ἀλαζόσι συγγίνεσθαι, εὖ μὲν λέγουσιν ἔμπροσθεν, τὰ κάκιστα δὲ φρονοῦσιν ὄπισθεν· ἄμεινον οὖν αὐτῷ ἂν εἴη καὶ ἀσφαλέστερον πόῤῥω αὐτῶν, ὅσον οἷόν τε, εἶναι.

Εὐρυνόμη δὲ πρὸς ταῦτα· πάντα μοι, ὦ τέκνον, ὀρθῶς μοι δοκεῖς εἰρηκέναι· ἀλλ' ἀναστᾶσα σπεῦδε, ἐροῦσα τῷ παιδὶ ταῦτα, ἀπονιψαμένη τὸ πρόσωπον πρότερον, καὶ τὰς παρειὰς ἐπιχρίσασα· οὐ γὰρ ἄξιόν σε οὕτω δεδακρυμένην

διέφυγε, μὴ ἀποχωρήσας ἑαυτὸν τῶν ἄλλων εὐθύς. 154. Ὤσσετο] προὔβλεψε. 156. Ὑπὸ χερσὶ Τηλεμάχου] ὑπὸ τούτου γὰρ ἀπέθανε, διαμπὰξ ἐλασθεὶς τῷ δορί· ἴδε κατωτέρω ἐν τῷ Χ. στίχ. 90. Καὶ ἑξῆς. 163. Ἀχρεῖον δ' ἐγέλασ-

Ἔρχευ· ἐπεὶ κάκιον πενθήμεναι ἄκριτον αἰεί.
Ἤδη μὲν γάρ τοι παῖς τηλίκος, ὃν σὺ μάλιστα
Ἠρῶ ἀθανάτοισι γενειήσαντα ἰδέσθαι.
Τὴν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Εὐρυνόμη, μὴ ταῦτα παραύδα, κηδομένη περ,
Χρῶτ' ἀπονίπτεσθαι καὶ ἐπιχρίεσθαι ἀλοιφῇ·
Ἀγλαΐην γὰρ ἔμοιγε θεοὶ, τοὶ Ὄλυμπον ἔχουσιν,
Ὤλεσαν, ἐξ οὗ κεῖνος ἔβη κοίλῃς ἐνὶ νηυσίν.
Ἀλλά μοι Αὐτονόην τε καὶ Ἱπποδάμειαν ἄνωχθι
Ἐλθέμεν, ὄφρα κέ μοι παρστήετον ἐν μεγάροισιν·
Οἴη δ' οὐκ εἴσειμι μετ' ἀνέρας· αἰδέομαι γάρ.
Ὣς ἄρ' ἔφη· γρηῢς δὲ δι' ἐκ μεγάροιο βεβήκει,
Ἀγγελέουσα γυναιξὶ, καὶ ὀτρυνέουσα νέεσθαι.
Ἔνθ' αὖτ' ἄλλ' ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη·
Κούρῃ Ἰκαρίοιο κατὰ γλυκὺν ὕπνον ἔχευεν.
Εὗδε δ' ἀνακλινθεῖσα· λύθεν δέ οἱ ἅψεα πάντα
Αὐτοῦ ἐνὶ κλιντῆρι· τέως δ' ἄρα δῖα θεάων
Ἄμβροτα δῶρα δίδου, ἵνα μιν θησαίατ' Ἀχαιοί.
Κάλλεϊ μέν οἱ πρῶτα προσώπατα καλὰ κάθηρεν
Ἀμβροσίῳ, οἵῳ περ ἐϋστέφανος Κυθέρεια
Χρίεται, εὖτ' ἂν ἴῃ Χαρίτων χορὸν ἱμερόεντα·
Καί μιν μακροτέρην καὶ πάσσονα θῆκεν ἰδέσθαι·
Λευκοτέρην δ' ἄρα μιν θῆκε πριστοῦ ἐλέφαντος.
Ἡ μὲν ἄρ' ὣς ἔρξασ', ἀπεβήσατο δῖα θεάων.
Ἦλθον δ' ἀμφίπολοι λευκώλενοι ἐκ μεγάροιο,
Φθόγγῳ ἐπερχόμεναι· τὴν δὲ γλυκὺς ὕπνος ἀνῆκεν,
Καί ῥ' ἀπομόρξατο χερσὶ παρειάς; φώνησέν τε·
Ἦ με μάλ' αἰνοπαθῆ μαλακὸν περὶ κῶμ' ἐκάλυψεν·
Αἴθε μοι ὣς μαλακὸν θάνατον πόροι Ἄρτεμις ἁγνὴ,
Αὐτίκα νῦν, ἵνα μηκέτ' ὀδυρομένη κατὰ θυμὸν
Αἰῶνα φθινύθω, πόσιος ποθέουσα φίλοιο

ἐπιστῆναι ἐκείνοις· μήτε μὴν πενθοῦσαν πάντα τὸν χρόνον διάγειν· ἤδη γάρ σοι καὶ παῖς ἐςὶ τηλικοῦτος· ὃν διετέλεσας εὐχομένη τοῖς θεοῖς ἐπιδεῖν αὐτὸν ὀψέποτε γενειάσαντα.

Πηνελόπη δὲ πρὸς ταῦτα· μή με τοιαῦτ', ὦ φίλη, κέλευε νῦν· οὐ γὰρ νῦν μοι τὰ πράγματ' ἀπονίπτεσθαί τε καὶ χρίεσθαι· οὐδὲ καιρὸς ἔτ' ἔμοιγε τοιαύταις χαίρειν ἀγλαΐαις, τῶν θεῶν ἀφελόντων με τοῦτο, ἐξ οὗ ἐκεῖνος ὡνὴρ τῆς νεὼς ἐπιβὰς, ᾤχετό με καταλιπών· ἀλλὰ σύγε νῦν ἴθι κέλευσον Αὐτονόμην καὶ Ἱπποδάμειαν ἕπεσθαί μοι· οὐ γὰρ εὐπρεπές μοι ἐς ἄνδρας φανῆναι μόνην. Ταῦτα δ' αὐτῆς εἰπούσης, ἐξῆλθεν ἡ γραῦς ἐροῦσα τὸ κεκελευσμένον.

Ἡ δὲ 'Αθηνᾶ βουλομένη ἐπιφανῆναι ἐκείνην ὡς καλὴν τοῖς μνηστῆρσιν, ἐνῆκεν ὕπνον εὐθὺς αὐτῇ τοῖς βλεφάροις, ὥστ' ἀνακλιθεῖσαν καθεύδειν ἡδέως, ὅλως παραλελυμένην· καὶ τότε δὴ ἡ θεὸς καταθεῖσα ἐφ' ἡσυχίας ἄμβρωτα δῶρα χαμαὶ, ἐπέχρισε μὲν τὸ πρόσωπον αὐτῆς κάλλει ἀμβροσίῳ, ᾧ ἐχρίετο μάλιστα Ἀφροδίτη, ὁπότε ᾔει ἐς τὸν τῶν χαρίτων χορόν· ἐποίησε δ' αὐτὴν μείζω καὶ πάσσω πολλῷ ἑαυτῆς, καὶ ἐλέφαντος ἐξεσμένου πολλῷ λευκοτέραν.

Ἡ μὲν οὖν θεὸς ταῦτα πράξασα, ᾤχετο· Πηνελόπη δὲ τῇ τῶν θεραπαινίδων φωνῇ, ἤδη προσιουσῶν αὐτῇ, διϋπνίσθη· καὶ δὴ ἀπομορξαμένη τὰς παρειὰς ταῖς χερσὶν, οἷος οὗτος, ἔφη, ἔσχε με νήδυμος ὕπνος· εἴθε μοι τοιοῦτον θάνατον ἡ Ἄρτεμις πέμψειεν αὐτίκα δὴ μάλα, ἵνα μὴ τὸν πάντα αἰῶνα τῷ πόθῳ τοῦ ἀνδρὸς, ὃν ἔγωγ' ἁπάντων ἄριστον οἶδα, δα-

---

σεν] βεβιασμένον καὶ οὐκ ἐκ σπουδῆς. 176. Ἠρῶ] ηὔχου τοῖς θεοῖς. ἵν' ἴδοις αὐτόν ποτε γενειάσαντα. 183. Παρστήετον] παραστῆτον. 189. Ἅψεα] τὰ ἄρθρα τῶν μελῶν. 201· Κῶμα] ὕπνος. ἡ κλίσις εἰς ὕπνον. 212· Ἔρῳ] τῷ

Παντοίην ἀρετήν· ἐπεὶ ἔξοχος ἦεν Ἀχαιῶν.
Ὣς φαμένη κατέβαιν' ὑπερώϊα σιγαλόεντα,
Οὐκ οἴη· ἅμα τῇγε καὶ ἀμφίπολοι δύ' ἕποντο.
Ἡ δ' ὅτε δὴ μνηστῆρας ἀφίκετο δῖα γυναικῶν,
Στῆ ῥα παρὰ σταθμὸν τέγεος πύκα ποιητοῖο,
Ἄντα παρειάων σχομένη λιπαρὰ κρήδεμνα·
Ἀμφίπολος δ' ἄρα οἱ κεδνὴ ἑκάτερθε παρέστη.
Τῶν δ' αὐτοῦ λύτο γούνατ', ἔρῳ δ' ἄρα θυμὸν ἔθελχθεν·
Πάντες δ' ἠρήσαντο παραὶ λεχέεσσι κλιθῆναι.
Ἡ δ' αὖ Τηλέμαχον προσεφώνεεν, ὃν φίλον υἱόν·
Τηλέμαχ', οὐκέτι τοι φρένες ἔμπεδοι, οὐδὲ νόημα·
Παῖς ἔτ' ἐὼν καὶ μᾶλλον ἐνὶ φρεσὶ κέρδε' ἐνώμας·
Νῦν δ', ὅτε δὴ μέγας ἐσσὶ καὶ ἥβης μέτρον ἱκάνεις,
Καί κέν τις φαίη γόνον ἔμμεναι ὀλβίου ἀνδρὸς,
Ἐς μέγεθος καὶ κάλλος ὁρώμενος, ἀλλότριος φὼς,
Οὐκέτι τοι φρένες εἰσὶν ἐναίσιμοι, οὐδὲ νόημα.
Οἷον δὴ τόδε ἔργον ἐνὶ μεγάροισιν ἐτύχθη,
Ὃς τὸν ξεῖνον ἔασας ἀεικισθήμεναι οὕτω.
Πῶς νῦν; εἴ τι ξεῖνος, ἐν ἡμετέροισι δόμοισιν
Ἥμενος, ὧδε πάθοι ῥυστακτύος ἐξ ἀλεγεινῆς,
Σοί κ' αἶσχος, λώβη τε μετ' ἀνθρώποισι πέλοιτο.
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Μῆτερ ἐμὴ, τὸ μὲν οὔ σε νεμεσσῶμαι κεχολῶσθαι·
Αὐτὰρ ἐγὼ θυμῷ νοέω καὶ οἶδα ἕκαστα,
Ἐσθλά τε καὶ τὰ χέρεια· πάρος δ' ἔτι νήπιος ἦα·
Ἀλλά τοι οὐ δύναμαι πεπνυμένα πάντα νοῆσαι·
Ἐκ γάρ με πλήσσουσι, παρήμενοι ἄλλοθεν ἄλλος,
Οἵδε κακὰ φρονέοντες, ἐμοὶ δ' οὐκ εἰσὶν ἀρωγοί.
Οὐ μέν τοι ξείνου γε καὶ Ἴρου μῶλος ἐτύχθη
Μνηστήρων ἰότητι· βίῃ δ' ὅγε φέρτερος ἦεν.

κρύουσα τήκωμαι· καὶ ταῦτ' εἰποῦσα, κατῄει κατὰ τῆς κλίμακος, ἑπομένων τῶν ἀμφιπόλων· ὡς δὲ πρὸς τοὺς μνηστῆρας ἐγένετο, ἔστη παρὰ τῷ τῆς θύρας σταθμῷ, ὑποκεκαλυμμένη μὲν κρηδέμνῳ τὸ πρόσωπον, ἑκατέρωθεν δὲ ἔχουσα τὰς θεραπαινίδας· οἱ δὲ, ἅμ' ἰδόντες, ἑάλωσαν ἔρωτι, εὐχόμενος ἕκαστος ἑαυτῷ αὐτὴν γενέσθαι παράκοιτιν.

Πηνελόπη δὲ ἀποτειναμένη πρὸς αὐτὸν Τηλέμαχον, τέκνον, ἔφη, οὐχ ὑγιαίνειν μοι δοκεῖς· πρὶν γὰρ παῖς ἔτι ὢν, ἄμεινον ἐφρόνεις· νῦν δ' εἰς ἥβην ἐλθὼν, μέγας τε καὶ καλὸς ὁρώμενος παρὰ πᾶσιν, ὁπότε τις ζηλωτόν σε ἰδὼν, εἴποι ἂν, ἄξιος οὗτος παῖς πατρὸς ἀγαθοῦ, νῦν γ' οὐκ ἔθ' ὁρῶ σε ἀγαθὸν καὶ κακὸν δυνάμενον διακρίνειν· πῶς γὰρ ἠνέσχου, ὁρῶν ξένον ἐπηρεαζόμενον παρὰ σοί; ἢ οὐκ οἶσθ', ὡς τὰ πρὸς ἐκεῖνον ἐν τῷ σῷ οἴκῳ ἠσελγημένα πολλήν σου ἀβελτερίαν κατηγορεῖ;

Τηλέμαχος δὲ πρὸς ταῦτα· μῆτερ ἐμὴ, δίκαια μὲν ταῦτά γε φής· ἀλλ' ἔγωγ' οὐχ οὕτως ἄφρων εἰμὶ, οἷος μὴ διαγινώσκειν, ὥσπερ πρότερον κομιδῇ νέος ὢν, τὰ χρηστότερα τῶν χειρόνων· ἀλλὰ τί ἂν καὶ πάθοιμι, ὑπὸ τοσούτων καὶ τοιούτων περιεστοιχισμένος· ὧν ἄλλοθεν ἄλλοι, κακῶς φρονοῦντες, οὐκ ἐῶσί με ποιεῖν τὰ καθήκοντα, καὶ ταῦτά μοι μηδενὸς βοηθοῦντος; τέως δ' οὖν ὁ ἀγὼν πρὸς τὸν Ἶρον τῷ ξένῳ γε τουτωῒ οὐκ ἦν βούλευμα τῶν μνηστήρων, οὐδαμῶς τοῦτόγε· καὶ ὁ ξένος κρείττων πολλῷ ἐν τούτῳ ἐγένετο. Ἀλλ' εἴη

ἔρωτι ἐθέλχθησαν. 213. Ἠρήσαντο] ηὔξαντο, ἐπεθύμησαν. 216. Κέρδε', ἐνώμας] φρονιμώτερα ἐνενόεις. 217. Μέτρον] μέσον. ἡ ἀκμήν. 222. Ἀεικισθήμεναι] αἰκισθῆναι. ὑβρισθῆναι. 224. Ῥυστακτύος] ἐκ βιαίας ὁλκῆς, παρὰ τὸ ῥυστάζειν. 233. Μῶλος] ἡ μάχη τοῦ Ἴρου. 246. Ἀνὰ Ἴασον Ἄργος] ἀνθ'.

Αἲ γὰρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
Οὕτω νῦν μνηστῆρες ἐν ἡμετέροισι δόμοισιν
Νεύοιεν κεφαλὰς, δεδμημένοι, οἱ μὲν ἐν αὐλῇ,
Οἱ δ' ἔντοσθε δόμοιο, λελῦτο δὲ γυῖα ἑκάστου,
Ὡς νῦν Ἶρος ἐκεῖνος ἐπ' αὐλείῃσι θύρῃσιν
Ἧσται νευστάζων κεφαλῇ, μεθύοντι ἐοικὼς,
Οὐδ' ὀρθὸς στῆναι δύναται ποσὶν οὐδὲ νέεσθαι
Οἴκαδ', ὅπῃ οἱ νόστος· ἐπεὶ φίλα γυῖα λέλυνται.
Ὡς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Εὐρύμαχος δ' ἐπέεσσι προσηύδα Πηνελόπειαν·
Κούρη Ἰκαρίοιο, περίφρον Πηνελόπεια,
Εἰ πάντες σε ἴδοιεν ἀν' Ἴασον Ἄργος Ἀχαιοὶ,
Πλέονές κε μνηστῆρες ἐν ὑμετέροισι δόμοισιν
Ἠῶθεν δαινύατ'· ἐπεὶ περίεσσι γυναικῶν,
Εἶδός τε, μέγεθός τε, ἰδὲ φρένας ἔνδον ἐΐσας.
Τὸν δ' ἠμείβετ' ἔπειτα περίφρων Πηνελόπεια·
Εὐρύμαχ', ἤτοι ἐμὴν ἀρετὴν, εἶδός τε, δέμας τε
Ὤλεσαν ἀθάνατοι, ὅτε Ἴλιον εἰσανέβαινον
Ἀργεῖοι, μετὰ τοῖσι δ' ἐμὸς πόσις ἦεν Ὀδυσσεύς.
Εἰ κεῖνός γ' ἐλθὼν τὸν ἐμὸν βίον ἀμφιπολεύοι,
Μεῖζόν κε κλέος εἴη ἐμὸν καὶ κάλλιον οὕτω.
Νῦν δ' ἄχομαι· τόσα γάρ μοι ἐπέσσευσεν κακὰ δαίμων.
Ἢ μὲν δὴ ὅτε τ' ᾖε, λιπὼν κάτα πατρίδα γαῖαν,
Δεξιτερὴν ἐπὶ καρπῷ ἑλὼν ἐμὲ χεῖρα προσηύδα·
Ὦ γύναι, οὐ γὰρ οἴω ἐϋκνήμιδας Ἀχαιοὺς
Ἐκ Τροίης εὖ πάντας ἀπήμονας ἀπονέεσθαι·
Καὶ γὰρ Τρῶάς φασι μαχητὰς ἔμμεναι ἄνδρας,
Ἠμὲν ἀκοντιστὰς ἠδὲ ῥυτῆρας ὀϊστῶν
Ἵππων τ' ὠκυπόδων ἐπιβήτορας, οἵ κε τάχιστα
Ἔκριναν μέγα νεῖκος ὁμοιΐου πολέμοιο.
Τῷ οὐκ οἶδ', εἴ κέν μ' ἀνέσει θεὸς, ἤ κεν ἁλώω
Αὐτοῦ ἐνὶ Τροίῃ· σοὶ δ' ἐνθάδε πάντα μελόντων.
Μεμνῆσθαι πατρὸς καὶ μητέρος ἐν μεγάροισιν

κἀμοὶ, ὦ Ζεῦ, Ἀθηνᾶ τε καὶ Ἄπολλον, οὕτως ἰδεῖν τοὺς μνηστῆρας κεκλιμένους τὰς κεφαλὰς, οὓς μὲν κατὰ τὴν αὐλὴν, οὓς δὲ κἀν τῷ δώματι ᾧδε· ὥσπερ νῦν ἑώρακα Ἶρον ἐκεινονὶ ἐν τῇ αὐλῇ, μὴ δυνάμενον ἀνορθοῦσθαι, ὥστ' ἀπιέναι οἴκαδε, τῶν μελῶν αὐτῷ ὅλως παραλυθέντων.

Τούτων δ' οὕτως εἰρημένων, ὑπολαβὼν Εὐρύμαχος, ἔφη, Πηνελόπη φρονιμωτάτη, κόρη τοῦ Ἰκαρίου· εἴγε οἱ ἀπὸ τῆς Πελοποννήσου Ἕλληνες εἶδον τοιαύτην σε οὖσαν καλὴν, πολλοὺς ἂν μνηστῆρας ἴδομεν ἐλθόντας τήμερον εἰς τὸ ἄριστον παρ' ἡμῖν· σὺ γὰρ εἴδει τε, καὶ σώματος ἀναστήματι, καὶ συνέσει φρενὸς πασῶν ὑπερανέστηκας γυναικῶν.

Πηνελόπη δὲ πρὸς ταῦτα· Εὐρύμαχε, τὴν ἐμὴν τοῦ σώματος ἀρετὴν ἀφεῖλόν με οἱ θεοὶ, ἐξ οὗ Ὀδυσσεὺς σὺν τοῖς Ἕλλησιν ἐπιβὰς νηὸς, ἐξέπλευσεν ἐπὶ Τροίαν· εἰ οὖν ἐκεῖνός με ποτ' ἐλθὼν, κυβερνῴη ἐξ ὑπαρχῆς, τοῦτό μοι κλέος μεῖζον καὶ κάλλιον ἔσται· νῦν δ' εἰμὶ δυστυχὴς, ἄλλων ἐπ' ἄλλοις χαλεπῶν μοι συμβάντων· ἡνίκα γὰρ ἐκεῖνος ἔμελλεν ἀναχθήσεσθαι, λαβόμενός μου τῆς δεξιᾶς, γύναι, ἔφη, πάντας μὲν τοὺς Ἕλληνας σῶς ἀπονοστήσειν ἐκ Τροίας οὐκ ἂν ἔγωγε φαίην· καὶ γὰρ πολὺς καὶ περὶ Τρώων φέρεται λόγος ἐπ' ἀρετῇ, ἀρίστους τε εἶναι ἐν μάχαις, καὶ ἀκοντιστὰς, καὶ τοξότας, καὶ ἱππικοὺς ἀγαθοὺς κλεϊζομένους γενέσθαι· ὧν τόγε πλεῖστον τὸ κράτος ἔσται· ταῦτ' ἄρ' οὐκ οἶδ' εἰ ἐάσει με θεὸς ἐπιδεῖν τὴν Ἰθάκην· σοὶ δ' οὖν μελέτω τῶν ἐμῶν, ἐνθαδὶ, πολλήν τοῦ τε πατρὸς καὶ τῆς μητρὸς τῶν ἐμῶν

ἑνὸς ἄμφω· ὁ γὰρ Ἴασος, φασὶ, βασιλεὺς ἦν τῆς Ἑλλάδος. 248. Περίεσσι] ὑπερέχεις. 254. Ἀμφιπολεύοι] διέποι, κυβερνῴη. 262. Ῥυτῆρας] ἑλκυστῆρας.

Ὣς νῦν, ἢ ἔτι μᾶλλον, ἐμεῦ ἀπονόσφιν ἐόντος.
Αὐτὰρ ἐπὴν δὴ παῖδα γενειήσαντα ἴδηαι,
Γήμασθ', ᾧ κ' ἐθέλῃσθα, τεὸν κατὰ δῶμα λιποῦσα.
Κεῖνος τὼς ἀγόρευε· τὰ δὴ νῦν πάντα τελεῖται.
Νὺξ δ' ἔσται, ὅτε δὴ στυγερὸς γάμος ἀντιϐολήσει
Οὐλομένης ἐμέθεν, τῆςτε Ζεὺς ὄλϐον ἀπηύρα.
Ἀλλὰ τόδ' αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει·
Μνηστήρων οὐχ ἥδε δίκη τὸ πάροιθε τέτυκτο·
Οἵτ' ἀγαθήν τε γυναῖκα καὶ ἀφνειοῖο θύγατρα
Μνηστεύειν ἐθέλωσι, καὶ ἀλλήλοις ἐρίσωσιν,
Αὐτοὶ τοίγ' ἀπάγουσι βόας καὶ ἴφια μῆλα,
Κούρης δαῖτα φίλοισι, καὶ ἀγλαὰ δῶρα διδοῦσιν·
Ἀλλ' οὐκ ἀλλότριον βίοτον νήποινον ἔδουσιν.
Ὣς φάτο· γήθησεν δὲ πολύτλας δῖος Ὀδυσσεύς,
Οὕνεκα τῶν μὲν δῶρα παρέλκετο, θέλγε δὲ θυμὸν
Μειλιχίοις ἐπέεσσι· νόος δέ οἱ ἄλλα μενοίνα.
Τὴν δ' αὖτ' Ἀντίνοος προσέφη, Εὐπείθεος υἱός·
Κούρη Ἰκαρίοιο, περίφρον Πηνελόπεια,
Δῶρα μὲν ὅς κ' ἐθέλῃσιν Ἀχαιῶν ἐνθάδ' ἐνεῖκαι,
Δέξασθ'· οὐ γὰρ καλὸν ἀνήνασθαι δόσιν ἐστίν·
Ἡμεῖς δ' οὔτ' ἐπὶ ἔργα πάρος γ' ἴμεν, οὔτε πῃ ἄλλῃ,
Πρίν γέ σε τῷ γήμασθαι Ἀχαιῶν, ὅστις ἄριστος.
Ὣς ἔφατ' Ἀντίνοος· τοῖσιν δ' ἐπιήνδανε μῦθος·
Δῶρα δ' ἄρ' οἰσέμεναι πρόεσαν κήρυκα ἕκαστος.
Ἀντινόῳ μὲν ἔνεικε μέγαν περικαλλέα πέπλον,
Ποικίλον· ἐν δ' ἄρ' ἔσαν περόναι δυοκαίδεκα πᾶσαι
Χρύσειαι, κληῖσιν εὐγνάμπτοις ἀραρυῖαι.

τοξότης. 293. Περόναι] πόρπαι, συνηρμοσμέναι κατακλεῖσιν, ταῖς νῦν κα-

φιλτάτων τοκέων, ὥσπερ πάλαι καὶ νῦν πρόνοιαν ποιουμένη· μᾶλλον δὲ καὶ πλέον, ἐμοῦ γ' ἀπόντος· ὀψὲ δὲ ἡνίκ' ἂν ἴδῃς Τηλέμαχον γενειάσαντα, τότε δὴ γῆμαι, ᾧ ἂν ἐθέλῃς, καταλιποῦσαν τὸν οἶκον. Ταῦτα μὲν ἐκεῖνος τότε γε, ὦ Εὐρύμαχε, διετάξατο· ἃ ἤδη ὁρῶμεν εἰς πρᾶξιν ἐλθεῖν κινδυνεύοντα· ἥξει γὰρ αὐτίκα ἡ νὺξ, ᾗ με γήμασθαι δεῖ, ἣν Ζεὺς ἄλλως ἐποίησε δυστυχῆ, πᾶσαν ἀφελὼν αὐτῆς εὐτυχίαν· ὃ δὲ μάλιστα πάντων δάκνει· οὐ γὰρ ἔσθ' ὅτε ἐν τοῖς ἔμπροσθεν χρόνοις μεμνῆτό τις τοῦθ' οὕτω γενόμενον πώποτε πρότερον, εἴτινες μνηστήρων ἔλθοιεν πρὸς γυναῖκα ἀγαθὴν, καὶ ἐξ ἀγαθῶν καὶ πλουσίων, ἅμα πολλοὶ αὐτὴν μνηστευσόμενοι· ἐκεῖνοι γὰρ βοῦς τε, καὶ ἱερεῖα ἤκοιεν ἄγοντες, ἑστίασιν τοῦτ' ἐσόμενον τοῖς τῆς νύμφης προσήκουσι· καὶ δῶρ' οὐ τὰ τυχόντα διδόντες, οὐμὴν δ' ἀλλότριον καταναλίσκοντες βίον.

Ταῦτα μὲν αὐτη· Ὀδυσσεὺς δὲ ταῦτα ἀκούσας, ἤσθη, ὁρῶν αὐτὴν ἄλλα μὲν λέγουσαν ἐκείνοις, ἕτερα δὲ φρονοῦσαν· τοῖς μὲν γὰρ λόγοις ἐφαίνετο θέλγουσα αὐτοὺς πρὸς τὸν γάμον· καὶ δῶρα παρ' αὐτῶν ἐπεσπᾶτο· τῷ δὲ κρυπτῷ ἀλλοῖα ἦν αὐτῇ τὰ βουλεύματα·

Ἀντίνοος δὲ ὑπολαβὼν, ἔφη πρὸς ταῦτα. Περίφρων Πηνελόπη, δῶρα μὲν δέξασθαι, εἴτις σοὶ τούτων δοίη, οὐκ ἀπέοικε· τοὐναντίον δὲ μάλιστα προσφερόμενα ἀπαρνήσασθαι ἄγροικον· ἡμεῖς δ' οὖν οὐκ ἂν ἀπέλθοιμεν πρότερον, πρὶν ἂν γήμῃ, ὃς ἂν δόξῃ σοι ἄριστος εἶναι.

Ταῦτα δ' εἰπόντος αὐτοῦ, ἐπῄνεσαν ἅπαντες, καὶ παραχρῆμα ἔπεμψεν ἕκαστος κήρυκα δῶρα οἴκοθεν κομιοῦντα, Ἀντίνοος μὲν, πέπλον μέγαν ποικίλον καὶ περικαλλῆ, ᾧ ἐνῆσαν πόρπαι δυωκαίδεκα πᾶσαι, ἐφαρμόττουσαι ταῖς κλει-

Ὅρμον δ' Εὐρυμάχῳ πολυδαίδαλον αὐτίκ' ἔνεικεν,
Χρύσεον, ἠλέκτροισιν ἐερμένον ἠέλιον ὥς.
Ἕρματα δ' Εὐρυδάμαντι δύω θεράποντες ἔνεικαν,
Τρίγληνα, μορόεντα· χάρις δ' ἀπελάμπετο πολλή.
Ἐκ δ' ἄρα Πεισάνδροιο Πολυκτορίδαο ἄνακτος
Ἴσθμιον ἤνεικεν θεράπων, περικαλλὲς ἄγαλμα.
Ἄλλο δ' ἄρ' ἄλλος δῶρον Ἀχαιῶν καλὸν ἔνεικεν.
Ἡ μὲν ἔπειτ' ἀνέβαιν' ὑπερώϊα δῖα γυναικῶν·
Τῇ δ' ἄρ' ἅμ' ἀμφίπολοι ἔφερον περικαλλέα δῶρα.
Οἱ δ' εἰς ὀρχηστύν τε καὶ ἱμερόεσσαν ἀοιδὴν
Τρεψάμενοι τέρποντο· μένον δ' ἐπὶ ἕσπερον ἐλθεῖν.
Τοῖσι δὲ τερπομένοισι μέλας ἐπὶ ἕσπερος ἦλθεν.
Αὐτίκα λαμπτῆρας τρεῖς ἕστασαν ἐν μεγάροισιν,
Ὄφρα φαείνοιεν· περὶ δὲ ξύλα κάγκανα θῆκαν,
Αὖα πάλαι, περίκηλα, νέον κεκεασμένα χαλκῷ·
Καὶ δαΐδας μετέμισγον· ἀμοιβηδὶς δ' ἀνέφαινον
Δμωαὶ Ὀδυσσῆος ταλασίφρονος· αὐτὰρ ὁ τῇσιν
Αὐτὸς Διογενὴς μετέφη πολύμητις Ὀδυσσεύς·
Δμωαὶ Ὀδυσσῆος, δὴν οἰχομένοιο ἄνακτος,
Ἔρχεσθε πρὸς δώμαθ', ἵν' αἰδοίη βασίλεια·
Τῇ δὲ παρ' ἠλάκατα στροφαλίζετε· τέρπετε δ' αὐτὴν,
Ἥμεναι ἐν μεγάρῳ, ἢ εἴρια πείκετε χερσίν·
Αὐτὰρ ἐγὼ τούτοισι φάος πάντεσσι παρέξω.
Ἤνπερ γάρ κ' ἐθέλωσιν ἐΰθρονον Ἠῶ μίμνειν,
Οὔτι με νικήσουσι· πολυτλήμων δὲ μάλ' εἰμί.
Ὣς ἔφαθ'· αἱ δ' ἐγέλασσαν, ἐς ἀλλήλας δὲ ἴδοντο.
Τὸν δ' αἰσχρῶς ἐνένιπτε Μελανθὼ καλλιπάρῃος,
Τὴν Δολίος μὲν ἔτικτε, κόμισσε δὲ Πηνελόπεια,
Παῖδα δὲ ὣς ἀτίταλλε, δίδου δ' ἄρ' ἀθύρματα θυμῷ·

σίν· Εὐρύμαχος δὲ, ὅρμον χρυσοῦν, ὅμοιον ἡλίῳ, ἠλέκτρῳ ὅλως περιηρμοσμένον· Εὐρυδάμας δὲ, ἐνώτια τριόφθαλμα, ὧν πολλὴ ἐσελάγιζε χάρις· Πείσανδρος δὲ ὁ Πολύκτορος, περιδέρειον, χρῆμα θαυμαστὸν καὶ περικαλλές· καὶ ἄλλος ἄλλοτι ἄξιόν τε καὶ τίμιον. Τούτων οὖν οὕτω διαπραττομένων, ἐπειδὴ συλλεγεῖεν πολλὰ παρὰ πάντων, ἡ μὲν Πηνελόπη ἀνεχώρει, ἀναβαίνουσα εἰς τὸ ὑπερῷον· αἱ δὲ θεράπαιναι εἵποντο φέρουσαι τὰ δῶρα· οἱ δὲ, χορῷ καὶ ᾠδῇ ἐνδιδόντες, ἐτέρποντο ἐς ἥλιον καταδύντα· ὡς δὲ συσκοτάζοι, ἐσχάρας μετεώρους στήσαντες τρεῖς, ἐπέθηκαν ξύλα αὖα, ἐσχισμένα, καὶ δᾷδας ἀναμὶξ, ὅπως φαίνοιεν· θεράπαιναι δ' αὐτοῦ Ὀδυσσέως ἄλλαι ἄλλοτ' ἐξ ἀμοιβῆς ἀλλήλων ἀνέφαινον· Ὀδυσσεὺς δὲ προσιὼν αὐταῖς, θεράπαιναι, ἔφη, τοῦ ἐκ πολλοῦ ἀποδημοῦντος δεσπότου, ὑμεῖς μὲν ἴτ' ἀνιοῦσαι, ἔνθ' ἡ δέσποινα ὑμῶν ἐστι, παρακαθεδούμεναι, καὶ τοῖς ἔργοις ὑμᾶς τε αὐτὰς κἀκείνην εὐφρανοῦσαι, τήν τε ἠλακάτην στρέφουσαι, καὶ ἔρια ξαίνουσαι· ἐγὼ δ' ὑπηρετήσω πᾶσι τούτοις τὰ περὶ τὸ φῶς· κἂν γὰρ δέῃ με εἰς ἕω τοῦτο ποιεῖν, οὐκ ἂν ἀπειρήκοιμι, πολύτλας ὢν γέρων, καὶ πολυπαθής.

Ταῦτα δὲ εἰπόντος αὐτοῦ, ἐκεῖναι βλέψασαι πρὸς ἀλλήλας, ἐγέλασαν· Κλεανθὼ δὲ ἡ καλλιπάρειος καὶ λόγοις αὐτοῦ καθήψατο μάλιστα· ἣν θυγατέρα γ' οὖσαν Δολίου ἀνέθρεψε

λουμέναις θηλείαις, ἢ θηλυαῖς. 296. Ἑερμένον] περιηρμοσμένον. 297. Ἑρματα] ἐνώτια τρίγληνα, τρίκρανα, τριδάκτυλα· μορόεντα. τὰ μετὰ κόπου κατεσκευασμένα. 300. Ἴσθμιον] περιδέριον, ὡς δῆθεν περὶ τὸ ἰσθμὸν τὸν λαιμὸν, ἔοικε δὲ τοῦτο διαφέρειν τοῦ ὅρμου, ᾗ ὁ μὲν χαλαρῶς ἔχει μέχρι πρὸς τῷ στήθει· τὸ δὲ προσηρμοσμένον ἐστι. 308. Κάγκανα] κατάξηρα. 315. Στροφαλίζετε] στρέφεσθε. 316. Πείκετε] ξαίνετε. 322. Δολίος] ὃς ἦν ἐν τῷ ἀγρῷ Ὀδυσσέως παρὰ Λαερτίῳ· ἴδε ἐν τῷ Ω. στίχ. 383, Καὶ ἑξῆς 322.

Ἀλλ' οὐδ' ὣς ἔχε πένθος ἐνὶ φρεσὶ Πηνελοπείης·
Ἀλλ' ἥγ' Εὐρυμάχῳ μισγέσκετο καὶ φιλέεσκεν.
Ἥ ῥ' Ὀδυσσῆ' ἐνένιπτεν ὀνειδείοις ἐπέεσσιν·
Ξεῖνε τάλαν, σύγε τις φρένας ἐκπεπαταγμένος ἐσσὶ,
Οὐδ' ἐθέλεις εὕδειν, χαλκήϊον ἐς δόμον ἐλθὼν,
Ἠέ που ἐς λέσχην· ἀλλ' ἐνθάδε πόλλ' ἀγορεύεις,
Θαρσαλέως πολλοῖσι μετ' ἀνδράσιν, οὐδέ τι θυμῷ
Ταρβεῖς· ἤ ῥά σε οἶνος ἔχει φρένας, ἤ νύ τοι αἰεὶ
Τοιοῦτος νόος ἐστίν· ὃ καὶ μεταμώνια βάζεις.
Ἦ ἀλύεις, ὅτι Ἶρον ἐνίκησας, τὸν ἀλήτην;
Μήτις τοι τάχα Ἴρου ἀμείνων ἄλλος ἀναστῇ,
Ὅς τις σ' ἀμφὶ κάρη κεκοπὼς χερσὶ στιβαρῇσιν,
Δώματος ἐκπέμψῃσι, φορύξας αἵματι πολλῷ.
Τὴν δ' ἄρ' ὑπόδρα ἰδὼν, προσέφη πολύμητις Ὀδυσσεύς·
Ἦ τάχα Τηλεμάχῳ ἐρέω, κύον, οἷ' ἀγορεύεις,
Κεῖσ' ἐλθὼν, ἵνα σ' αὖθι διαμελεϊστὶ τάμῃσιν.
Ὣς εἰπὼν ἐπέεσσι διεπτοίησε γυναῖκας.
Βὰν δ' ἴμεναι διὰ δῶμα· λύθεν δ' ὑπὸ γυῖα ἑκάστης
Ταρβοσύνῃ· φὰν γάρ μιν ἀληθέα μυθήσασθαι.
Αὐτὰρ ὁ πὰρ λαμπτῆρσι φαείνων αἰθομένοισιν
Ἑστήκει ἐς πάντας ὁρώμενος· ἄλλα δέ οἱ κῆρ
Ὥρμαινε φρεσὶν ᾗσιν, ἅ ῥ' οὐκ ἀτέλεστα γένοντο.
Μνηστῆρας δ' οὐ πάμπαν ἀγήνορας εἴα Ἀθήνη
Λώβης ἴσχεσθαι θυμαλγέος, ὄφρ' ἔτι μᾶλλον
Δύῃ ἄχος κραδίην Λαερτιάδεω Ὀδυσσῆος.
Τοῖσιν δ' Εὐρύμαχος, Πολύβου παῖς, ἦρχ' ἀγορεύειν,
Κερτομέων Ὀδυσσῆα· γέλων δ' ἑτάροισιν ἔτευχεν·
Κέκλυτέ μευ, μνηστῆρες ἀγακλειτῆς βασιλείης.
Ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
Οὐκ ἀθεεὶ ὅδ' ἀνὴρ Ὀδυσήϊος ἐς δόμον ἵκει·
Ἔμπης μοι δοκέει δαΐδων σέλας ἔμμεναι αὐτοῦ
Καὶ κεφαλῆς· ἐπεὶ οὔ οἱ ἔνι τρίχες, οὐδ' ἠβαιαί.

Οὐδ' ὣς σχέθε πάθος] οὐδ' οὕτως ἔμελεν αὐτῇ συλλυπεῖσθαι τῇ Πηνελόπῃ.

Πηνελόπη, ὡς παῖδα ἑαυτῆς, πολλὰ τῶν ἀθυρμάτων αὐτῇ, κομιδῇ νέᾳ οὔσῃ, πορίζουσα· ἡ δὲ μικρὸν τῆς θρεψάσης ποθ' ὕστερον κηδομένη, ἐμίσγετο ἔρωτι Εὐρυμάχῳ. αὕτη τοίνυν καὶ τότε πικρῶς 'Οδυσσεῖ τοῖς λόγοις ἐνέπιπτε, ξένε δύστυνε, λέγουσα πρὸς αὐτὸν, πάμπαν μοι δοκεῖς τῶν φρενῶν ἐκπεσεῖν· ὃς οὐκ ἀγαπᾷς, εἰσελθὼν εἴσω, ἢ εἰς λέσχην τινὰ ἀπιὼν, καθευδῆσαι ἡσύχως· ἀλλ' ᾧδε ἐμφιλοχωρῶν διατρίβεις, πολλὰ μὲν πρὸς ἄνδρας τουτουσὶ θρασυνόμενος, μηδὲν δὲ ὑπονοῶν, μήτι τῶν ἀνηκέστων πάθῃς· δυοῖν γὰρ θάτερον δοκεῖς πεπονθέναι, ἢ οἴνῳ κεκρατῆσθαι, ἢ ὅλως ἀνόητος ἐξ ἀρχῆς γεγενῆσθαι· ἐφ' ᾧ καὶ παραπαίων τοιαῦτα ληρεῖς, μέγα φρονῶν, ὡς ἔοικε, τῇ τοῦ Ἴρου νίκῃ· σχέτλιε, ὅρ' ὅπως μὴ κρείττονος καὶ ἰσχυροτέρου τύχῃς δευτέρου Ἴρου· ὃς προσαράξας τὴν κεφαλὴν χειρὶ στιβαρᾷ, ἀποπέμψει σε ἐντεῦθεν ὅλως αἵματι πεφυρμένον.

Ὀδυσσεὺς ἐμβλέψας δεινὸν, αὐτίκ', ὦ κύων, ἔφη πρὸς αὐτὴν, ἰὼν ἐρῶ Τηλεμάχῳ, οἷά μου ταῦτα καταθρασύνῃ· ὃς κατακρεουργήσας, ἐκρίψει σε ἔξω. Ταῦτ' οὖν ἐκεῖναι ἀκούσασαι, κατέδυσαν ὑποτρέμουσαι, δεδιυῖαι, μήτι ἀληθῶς αὐτῶν τι πρὸς ἐκεῖνον κατείπῃ.

Ὀδυσσεὺς δ' ἐκ τούτων ἔστη παραχρῆμα παρὰ τῷ λαμπτῆρι, φαίνων καὶ προσέχων τὸν νοῦν τοῖς πᾶσι, πολλὰ βυσσοδομεύων ἐν τῷ κρυπτῷ, ἃ μικρὸν ὕστερον ἔμελλον ἔσεσθαι· κἀν τούτῳ οἱ μνηστῆρες οὐκ ἐπαύοντο κακοῦντες αὐτὸν Ἀθηνᾶς σκευωρίᾳ, ἵνα μάλιστα ἐρεθίσωσιν αὐτῷ τὸν θυμόν.

Εὐρύμαχος τοίνυν ὁ Πολύβου, ἵνα γέλωτα παράσχῃ τοῖς ἄλλοις, ἦρξε λόγου τοιούτου. 'Ακούσατέ μου, ὦ φίλοι, εἰ ἀληθῆ δοκῶ ὑμῖν λέγειν· ἔμοι γε γὰρ οὐκ ἄνευ θεοῦ ὡνὴρ οὗτος δοκεῖ μοι εἰσελθεῖν ᾧδ' ἐς τὴν οἰκίαν τοῦ 'Οδυσσέως· τὸ γὰρ ἐκ τῆς κεφαλῆς αὐτοῦ ἐξερχόμενον σέλας ὅμοιόν ἐστι τῇ ἐκ τῶν δᾳδῶν φλογί· οὐ δὲ γὰρ θρὶξ ἐπ' αὐτῆς

---

329. Λέσχην] δημόσιόν πῃ οἴκημα, ἔνθα συναγειρόμενοι πολλοὶ διατρίβουσι. 333. Ἦ ἀλύεις] ἆρα γαυριᾷς; 335. Κεκοπὼς] τύψας, παίσας. 336. Φορύξας] φύρας, μολύνας, ἐμπλήσας. 340. Διεπτοίησε] κατεπτόησε. 354.

Ἦ ῥ', ἅμα τε προσέειπεν Ὀδυσσῆα πτολίπορθον·
Ξεῖν', ἦ ἄρ κ' ἐθέλοις θητευέμεν, εἴ σ' ἀνελοίμην,
Ἀγροῦ ἐπ' ἐσχατιῆς (μισθὸς δέ τοι ἄρκιος ἔσται)
Αἱμασιάς τε λέγων, καὶ δένδρεα μακρὰ φυτεύων;
Ἔνθα κ' ἐγὼ σῖτον μὲν ἐπηετανὸν παρέχοιμι,
Εἵματα δ' ἀμφιέσαιμι, ποσίν θ' ὑποδήματα δοίην.
Ἀλλ' ἐπεὶ οὖν δὴ ἔργα κάκ' ἔμμαθες, οὐκ ἐθελήσεις
Ἔργον ἐποίχεσθαι, ἀλλὰ πτώσσειν κατὰ δῆμον
Βούλεαι, ὄφρ' ἂν ἔχῃς βόσκειν σὴν γαστέρ' ἄναλτον.
Τὸν δ' ἀπαμειβόμενος, προσέφη πολύμητις Ὀδυσσεύς·
Εὐρύμαχ', εἰ γὰρ νῶϊν ἔρις ἔργοιο γένοιτο
Ὥρῃ ἐν εἰαρινῇ, ὅτε τ' ἤματα μακρὰ πέλονται,
Ἐν ποίῃ, δρέπανον μὲν ἐγὼν εὐκαμπὲς ἔχοιμι,
Καὶ δὲ σὺ τοῖον ἔχοις, ἵνα πειρησαίμεθα ἔργου,
Νήστιες ἄχρι μάλα κνέφαος, ποίη δὲ παρείη.
Εἰ δ' αὖ καὶ βόες εἶεν ἐλαυνέμεν, οἵπερ ἄριστοι,
Αἴθωνες, μεγάλοι, ἄμφω κεκορηότε ποίης,
Ἥλικες, ἰσοφόροι, τῶν τε σθένος οὐκ ἀλαπαδνὸν,
Τετράγυον δ' εἴη, εἴκοι ὑπὸ βῶλος ἀρότρῳ·
Τῷ κέ μ' ἴδοις, εἰ ὦλκα διηνεκέα προταμοίμην.
Εἰ δ' αὖ καὶ πόλεμόν ποθεν ὁρμήσειε Κρονίων
Σήμερον, αὐτὰρ ἐμοὶ σάκος εἴη καὶ δύο δοῦρε
Καὶ κυνέη πάγχαλκος, ἐπὶ κροτάφοις ἀραρυῖα·
Τῷ κέ μ' ἴδοις πρώτοισιν ἐνὶ προμάχοισι μιγέντα,
Οὐδ' ἄν μοι τὴν γαστέρ' ὀνειδίζων ἀγορεύοις.
Ἀλλὰ μάλ' ὑβρίζεις, καί τι νόος ἐστὶν ἀπηνής·
Καί πού τις δοκέεις μέγας ἔμμεναι ἠδὲ κραταιὸς,
Οὕνεκα πὰρ παύροισι καὶ οὐκ ἀγαθοῖσιν ὁμιλεῖς.
Εἰ δ' Ὀδυσσεὺς ἔλθοι καὶ ἵκοιτ' ἐς πατρίδα γαῖαν,
Αἶψά κέ τοι τὰ θύρετρα, καὶ εὐρέα περ μάλ' ἐόντα,
Φεύγοντι στείνοιτο διὲκ προθύροιο θύραζε.
Ὣς ἔφατ'· Εὐρύμαχος δ' ἐχολώσατο κηρόθι μᾶλλον,
Καί μιν ὑπόδρα ἰδὼν ἔπεα πτερόεντα προσηύδα·
Ἆ δείλ', ἦ τάχα τοι τελέω κακὸν, οἷ' ἀγορεύεις
Θαρσαλέως πολλοῖσι μετ' ἀνδράσιν, οὐδέ τι θυμῷ
Ταρβεῖς· ἦ ῥά σε οἶνος ἔχει φρένας, ἤ νύ τοι αἰεὶ
Τοιοῦτος νόος ἐστίν· ὃ καὶ μεταμώνια βάζεις.
Ἦ ἀλύεις, ὅτι Ἶρον ἐνίκησας, τὸν ἀλήτην;

ἐπιπολάζει ἀνθοῦσα. Ταῦτα δ' εἰπὼν, ἐφώνησεν Ὀδυσσέα, ξένε, λέγων πρὸς αὐτὸν, ἆρ' ἐθέλεις θητεύειν ὑπ' ἐμοὶ κατὰ τὸν ἀγρὸν, τάς θ' αἱμασιὰς ἐπισκευάζων, καὶ δένδρα φυτεύων; ἔσται δέ σοι ἄξιος ὁ μισθὸς, σῖτόν τε ἐσθίειν καὶ ἱμάτια ἀμφιέννυσθαι, καὶ ὑποδήματα καλὰ φέρειν τοῖς ποσίν· ἀλλ' ἔοικας, πονήρως εἰωθὼς ἀποζῆν, περὶ πλείονος ποιεῖσθαι τὸ κορέννυσθαι ἐκ τοῦ προσαιτεῖν τοῦ ἐργαζόμενος τρέφεσθαι.

Ὀδυσσεὺς δὲ πρὸς ταῦτα. Εὐρύμαχε, ἴσθι αὐτός γε, ὡς εἴπερ εἰς ἀγῶνα ἔργων ἀμφότεροι ἔλθοιμεν πρὸς ἀλλήλους ἐν ὥρᾳ θέρους ἐν ταῖς μεγίσταις τῶν ἡμερῶν, δρέπανον ἑκάτερος φέροντες τῇ χειρὶ, καὶ ἄσιτοι μέχρι καταδύντος ἡλίου ἐν ποίῃ παχείᾳ, τότε ἴδοις ἂν, ὁπότερος ἡμῶν κρείττων ἔσται· μᾶλλον δὲ, εἴτις ἡμῶν ἑκατέρῳ δοίη ζεῦγος βοῶν ἀρίστων, νέων, μεγάλων, ἰσχυρῶν, καὶ εὐτραφῶν, καὶ γῆν, ὅσον τετράγυον εὐγεώργητον, κατίδοις ἄν με ἐν μιᾷ ἡμέρᾳ γεωργήσαντα πᾶσαν· εἰ δ' αὖ Ζεὺς ἐπενέγκοι ποθὲν καὶ πόλεμον τήμερον, δοίη δέ τις ἀσπίδα μοι, δόρατά τε ἐν χερσὶ, καὶ περικεφαλαίαν τῇ κεφαλῇ ἐφαρμόζουσαν, ἴδοις ἄν με πρῶτον προμαχόμενον ἐν προμάχοις· καὶ τηνικαῦτ' οὐκέτ' ἂν ἐς γαστέρα μοι ὀνειδίσειας· νῦν δὲ τοιοῦτόν με ὁρῶν, προπηλακίζεις, ἀπηνής τις καὶ ἄγροικος ὢν, καὶ δοκῶν τις εἶναι ἐν ὀλίγοις γε τουτοισὶ, καὶ αὐτοῖς κακοῖς οὖσιν, ὡς ἵππος ἐν ἡμιόνοις στρεφόμενος ἐν αὐτοῖς· εἰ δὲ εἶδες Ὀδυσσέα ποθὲν εἰσελθόντα, αὐτίχ' αἱ τοῦ δώματος αἵδε θύραι, καίπερ εὖρος ἔχουσαι ἱκανὸν, οὐκ ἂν χωρήσειάν σε ῥαδίως συνωθούμενον δραπετεῦσαι.

Ταῦτα δ' αὐτοῦ εἰπόντος, Εὐρύμαχος χαλεπήνας, καὶ ἐμβλέψας δεινὸν πρὸς αὐτὸν, αὐτίκα, ἔφη, ὦ πόνηρε σὺ, τῆς ἀθυροστομίας τὰ ἆθλα ἐνώπιον τούτων λήψῃ· ἢ γὰρ μεθύων τυγχάνεις, ἢ φύσει τοιοῦτος εἶ, οἷος παραληρεῖν ὅ,τι τύχῃ, μέγα φρονῶν, ὡς ἔοικεν, ἐφ' οἷς τὸν Ἶρον κατηγωνίσω· ταῦτα δὴ λέγων, ἅμ' ἀνελόμενος τὸ ὑποπόδιον, ἔβαλεν ἐπ' αὐτόν· τοῦ δὲ πρὸς τοῖς τοῦ Ἀμφινόμου γόνασι πα-

---

ἔμπης] ὁμοίως μοι δοκεῖ. 359. Αἱμασιάς τε λέγων] ἐκ συλλογῆς λίθον οἰκοδομεῖν αἱμασιάς. 372. Κεκορηότε] κεκορεσμένοι χόρτου. 375. Τῷ καί μ' ἴδοις] μία ἀπόδοσις αὕτη πρὸς δύο ἀποθέσεις.

Ὣς ἄρα φωνήσας, σφέλας ἔλλαβεν· αὐτὰρ Ὀδυσσεὺς
Ἀμφινόμου πρὸς γοῦνα καθέζετο Δουλιχῆος,
Εὐρύμαχον δείσας· ὁ δ' ἄρ' οἰνοχόον βάλε χεῖρα
Δεξιτερήν· πρόχοος δὲ χαμαὶ βόμβησε πεσοῦσα·
Αὐτὰρ ὅγ' οἰμώξας πέσεν ὕπτιος ἐν κονίῃσιν.
Μνηστῆρες δ' ὁμάδησαν ἀνὰ μέγαρα σκιόεντα·
Ὧδε δέ τις εἴπεσκεν, ἰδὼν ἐς πλησίον ἄλλον·
Αἴθ' ὤφελλ' ὁ ξεῖνος ἀλώμενος ἄλλοθ' ὀλέσθαι
Πρὶν ἐλθεῖν, τῷ κ' οὔτι τόσον κέλαδον μετέθηκεν.
Νῦν δὲ περὶ πτωχῶν ἐριδαίνομεν· οὐδέ τι δαιτὸς
Ἐσθλῆς ἔσσεται ἦδος. ἐπεὶ τὰ χερείονα νικᾷ.
Τοῖσι δὲ καὶ μετέειφ' ἱερὴ ἲς Τηλεμάχοιο·
Δαιμόνιοι, μαίνεσθε καὶ οὐκέτι κεύθετε θυμῷ
Βρωτὺν οὐδὲ ποτῆτα· θεῶν νύ τις ὔμμ' ὀροθύνει.
Ἀλλ' εὖ δαισάμενοι, κατακείετε οἴκαδ' ἰόντες,
Ὁππότε θυμὸς ἄνωγε· διώκω δ' οὔτιν' ἔγωγε.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ὀδὰξ ἐν χείλεσι φύντες,
Τηλέμαχον θαύμαζον, ὃ θαρσαλέως ἀγόρευεν.
Τοῖσιν δ' Ἀμφίνομος ἀγορήσατο, καὶ μετέειπεν·
Νίσου φαίδιμος υἱὸς, Ἀρητιάδαο ἄνακτος.
Ὦ φίλοι, οὐκ ἂν δή τις ἐπὶ ῥηθέντι δικαίῳ
Ἀντιβίοις ἐπέεσσι καθαπτόμενος χαλεπαίνοι·
Μήτε τι τὸν ξεῖνον στυφελίζετε, μήτε τιν' ἄλλον
Δμώων, οἳ κατὰ δώματ' Ὀδυσσῆος θείοιο.
Ἀλλ' ἄγετ' οἰνοχόος μὲν ἐπαρξάσθω δεπάεσσιν,
Ὄφρα σπείσαντες, κατακείομεν οἴκαδ' ἰόντες.
Τὸν ξεῖνον δὲ ἐῶμεν ἐνὶ μεγάροις Ὀδυσῆος
Τηλεμάχῳ μελέμεν· τοῦ γὰρ φίλον ἵκετο δῶμα.
Ὣς φάτο· τοῖσι δὲ πᾶσιν ἑαδότα μῦθον ἔειπεν.
Τοῖσιν δὲ κρητῆρα κεράσσατο Μούλιος ἥρως,
Κῆρυξ Δουλιχιεύς· θεράπων δ' ἦν Ἀμφινόμοιο·
Νώμισεν δ' ἄρα πᾶσιν ἐπισταδόν· οἱ δὲ θεοῖσιν
Σπείσαντες μακάρεσσι πίον μελιηδέα οἶνον.
Αὐτὰρ ἐπεὶ σπεῖσάν τ', ἔπιόν θ', ὅσον ἤθελε θυμὸς,
Βάν ῥ' ἴμεναι κείοντες ἑὰ πρὸς δώμαθ' ἕκαστος.

ΤΕΛΟΣ ΤΟΥ ΠΕΜΠΤΟΥ ΤΟΜΟΥ

ρεγκλίναντος, ἐξέπεσε τὸ βέλος κατὰ τὴν δεξιὰν χεῖρα τοῦ οἰνοχόου· καὶ εὐθὺς κατέπεσε μὲν σὺν δούπῳ ἡ πρόχοος εἰς τὴν γῆν, συγκατέπεσε δὲ καὶ αὐτὸς οὗτος, μέγα τι ἀνοιμώξας· ἐντεῦθεν ἄρα θόρυβος πολὺς ἦν ἐν τοῖς μνηστῆρσι· καί τις αὐτῶν εἶπε πρὸς τὸν πλησίον, εἴθ' ὁ ξένος, ἀπώλετο πλανώμενος πρὶν ἢ ἐλθεῖν ὡς ἡμᾶς· οὐ γὰρ ἂν οὕτως ἡμῖν νῦν τὰ πράγματα ἐταράχθησαν, ἵν' ἕνεκα πτωχοῦ καὶ δυστήνου ἐρίζοντες, μηδὲν τῆς παρούσης ἀπονaίμεθα εὐωχίας.

Ἐν δὲ τούτῳ ἀναστὰς Τηλέμαχος, τί ποθ' οὕτω, φησὶν, ὦ ἄνδρες δαιμόνιοι, μαίνεσθε, καὶ οὐχ ἡσυχίαν ἄγετε, κορεσθέντες; θεῶν δέ τις, ὡς ἔοικεν, ἐπὶ ταῦθ' ὑμᾶς παρελαύνει· ἀλλὰ νῦν γ' εὐωχηθέντες, ἄπιτε ἕκαστος οἴκαδε, καλῶς ποιοῦντες, ἐκεῖ καθευδήσοντες, εἴγ' ἐθέλοιτε· ἐγὼ γὰρ οὐδέν' ἂν ὑμῶν ἐξελάσαιμι βίᾳ.

Τούτων δ' οὕτως εἰρημένων, ἐν βαθείᾳ σιωπῇ ἐγένοντο ἅπαντες, πρὸς τὴν παῤῥησίαν ἐκπλαγέντες τοῦ Τηλεμάχου· ὀψὲ δ' Ἀμφίνομος ὁ Νίσου εἶπε πρὸς αὐτοὺς ταῦτα. Ἄνδρες μνηστῆρες, οὐκ ὀρθῶς δοκεῖτέ μοι χαλεπαίνειν, εἴ τις ἐπ' οὐ δικαίοις ὑφ' ὑμῶν προπηλακισθεὶς, καθάπτοιτο ἀμυνόμενος· μηκέτι τοίνυν μήτε τὸν ξένον, μήτ' ἄλλον τινὰ τῶν Τηλεμάχου οἰκετῶν οὕτως ἐπ' ἀδείας προπηλακίζετε· ἀλλ' ἄγετε νῦν, σπείσαντες, ἀπίωμεν οἴκαδε ἕκαστος καθευδήσοντες, ἐῶντες Τηλεμάχῳ τὸν ξένον, πρὸς ὃν τυγχάνει καταφυγών.

Ταῦτα δ' εἰπὼν οὗτος, ἔδοξε πᾶσι καλῶς λέγειν. Ἐκ δὴ τούτου Μούλιος ὁ θεράπων Ἀμφινόμου, κεράσας αὐτοῖς, ἐνέχει ἅπασι δεξιῶς· οἱ δὲ σπείσαντές τε, καὶ πιόντες, ὅσον ἦν ἱκανὸν ἑκάστῳ, ἤεσαν οἴκαδε καθευδήσοντες.

ΤΕΛΟΣ ΤΟΥ ΠΕΜΠΤΟΥ ΤΟΜΟΥ.

ΠΑΡΟΡΑΜΑΤΑ.

Εἰς τὸν Ε΄. τόμον τοῦ Ὁμήρου.

Σελ. 20. Στίχ. 13. ὀφλαμοῖσι· ὀφθαλμοῖσι. 30. 29. ἀγυρρίῳ. ἀργυρίῳ 36. 21. πεκάσαι. πελάσαι. 46. 11. δάκρυ δάκρυ. 56. 3. ἀφορᾷ. ἐφορᾷ. 66. 17. Ἠπικάστην· Ἐπικάστην. 75. 18. μελέσει. μελήσει. 76. 8. ἀτρακέως. ἀτρεκέως. 78. 21. δειτνίσας. δειπνήσας. 86. 1. γάρπε. γάρτε. — 17. ἡ μὲν. ἠμὲν. 90. 12. ἦμαρ. ἦμαρ. 95. 6. ἀργελεώτατον. ἀργαλεώτατον. 113. 22 κατα δύσωντα. καταδύσωνται. 115. 15. κεχηκότες. κεχηνότες. — 23. ἀσκαρίζοντας. ἀσπαρίζοντας. 116. 1. ἴδιον ἴδον. 120. 13. ἐπέχοντο. ἀπέχοντο. 133 5. λέβατα λέβητα. 134. 28. χινῶνα. χιτῶνα. 143. 19. ναῦ. ναῦν. 146. 25. νώμυμος. νώνυμος. 150. 5. ἐπήλυθα. ἐπήλυθε. 152. 22. ἐτιὸν. ἐτεὸν. 158. 1. Γλακῶπι. Γλαυκῶπι. — 9. ἐγκεφάλῳ. ἐγκεφάλῳ. 160. 21. σκῆπρον. σκῆπτρον. 177. 25. εἰμὴ εἰμή. 183. 20. μαμψιδίως. μαψιδίως. 198. 23. οὔτι., οὔτε. 200. 13. βάλεντ'. βάλετ'. 204. 13. πεθνηότος. τεθνηότος. 209. καταμέ μάλισταμφομαι. μάλιστα καταμέμφομαι. 214. 25. ἀλφειὸς. Ἀλφειὸς 222. 27. πνωχεύσων. πτωχεύσων. 233. 18. τὸν γόμον. τὸν γάμον. 224. 8. θεειδέα. θεοειδέα. 266. 5. προπάρσιε. προπάροιθε. 294. 18. ὑδρίζων. ὑβρίζων. 304. 10. συμβῶτα. συβῶτα.

